Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Acta Concilii Nicaeni.

https://hdl.handle.net/1874/375694

Hs.
1 A 3

7 (*Gr. 3, antea 279d.*) *Charta. fol. 236 pp. Saec. XVI.*

**Acta Concilii Nicaeni** ex vet. exempl. in biblioth. L. Stellae patris et Caroli Cardin. Borbonii.

Hs 7 (fr. 3)

→ Frankrijk ca. 1580-1590

cf. Briq. 1845 (1580)
Frankrijk 1580-1593



(Simeon Nivelle)

239/240









102

11

Nicolas Lebe

fam 19/20
cf. Briq. 8081 (1582)
Frankrijk 1582-90

Nicolas Lebe

| 1 | |



ca. Frankfurt 1580-1590
Nicolaus Lobe

ὑπεγέγραπτο ἐν αὐτογράφῳ ὑποχαιρὶ τοιαύτῃ.

μετεγράφη τὸ παρὸν βιβλίον τῶν πρακτικῶν τῆς
οἰκουμενικῆς πρώτης συνόδου ἀπὸ βιβλίου παλαιοῦ μεμβράνου
τοῦ μοναστηρίου τῆς χώρας.

+ μαΐου, ιη΄. τοῦ ,ς ϡ. Ν ϛ΄ ἔτους [illegible]:

Is est annus Christi 1448

Iuxta supputationem annorum Christi apud Cedrenum.
Quo mundi anno Christus natus est.

Acta Concilij NICÆI OECVMENICI.
Ex veteri exemplari quod exstat
In Bibliotheca L. Stellae patris,
et Caroli Cardinalis Borbonij.

N.º 279. D.

1. A. 3.

# ΣΥΝΤΑΓΜΑ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΕΝ ΝΙΚΑΙΑΙ ΑΓΙΑΝ ΣΥΝΟΔΟΝ ΠΡΑΧΘΕΝΤΩΝ

Τὰ κατὰ τὴν ἁγίαν, καὶ μεγάλην, καὶ οἰκουμενικὴν τῶν
ἐπισκόπων συναθροισθεῖσαν σύνοδον, ἐν τῇ Νικαέων, ἐκ πασῶν,
ὡς ἔπος εἰπεῖν, τῶν τῆς Ῥωμαίων κόσμου ἐπαρχιῶν, καὶ περιοίκων.
ἔκ τε τοῦ θεοῦ χάριτος, καὶ θεσπίσματος τοῦ θεοφιλοῦς καὶ εὐσεβοῦς
βασιλέως Κωνσταντίνου τοῦ ἡμετέρου, ὑπὲρ τῆς καθολικῆς καὶ
ὀρθοδόξου πίστεως, κατὰ τῶν μοχθηρῶν καὶ ἀσεβῶν δογμάτων τοῦ
θεομάχου Ἀρείου· πάντα τὰ ἐν ἐκείνῃ τῇ εὐαγεστάτῃ, καὶ ἁγίᾳ
συνόδῳ λεχθέντα, τε καὶ πραχθέντα, καὶ διατυπωθέντα, πάλαι
τε καὶ πρόπαλαι ἀναζητῶν, ἔτι ἐν τῇ πατρῴᾳ οἰκίᾳ διάγων,
εὕρηκα αὐτὰ ἐν βιβλίῳ ἀρχαιοτάτῳ ἐγγεγραμμένα, ἐν
βεβράναις ἅπαντα ἀπαραλείπτως ἐχούσαις* γενομένῃ μὲν * γενομένην
τοῦ θείου καὶ ἀοιδίμου Δαλματίου, τοῦ ἀρχιεπισκόπου γενο-
μένου τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας τῆς τῶν Κυ-
ζικηνῶν λαμπρᾶς μητροπόλεως,* περιελθούσης δὲ εἰς τὸν τοῦ * περιελθούσῃ
ποτὲ ἡμετέρου οἴκου δεσπότην, λέγω δὴ τὸν κατὰ σάρκα
πατέρα ἡμῶν, τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας, πρεσβυτερίου
ἠξιωμένον. ᾗ τινι ἱερᾷ βίβλῳ ἐντυχὼν καὶ σχολὴν πολλὴν ἐν αὐτῇ
ποιησάμενος, ἐπὶ μνήμης μὲν φέρειν πάντα, οὐχ οἷός τε ἤμην· οὐδὲ
γὰρ ἄν τις αὐτῶν τὸ ἄφατον ἐκεῖνο πέλαγος τῶν ἐν αὐτῇ
εὑρεμάτων ἐπὶ μνήμης διὰ στόματος φέρειν δυνηθείη.* πλεῖ- πλεῖστα δὲ
στά τε ὅσα ὑπεσημηνάμην. τά τε τῶν ἡμετέρων ἁγίων πατέρων καὶ
ἐπισκόπων, τῆς τε ὑγιαίνοντος λόγου διδασκαλίας αὐτῶν δόγ-
ματα, τάς τε πρὸς τοὺς ἀρειομανίτας αὐτῶν ἀντιθέσεις, καὶ
τοὺς κατὰ τῆς ἐκείνων βλασφημίας ἐγγράφους ἐλέγχους. ἣν
ἐβλασφήμησαν οἱ μιαροὶ ἀρειομανῖται κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ.
οὐ μὴν δέ, ἀλλὰ γὰρ καὶ κατὰ τοῦ ἁγίου πνεύματος. τάς τε τῶν
μαθητῶν Ἀρείου τῶν φιλοσόφων, πρὸς τοὺς ἐπισκόπους
ἀντιρρήσεις, τάς τε τῶν ἡμετέρων πρὸς ἐκείνους,* διὰ διά
γραφικῶν διδαγμάτων, κατὰ τῶν αὐτῶν σοφισμάτων,
ἐναργεῖς ἐπιλύσεις. περί τε τῆς ἀνάρχου, καὶ ἀεὶ τῷ θεῷ
καὶ πατρὶ συνυπαρχούσης τοῦ υἱοῦ αὐτοῦ καὶ τοῦ ἁγίου πνεύματος περὶ
τῆς μιᾶς θεότητος, περί τε τῆς αὐτοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, θεοῦ λόγου
ἐπ' ἐσχάτων τῆς ἡμετέρας ἕνεκα σωτηρίας, ἐκ τῆς θείας παρθένου
Μαρίας, ἀπορρήτου σαρκώσεως, καὶ τῶν τῆς ἐκκλησίας ἀπο-
στολικῶν διατυπώσεων. πᾶσαν ἁπλῶς τὴν ἐκεῖσε γεγενημέ-
νην πραγματείαν, ἐνιστορήσας ἐν τῇ προρρηθείσῃ ἱερᾷ βί-
βλῳ. πρό γε πάντων, τὰς τοῦ πιστοτάτου βασιλέως Κωνσταντί-
νου, τοῦ ἐν τῇ συνόδῳ συνεδρεύσαντος, θείας καὶ ἀληθῶς ἀπο-
στολικὰς ἐννοίας, ἤχθην εἰς τοσοῦτον τοῖς τῇ ἱερᾷ βίβλῳ ἐκεί-
νῃ περιεχομένοις. ὥστε εἰπεῖν με πρὸς τὸν σόν, ὡς γλυκέα

τῇ λαχούσῃ με, τὰ λόγια σου, ὑπὲρ μέλι τῷ στόματί μου.
οὕτινος ὑπερημάθην, ἐν τοῖς ἐκεῖ ἀναγεγραμμένοις, περὶ τῆς
ἀσπίλου καὶ ἀμωμήτου ὀρθοδόξου, καὶ ἀποστολικῆς πίστεως. μετὰ
δὲ καιρούς, τινὰς φθάσας ἐνταῦθα τῇ τῶν βιθυνῶν ἐπαρχίᾳ
χώρῳ κατ' εὐδοκίαν τοῦ θεοῦ, κινήσεώς τε καὶ συζητήσεως πλείστης
οὔσης γεγενημένης ἐπὶ τῆς ἀνταρσίας τοῦ ἀνοσίου βασιλέως,
κατὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τοῦ θεοῦ, καὶ
τῆς ἐν αὐτῇ πολιτευομένης ἀποστολικῆς πίστεως, ὑπεχκαι-
όντων μάλιστα καὶ κινούντων τὰ βασίλεια τῆς τῶν τοῦ ἀρετῆ
κοῦ ἐντυχοῦς ὁμοφρόνων συμμορίας. προβαλλόμενοι ἡμῖν ὑπὲρ
ἐντεῦθεν χιως, τὴν ἐν νικαίᾳ* φησὶν ὑπὸ τῶν πατέρων κρατεῖν πίστιν. οἱ
διελέγχοντο πρὸς ἡμῶν, πολέμιοι ἐκείνης ὑπάρχοντες. οὐ
γὰρ ᾔδεισαν τί λέγουσιν, ἢ περὶ τίνων διαβεβαιοῦνται.
προφέροντος γάρ μου τὰ ἐν ἐκείνῃ τῇ ἁγίᾳ χορείᾳ
τῶν ὀρθοδόξων τοῦ θεοῦ ἱερέων, ἐν τινὶ ἁγίῳ τὰ τοῦ χριστοῦ δι'
αὐτῶν ἐκφωνηθέντα, ἀπεπήδων ἀφ' ἡμῶν, χείρονα τῶν
ἀρείου βλασφημιῶν, κατὰ τῶν ἐκεῖσε ὁρισθέντων, διὰ
γλώττης προφέροντες. καὶ ἀναθεματισμὸν εἴποντες
κατὰ τῶν πάντων οὕτως φρονούντων οἱ ἄθλιοι. διὰ ταῦτα καὶ
ἁγίας δι' ἄλλα πολλὰ κινηθέντα κατὰ τῆς* ἀγίης καὶ ὀρθοδόξου
πίστεως ἡμῶν, τῆς ἀνέκαθεν, ἔκ τε τῶν ἁγίων ἀποστόλων, καὶ
τῶν προρρηθέντων ἡμῶν ἁγίων πατέρων, τῶν ἐν τῇ νικαέων
συνειλεγμένων ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τῇ μέχρι ἡμῶν πο-
λιτευομένης, πλείστην ὅσην ἔρευναν ἐποιησάμην, πάλιν
τε καὶ πανταχοῦ, τὸ δὴ λεγόμενον πάντα κάλων κινήσας,
ἀνερευνῆσαι τὰ ἐν ἐκείνῃ τῇ ἱερᾷ συνόδῳ πεπραγμένα,
ὑπὲρ τοῦ τῆς αὐτῆς ἁγίας καὶ ἀποστολικῆς πίστεως ὅρου.
ἣν οὐκ ἀπ' ἀνθρώπων, οὔτε δι' ἀνθρώπων, ἡ τοῦ θεοῦ ἐκκλησία παρεί-
ληφεν, ἀλλ' ἢ ἀπ' αὐτοῦ τοῦ παντὸς ἡμῶν σωτῆρος, καὶ θεοῦ ἰησοῦ χριστοῦ,
τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ζῶντος. ὃς μετὰ τὴν τῆς ἐνσάρκου αὐτοῦ
παρουσίας οἰκονομίαν, τὸ μέγα ἀληθῶς τῆς εὐσεβείας
μυστήριον καθὼς γέγραπται. φανερωθεὶς τε σαρκὶ καὶ
θεατός ἀγγέλοις ὀφθείς. οὔτε γὰρ ἀγγέλοις* θεωτός ὁμοιογενὴς
κατὰ τὴν τῆς θεότητος οὐσίαν. εἰ μὴ ἐσαρκώθη τὰ πά-
ντα πληρώσας τὰ κατὰ τὴν ~~οἰκονομίαν, τότε~~ ὑπὲρ
ἡμῶν ἐκούσιον πάθος, καὶ τὴν ταφήν, καὶ τὴν ἀνάστασιν, τῇ
ἁγίᾳ ἐκείνῃ καὶ ἀναμαρτήτῳ σαρκὶ αὐτῆς παραδωρή-
σας, δι' ἧς τὸ ἡμέτερον ἀπεθανάτισε γένος. ἀναβαίνων
εἰς τοὺς οὐρανούς. ταύτης τῆς ἁγίας καὶ ἀμωμήτου πίστεως
τὸν θεῖον καὶ προσκυνητὸν ὅρον δι' ἑαυτοῦ ἐπῆξε. καὶ μέγα

βεγντίσας

βροντήσας κατὰ τὸ γεγραμμένον, Χριστὸς ἀνέβη εἰς οὐρανὸν καὶ
ἐβρόντησε. καὶ ἐν ἑτέρῳ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Χριστός. καὶ ὁ ὕψιστος
ἔδωκε φωνὴν αὐτοῦ. καὶ ἐβρόντησε. ποίαν δὲ φωνὴν ἔδωκεν
ὁ ὕψιστος; πορευθέντες φησὶ πρὸς τοὺς ἀποστόλους λέγων, μα
θητεύσατε πάντα τὰ ἔθνη. βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα
τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. εἰ γὰρ καὶ διὰ φιλα
νίαν τὴν ὑμῶν σάρκα ἔμψυχον καὶ ἔννουν ἐκ τῆς πανάγ
νου καὶ ἁγίας παρθένου μαρίας προσείληφα, ἀλλὰ ἡ τῆς
σαρκὸς πρόσληψις, προσθήκην τῇ τοῦ πατρὸς, καὶ ἐμοῦ, καὶ
ἁγίου πνεύματος τριάδι, οὐκ ἐποίησεν. ἀλλὰ μένει ἡ τριάς, τρι
άς. πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτί
ζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου
πνεύματος. τοῦτον τὸν ἅγιον καὶ προσκυνητὸν ὅρον τῆς ὀρθῆς
καὶ ἀμωμήτου πίστεως παρὰ τοῦ Χριστοῦ λαβόντες οἱ ἱεροὶ ἀπόσ
τολοι, πάσῃ τῇ ὑπὸ τὸν οὐρανὸν τοῦ θεοῦ ἐκκλησίᾳ ἐκήρ
υξαν. ὡς πληρωθῆναι ἐπ' αὐτοῦ τὸ προφητικὸν λόγιον
τὸ φάσκον, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐ
τῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐ
τῶν. ὅν τινα ὅρον, καὶ τὴν προσκυνητὴν ταύτην δωρεὰν
τὴν εἰς ἡμᾶς διὰ τῶν θείων ἀποστόλων παρὰ τοῦ υἱοῦ τοῦ
θεοῦ δεδομένην, μετὰ πλείστους ὅσους χρόνους, παυσαμέ
νου τοῦ κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ διωγμοῦ, διὰ ἀρείου
πάλιν ὁ ἐχθρὸς, τῆς ἡμετέρας σωτηρίας, κατὰ τῆς αὐτῆς
ἁγίας καὶ ἀμωμήτου ὁπλίζεται πίστεως. ξένα τινὰ πα
ρεισφέρων κατὰ τοῦ σωτῆρος βλάσφημα ῥήματα. δι' ὧν τὴν
εἰς πᾶσαν τὴν οἰκουμένην ἐκκλησίαν τοῦ Χριστοῦ ἐτάραξαν.
οὗ χάριν καὶ τὴν πολυάνθρωπον ἐκείνην ἐν τῇ τῶν νικαέων
πόλει, ὁ πιστότατος βασιλεὺς κωνσταντῖνος συνήγαγε
σύνοδον. ἧς τὰ πεπραγμένα πάντα προεγνωκὼς, ὡς
ἀνωτέρω ἔφην, καὶ διερευνησάμενος, μόλις ἐδυνήθην
εὑρεῖν φανερὰ τῶν ἐκεῖσε ἐσκεμμένων καὶ ἐγγραφέντων
παρὰ τοῖς διαφόροις φιλομαθέσιν ἀνδράσιν. ἰωάννῃ
μὲν τινι πρεσβυτέρῳ ἀνδρὶ παλαιῷ ἄγαν γεραρῷ
ἐν τετραδίοις παλαιοῖς λίαν. οὐ μὴν ὅλα. καὶ ἐξ ἄλλων δὲ
συγγραφέων διαφόρων. εὐσεβίου τοῦ παμφίλου ἐπισκόπου
καισαρείας. καὶ ῥουφίνου πρεσβυτέρου ῥώμης, τῶν καὶ
τῇ ἁγίᾳ ἐκείνῃ κοινωνησάντων συνόδῳ. καὶ ἄλλων πλείσ
των. οὐ μὴν τὴν ἀκολουθίαν τῆς ὅλης ἁρμονίας εὗρον,

κατὰ τὴν ἱερὰν ἐκείνην βίβλον, ἣ περιέτυχον, ὡς ἀνωτέ-
ρω μοι εἴρηται. μόνος γὰρ εὐσέβιος ὁ θαυμάσιος ὁ παμφίλου
ἀτρεμεῖ τῇ λεωφόρῳ τῆς ἀληθείας, ἀπὸ τῆς τοῦ χυ πα-
ρουσίας, ἕως τῶν τοῦ μεγάλου κωνσταντίνου χρόνων διώδευσ(εν)
ἀλλ' οὐδὲ τὰ ὅλα εὑρεῖν ἠδυνήθην, πλὴν ὅσα γνώριμά
μοι καὶ τῆς ἀληθείας ἴδια, κατὰ τὴν περιαναγνωσθεῖσαν
μοι βίβλον εὑρέθη. καὶ ἐξ ἑκατέρων ἀναλεξάμενος ἀναγκαῖ-
ον ᾠήθην συγγράψαι τῷ δὲ τῷ βιβλίῳ πρὸς ὠφέλειαν
ἐντευξομένων κοινὴν, καὶ στήριγμα τῶν* ἐντευξαμένων τῷ δὲ τῷ συγγρά-
μματι. ἄρξεται δή μοι λοιπὸν ὁ λόγος, προοδοποιοῦντος
μοι, καὶ ποδηγοῦντος τοῦ ἀεὶ ζῶντος θεοῦ λόγου, ἀπὸ τῶν
χρόνων τῆς βασιλείας, τοῦ εὐσεβεστάτου καὶ χριστοφόρου
βασιλέως κωνσταντίνου. τοῦ καὶ τὴν σύνοδον τῶν ἐπισκόπων
ἐν τῇ νικαέων συναθροισθῆναι προστάξαντος πόλει. ἐν
ἑτέρῳ γὰρ ἦν τῷ θεῷ φίλον, τὰ τῆς γενέσεως αὐτοῦ,
καὶ τῶν χρόνων τῆς τοῦ πρὸς αὐτοῦ κωνσταντίου θεοφιλεστά-
του, βασιλείας τὴν διαγωγὴν ἐντάξω συγγράμματι.

## περὶ τῆς ἀρχῆς, τῆς βασιλείας κωνσταντίνου.

α' Μετὰ τὴν ἀπόθεσιν τῆς βασιλικῆς ἀλουργίδος, τῆς τῶν τυρά-
ννων διοκλητιανοῦ, καὶ μαξιμιανοῦ. τὸν ἰδιωτικὸν ἀπειληφότων
αὐτῶν βίον, καθά φησιν ὁ εὐσέβιος, χρόνου οὐ πλείστου με-
ταξὺ γενομένου, βασιλεὺς κωνστάντιος, τὸν πάντα βίον, πρᾳ-
ότατος, καὶ τοῖς ὑπηκόοις εὐνοικώτατος. τῷ τε θείῳ λόγῳ
προσφιλέστατον ἑαυτὸν διαθέμενος, παῖδα γνήσιον κωνστάν-
τινον, αὐτοκράτορα καὶ σεβαστὸν ἀνθ' ἑαυτοῦ καταλιπὼν,
κοινῷ φύσεως νόμῳ, τελευτᾷ τὸν βίον. ἁπάσης μετὰ θάνατον
ὅσω *ὅσῃ βασιλεῖ, τις ἂν ὠφείλετο τιμῆς, ἠξιωμένος. χρηστότατος καὶ
ἠπιώτατος βασιλεὺς γεγονώς. ὃς δὴ καὶ μόνος τῶν καθ'
ἡμᾶς ἐπαξίως τῆς ἡγεμονίας τὸν πάντα τῆς ἀρχῆς δια-
τελέσας χρόνον, καὶ τὰ ἄλλα τοῖς πᾶσι δεξιώτατον, καὶ εὐ-
εργετικώτατον παρασχὼν ἑαυτὸν, τέλος εὐδαίμον, καὶ
τρισμακάριστον ἀπείληφε τοῦ βίου. μόνος ἐπὶ τῆς αὐτοῦ βασι-
λείας, εὐμενῶς καὶ ἐπιδόξως, ὑπὸ διαδόχῳ γνησίῳ παιδὶ,
τὰ πάντα σώφρονι καὶ εὐσεβεστάτῳ τελευτῇ. τούτου παῖς
κωνσταντῖνος εὐθὺς ἀρχόμενος βασιλεὺς τελειότατος, καὶ
σεβαστὸς πρὸς τῶν στρατοπέδων. καὶ ὑπὸ πολὺ τούτων
πρότερον.

πρότερον, παρ' αὐτοῦ τοῦ παμβασιλέως θεοῦ ἀναγορευθείς, ζηλω
τὴν ἑαυτὸν τῆς τελείας περὶ τὸν ἡμέτερον λόγον εὐσεβείας
κατεστήσατο. καὶ μεθ' ἕτερα, οὕτω δὴ κωνσταντῖνος. ὃν δὴ
βασιλέα ἐκ βασιλέως. εὐσεβῆ τε ἐξ εὐσεβεστάτου, καὶ
τὰ πάντα σωφρονεστάτου γεγονέναι εἰρήκαμεν. σωφροσύνῃ,
τε καὶ εὐσεβείᾳ τετιμημένον παρὰ τοῦ παμβασιλέως
θεοῦ τῶν ὅλων, καὶ σωτῆρος, κατὰ τῶν δυσσεβεστάτων τυράννων,
ἀνεγηγερμένου. θεοῦ συμμαχήσαντος αὐτῷ παραδοξότατα, πί
πτει μὲν ἐπὶ ῥώμης ὑπὸ κωνσταντίνου μαξέντιος. ὁ δὲ
ἐπ' ἀνατολῆς οὐ πολὺν ἐπιζήσας ἐκείνῳ χρόνον, αἰσχίστῳ
καὶ αὐτὸς θανάτῳ ὑπὸ λικινίου, οὔπω τότε μανέντος, πεμ
φθησομένου κατ' αὐτοῦ, ὑπὸ κωνσταντίνου τοῦ θεοφιλεστάτου
βασιλέως καταστρέφει τὸν βίον. πρότερός γε μὴν, ὁ
τῇ τιμῇ καὶ τάξει τῆς βασιλείας, πρῶτος κωνσταντῖ
νος τῶν ἐπὶ ῥώμης κατατυραννουμένων φειδὼ λαβών,
θεὸν τὸν οὐράνιον, τόν τε τούτου λόγον, αὐτὸν δὴ τὸν πάντων σωτῆρα
ἰησοῦν χριστὸν σύμμαχον δι' εὐχῶν ἐπικαλεσάμενος, πρόεισι πανστρα
τιᾷ, τὰ τῆς ἐκ προγόνων ἐλευθερίας ῥωμαίοις, προμνώμε
νος. ταῦτα ὁ εὐσέβιος.

## περὶ τῶν ὁμοχρόνων βασιλέων, κωνσταν-τίνου, μαξεντίου, καὶ μαξιμίνου.

Ὁ δὲ ῥουφῖνος, εἰ καὶ μὴ κατὰ τάξιν, τὴν ἀκολουθίαν, καὶ τὴν
τῆς ἀληθείας ἁρμονίαν εὐσεβίου τοῦ, πάνυ τοῦ παμφίλου τὴν
ἱστορίαν ἐνέθηκεν, ἀλλ' ὅμως ὅσα συμμένει τῆς εὐσεβίου πραγ
ματείας εὕρομεν ἐκ τῶν αὐτοῦ ῥουφίνου καὶ τῶν ἄλλων
συγγραφέων ἀναλεξάμενος, ἐκθήσω καθὰ ἀνωτέρω εἴρηκα,
τῷ δὲ τοῦ βιβλίου. λέγει δὲ καὶ οὗτος μετὰ γοῦν τὴν τοῦ διοκλη
τιανοῦ, καὶ μαξιμιανοῦ ἀπόθεσιν καὶ τὴν τελευτὴν κωνσταντίου,
ὑπολείπονται τῆς ῥωμαϊκῆς ἀρχῆς, ὁμόχρονοι βασιλεῖς οἱ δε.
κωνσταντῖνος μὲν, τὴν τοῦ πατρὸς μοῖραν εἰληφώς. αὕτη δὲ
ἦν ἀπό τε τῆς καλουμένης εὐρώπης ἀρχομένη, ἐπί τε τὸν
ἴστρον διήκουσα, σκυθίαν, τὲ ἑκατέραν, καὶ κελτοὺς ἅπαν
τας. ἰλλυριοὺς τε καὶ σαυρομάτας, καὶ τὴν ἐπὶ τὸν ῥῆνον
ποταμὸν καθήκουσαν τῶν βαρβάρων γῆν, τήν τε μακεδονίαν
καὶ τὴν πρὸς αὐτὴν θάλασσαν. θεσσαλίαν τε καὶ ἀχαΐαν. καὶ ὅσα
πρὸς ἥλιον δυόμενον ἐπιστρέφοντα τὸ ἰόνιον ὁρίζει πέλαγος.
καὶ μαξιμῖνος δὲ ὁ διοκλητιανοῦ παῖς, ἅπαντα τὰ κατὰ
τὴν ἀνατολὴν ἔθνη, καθά φησιν ὁ εὐσέβιος. μαξέντιος

τε τὴν ῥώμην, καὶ τὰ ἀπὸ τῆς ἰταλίας εἰς αὐτὸν κατήκοντα τὸν ὠκεανὸν διεῖπον.

### περὶ τῆς τυραννίδος μαξεντίου.

γ. Κωνσταντῖνος οὖν, μετὰ τὴν τοῦ πρὸς ἔννομον κηδεμονίαν, καὶ τὰς νομιζομένας τιμάς, ζημίαν ἡγήσατο τῆς ῥωμαίων συμφορᾶς, τὴν ἡσυχίαν. ἤκουε γὰρ τὴν ῥωμαίων πόλιν κάμνουσαν τοῖς μαξεντίου κακοῖς. εἰς γὰρ ὠμότητα τυραννίδος, ὁ τῆς βασιλείας αὐτῷ μετεβάλλετο τρόπος. πολλούς τε γὰρ ἀκρίτους τῶν ἐν τέλει θανάτῳ παρεδίδου. ζημίας τε καὶ φυγάς, καὶ τῆς γῆς ἀναδασμόν, καὶ προτιμήσεις ἀνεξετάστως ἐπέβαλλε. ἤδη δέ, καὶ γυναικῶν ἀλλοτρίων ἐρῶν, ἢ κακίᾳ διέφθειρεν, ἢ τοῖς ἐπιτάγμασιν ἐβιάζετο. καὶ λοιπὸν ἀσφαλὲς ἦν γυναῖκα ἔχειν εὐπρεπῆ, καὶ διὰ σωφροσύνης φυλάσσειν, πολλή τις ἦν κατὰ τὴν πόλιν μιαιφονία. ταῦτα καὶ πλεῖστα ἕτερα ἀκούων ὁ θεοφιλέστατος κωνσταντῖνος ἃ μὴ τῆς παρούσης ἐστὶ συντάξεως, παρωξύνετο. ποιεῖ γὰρ οἰκείαν λύπην τοῖς φιλοθέοις ἀνδράσιν, ἡ τῶν ἀλλοτρίων πραγμάτων ἀδικία.

### περὶ τοῦ βασιλέως κωνσταντίνου, ὅπερ κατὰ τοῦ τυράννου μαξεντίου, ἐστρατοπεδεύσατο.

δ. Ἐδόκει δὴ αὐτῷ λοιπόν, τῶν ὅπλων ἅπτεσθαι. καὶ τοιαῦτα πάσχουσι ῥωμαίοις ἐπαμύναι. τὸ γὰρ ἐκείνους τῶν κακῶν ἐξελέσθαι, ἴσον ἦν εἰπεῖν, καὶ πάντας αὐτοὺς διασῶσαι. βουλὴν δὲ λαμβάνει πρότερον, τὰς ἀποστάσας πόλεις τῆς ῥωμαίων ἡγεμονίας, ἀνακαλέσασθαι. τὰς μὲν τοῖς λόγοις. τὰς δὲ τοῖς ὅπλοις. τὰς δὲ τῇ τῆς φιλανθρωπίας εὐποιΐᾳ. τούς τε γὰρ φόρους αὐτοῖς κουφοτέρους ἀπέφηνε. καὶ τὴν τῆς ἀσφαλείας ἰσότητα παρεῖχε. τάς γε νεωτεροποιΐας, καὶ ἀπονοίας, συνετῶς διέλυε συνέσει μᾶλλον, ἢ φόβῳ. εἰδὼς τὰ σαυροματῶν, καὶ τὰ φράγγων, καὶ τὰ γερμανῶν ἔθνη, φιλόκαινά τε εἶναι, καὶ πρὸς τὰς τῶν βασιλέων ἐπαναστάσεις, εὐρίπιστον ἔχειν ὁρμήν, καὶ νόμον πολλάκις τὴν γνώμην ποιεῖσθαι. ὑπηγάγετο δὲ καὶ βρεττανούς, καὶ τὰς αὐτόθι νήσους, καὶ τὰ λοιπὰ γένη. καὶ ἅπαντας τοὺς τῶν τοῦ ἡλίου δυσμῶν γινομένους μάρτυρας, εἰδέναι φασίν, εἴτε ἀληθῶς τῷ ὠκεανῷ καταδύεται. εἴτε καὶ περὶ τὸ ὕδωρ φθάσας, πάλιν δι' ἑτέρας ὁδοῦ, πρὸς ἡμᾶς ἀνακάμπτει. εἷλε δὲ καὶ τῷ κράτει τῶν ὅπλων, τὰ αὐτόθι βάρβαρα φῦλα. παρέργῳ τῆς μάχης, πρὸς τὸ ἔργον συγχρησάμενος. τοὺς μὲν γὰρ ὑποτάξας, τοὺς δὲ μισθοδοτήσας.

δοτήσας· τοὺς δὲ φίλους ἀντὶ πολεμίων, καὶ συνήθεις, ἀντὶ παλαιῶν ἐχθρῶν καταστήσας, ἐπανήγαγε πάντας συμμάχους. οὐδένα λυπήσας, οὐδὲ πολιορκήσας· καὶ ἐπὶ τὴν ἑτέραν στείαν ἐπελθών· ὅπου γὰρ ὁ θεὸς συμμαχεῖ, πάντα κατευθύνεται· καὶ τὸν ἀνθρώπινον βίον ὑπεραίρει. μετὰ τοιαύτης φιλοθέου γνώμης, ὁ πάντα πιστότατος κωνσταντῖνος, τὸν ῥῆνον ἐπὶ δεξιὰ διαβάς· καὶ πολλὰ μὲν ὄρη· πολλοὺς δὲ ποταμοὺς ἀνωνύμους ὀλίγῳ στρατῷ περαιωθείς· πολλά τε βάρβαρα ἔθνη χειρωσάμενος γάλλων τε καὶ φράγγων, κελτῶν δέκα ἔθνη προσαγόμενος, προσῆγε λοιπὸν τοῖς ἰταλίας ὄρεσι τὸ στράτευμα· ταῦτα ἀκούσαντι τῷ μαξεντίῳ, ταραχή τις ἦν ἀδόκητος. οὐ γὰρ ἄν ποτε τοσαύτην χώραν διαβῆναι προσεδόκα, ὄρεσι καὶ ποταμοῖς, καὶ ποικίλοις βαρβάροις πεφραγμένην· καὶ ταῖς αὐτοφυέσι τῆς ἐρημίας δυσχερείαις. μέγιστον γὰρ γίνεται πολλάκις ἐπιτείχισμα βασιλείας, ἡ τῶν τόπων ἐρημία· καὶ δὴ ἐδόκει σὺν πολλῷ τάχει, ῥώμης ὑπεξελθόντα τὸν στρατὸν ἀνθυπεξάγειν, καὶ τῆς ἰταλίας που προανακρούσασθαι. ὡς δὲ ἀντιπαρετάττοντο, καὶ τὰ σημεῖα εἶδον ἀλλήλων, ἐνταῦθα ἡ μάχη λοιπόν, ἄνισον εἶχε τὴν ἐλπίδα· οἱ μὲν γὰρ ἀπὸ ῥώμης προεκλεχθέντες, καὶ κατὰ *φάλαγγας ἐκλεγόμενοι, καὶ ἐκ πολλῆς ἐκεχειρίας καὶ διαναπαύσεως ὄντες, ἐδόκουν ἀξιόμαχοι καταφαίνεσθαι, φρόνημα φέρειν ἄξιον τῆς πόλεως ἐφάμιλλον. οἱ δὲ μετὰ κωνσταντίνου παρατατόμενοι, πολλὴν μὲν κατειλήφεσαν γῆν· πολλὰ δὲ λάφυρα καὶ σκῦλα τοῦ πολέμου συνήγοντο πόθῳ. ἀθύμῳ δὲ μᾶλλον τῆς νίκης ἢ ἀπολαύσει τῶν εἰλημμένων χρησάμενοι. ἤδη δὲ λοιπὸν ἦσαν πρὸς τὸν κάματον ἀπαγορεύοντες, καὶ πρὸς τὴν πυκνότητα τῶν πόνων ἐνδιδόντες.

*φάλαγγας

## περὶ τοῦ σταυροῦ τοῦ ὀφθέντος ἐν οὐρανῷ, τῷ βασιλεῖ κωνσταντίνῳ.

ε'

Οὔπω δὲ κεκριμένης τῆς μάχης, καὶ τῆς παρατάξεως ἰσοῤῥόπου οὔσης, οὐρανόθεν ὁ θεὸς κωνσταντῖνον ὁπλίζει. δείξας αὐτῷ τὸ σεβάσμιον τοῦ σταυροῦ σύμβολον φωτοειδὲς ἐν οὐρανῷ. γράμματα δὲ ἐμήνυε τῆς ὄψεως τὴν δύναμιν. λέγοντα, τούτῳ νίκα. τοῦτο τὸ διήγημα τοῖς μὲν ἀπίστοις, μῦθος εἶναι δοκεῖ καὶ πλάσμα· τοῖς δὲ ἡμετέροις δόγμασι, κεχαρισμένον· τοῖς δὲ τἀληθῆ πρεσβεύειν συνηθισμένοις ἐναργὴς τοῦ πράγματος ἡ ἀπόδειξις. ὁ γὰρ τούτου τοῦ συμβόλου ζωογράφος θεὸς ἔδειξεν

ἔργ 29

ἔργον μετὰ ταῦτα, τὴν ἀληθεύσασαν τοῦ γράμματος χάριν
ἣν δὲ μήπω πύθωμεν ἀναγράφομεν, περιττὸν γὰρ ἱστορίας
γράφομεν, διὰ τὸ μικρὸν ἄνωθεν ἡμᾶς τὰ χρήσιμα συλλέγειν,
τῶν ἐκείνῳ βεβιωμένων· ἀλλ' οὐκ ἐν τοῖς ἐφεξῆς ἀπεῖπον δεῖ
ἀεὶ ἐπὶ τῆς ἡμετέρας γενεᾶς, οἱ κωνσταντίῳ τῷ κωνσταντίνου
παιδὶ συμπαραταξάμενοι, καὶ αὐτοπτήσαντες τὴν παλαιὰν ἀπ-
ιστίαν, νεαραῖς ὄψεσιν ἐθεράπευσαν. εἴτε γὰρ ἑβραῖοι εἶεν
οἱ τούτοις ἀντιλέγοντες, πολλῷ τούτου ἀπιθανώτερα, τὰ ἐν ταῖς
ἐκείνου βίβλοις πιστευόμενα· θάλασσα περιζωννυμένη· καὶ ὕδωρ τει-
χίζον· καὶ πέλαγος ὁδοιπορούμενον· καὶ θεὸς ἐν βάτῳ φθεγ-
γόμενος· καὶ φλὸξ νομοθετοῦσα· καὶ ἄγγελοι συμπαρατατόμενοι·
καὶ ἀρχιστράτηγοι δυνάμεως κυρίου, τῆς φάλαγγος ὑπερμαχοῦντες·
καὶ λίθοι χαλάζης, καὶ βέλη πυρὸς, ἀντὶ τῶν συνήθων δοράτων
βαλλόμενα· καὶ ὅμως ἀνεξετάστως πάντες οἱ εὖ φρονοῦντες συν-
τιθέμεθα. θεοῦ γὰρ βουλομένου, οὐδὲν ἀνήνυτον. εἴτε ἕλληνες
εἶεν οἱ τὸ θαῦμα μὴ παραδεχόμενοι, πολλὰ ἔχομεν εἰπεῖν,
ἃ μὴ βουλόμεθα λέγειν. πόσα ἀλεξάνδρῳ μᾶλλον περιέθηκαν
τὸν ἐπὶ οὐρανικῷ πόλεμον, καὶ τὴν ἐπὶ δαρείου παράταξιν
ἐπεθείασαν οἱ χρησμολόγοι. καίτοι τὰ ἐκείνων πλάσματα,
τὴν φαινομένην ἀπόδειξιν οὐκ ἔχει. πῶς τε σωκράτει τῷ
φιλοσόφῳ δαιμόνιον διὰ φωνῆς περιφερόμενος, τῶν μὴ πρακτέων
τὴν ἔκβασιν. καὶ τὰ περὶ πυθαγόρου τοῦ σαμίου ὑπὸ τῶν ἐκεί-
νου μαθητῶν συνταχθέντα, ἐῶ λέγειν. καὶ τὰ τῶν ποιητῶν
πλάσματα. καὶ περὶ τινὲς τῶν παρ' αὐτοῖς εὐδοκίμων, καὶ συμ-
πολεμεῖν αὐτοῖς τινὰς τῶν παρ' αὐτοῖς νομισθέντων θεῶν. ἵνα
μή τις τὰ μυθώδη τοῖς ἀληθέσι, καὶ τὰ μηδαμῶς πραχθέντα
τοῖς πραχθεῖσιν ἀντεξετάζειν νομίσῃ. τὴν γὰρ πολυδύναμον
τοῦ χριστοῦ χάριν, ἀφ' οὗπερ εἰς ἀνθρώπους ἤνθησε· καὶ ἐν οὐρανῷ, καὶ
ἐπὶ γῆς, καὶ ἐν θαλάσσῃ, καὶ ἐν φυτοῖς, καὶ ἐν ξύλοις, καὶ ἐν
ἱματίοις, καὶ ἐν νόσοις, καὶ ἐν ὑγείᾳ, καὶ ἐν βρωτοῖς, καὶ ἐν ποτοῖς,
ἀλεξιφάρμακόν τε γενομένην, καὶ γινομένην, καὶ ἐσομένην
θεραπείαν, καὶ οἱ πειραθέντες μὲν ἴσασι, καὶ ἡμεῖς δὲ κατὰ
τὸν ἴδιον καιρὸν, περιτυχόντες τῆς ἱστορίας, ἐκθησόμεθα.

## περὶ τοῦ σημείου, οὗ ἐποιήσατο ὁ βασιλεὺς κωνσταντῖνος ἀντίτυπον τοῦ ὀφθέντος αὐτῷ σταυροῦ, ἐν οὐρανῷ

5. Ὁ δ' οὖν κωνσταντῖνος τὴν τοῦ θαύματος ὄψιν εἰς τροπαίου σχῆμα
μεταβαλὼν, καὶ χρυσοκολλήτοις λίθοις συναρμοσθὲν εἰς δόρατός τε
ἀπαρτίσας ὑψηλοτάτου ὄψιν, ἐδίδου φέρειν τοῖς προπομπεύουσι.

τὴν τῶν.

τὴν τῶν γραμμάτων ὑπόσχεσιν, διὰ τοῦ ἔργου λοιπὸν ἐπιζητεῖ. καὶ τῆς ἐλπίδος οὐ διήμαρτε. θᾶττον μὲν οἷς τε θεᾶται πιστεύσας, τὰ δεύτερα δὲ τῆς ὄψεως τὴν νίκην ὑποδεξάμενος.

## περὶ τῆς κατὰ τοῦ ἀσεβοῦς μαξεντίου νίκης τοῦ εὐσεβοῦς βασιλέως κωνσταντίνου. ζ'.

Ὁ μὲν οὖν κωνσταντῖνος τὸν πολὺν τοῦ πολέμου κόμπον τῇ πίστει ὑποτεμνόμενος, καὶ τὸν ἀπὸ τῆς ῥώμης στρατὸν οὐχ ὑφορώμενος, γενναίως ἀντιπαρετάττετο. μαξέντιος δὲ τὴν κωνσταντίνου ἀλκὴν δείσας, ἔτι τε καὶ τὸ μῖσος ῥωμαίων ὑφορώμενος, πρὸς γὰρ τοὺς πλείστους διὰ τὴν ἀσωτίαν αὐτοῦ διεβέβλητο, ἐσκέψατο δόλῳ τὴν ἐπιβουλὴν μετελθεῖν. ὁ δὲ δόλος γέφυρα ἦν, εἰς μηχανῆς εἶδος ὑπὸ τῶν τοιούτων συμπηγνῦσα. τὸ μὲν γὰρ φαινόμενον ἄνωθεν, διάβασις ἦν, τὸν κωνσταντῖνον ὑποδεχομένη, τὸ δὲ λανθάνον, παγὶς ἦν πλάνης, τοῖς ἐκείνου βήμασι συντεθεῖσα. διαβῆναι γὰρ μικρὸν ἔδει, καὶ τὸ μηχάνημα λέλυτο. καὶ ὁ πόλεμος ἔληπτο, τάφον ἀδόκητον τῆς ἀπωλείας τὸν τόπον λαβών. ἀλλ' ὁ μὲν οὕτως ἐσκεύασε τῆς ἐπιβάσεως τὰ θύρατρα. θεία δὲ χάρις τοῖς οἰκείοις σοφίσμασι, τὸν τῶν κακῶν τεχνίτην περιβάλλει. πρὶν γὰρ κωνσταντῖνον ἁλῶναι, φθάσας αὐτὸς ὑποπίπτει, ταῖς οἰκείαις τέχναις ὁ τύραννος. κἀκεῖ τυραννοκτόνος ἑαυτοῦ γινόμενος, καὶ χρηστὴν ἐπιβουλὴν καθ' ἑαυτοῦ σκευάσας πρὸ τῆς ῥώμης, περὶ τὴν καλουμένην μιλβίαν γέφυραν ὤλετο. ὥστε τὸν δῆμον ὅλον ῥωμαίων βοῆσαι, λέγοντα. ᾄσωμεν τῷ κυρίῳ. ἐνδόξως γὰρ δεδόξασται, καθά φησιν εὐσέβιος ὁ παμφίλου. ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν. καὶ τίς ὅμοιός σοι ἐν θεοῖς κύριε, τίς ὅμοιός σοι, δεδοξασμένος ἐν ἁγίοις. θαυμαστὸς ἐν δόξῃ ποιῶν τέρατα.* οἷς ἐπιλέγει ὁ αὐτὸς ταῦτα, καὶ ὅσα τούτοις ἀδελφά ὡς
τε, καὶ ἐμφερῆ. κωνσταντῖνος δὲ τὸν πανηγεμόνα, καὶ τῆς νίκης αἴτιον θεόν, καὶ τὸν μονογενῆ αὐτοῦ υἱὸν ἰησοῦν χριστόν, αὐτοῖς ἔργοις ἀνυμνήσας, ἐπὶ ῥώμην μετ' ἐπινικίων εἰσήλαυνε. πάντες ἀθρόως αὐτὸν ἅμα κομιδῇ νηπίοις, καὶ γυναιξί, τῶν τε ἀπὸ τῆς συγκλήτου βουλῆς, καὶ τῶν ἄλλων διασημοτάτων, σὺν παντὶ δήμῳ ῥωμαίων, φαιδροῖς ὄμμασιν αὐταῖς ψυχαῖς,* οἱ λυτρωτὴν δια λυτρ.
σωτῆρά τε καὶ εὐεργέτην μετ' εὐφημιῶν καὶ *ἀπλείστου χαρᾶς ἀπλήστου
ὑποδεχόμενοι. ὁ δὲ ἔμφυτον τὴν εἰς τὸν θεὸν εὐσέβειαν κεκτημένος, μηδ' ὅλως ἐπὶ ταῖς βοαῖς παρασαλευόμενος, εὖ μάλα τῆς ἐκ θεοῦ συναισθόμενος βοηθείας, αὐτίκα τὸ τοῦ σωτηρίου πάθους τρόπαιον ὑπὸ χεῖρα ἰδίας εἰκόνος ἀνατεθῆναι προστάττει. καὶ δὴ σταυροῦ σημεῖον ἐν τῇ δεξιᾷ κατέχοντα αὐτὸν ἐν τῷ μάλιστα τῶν ἐπὶ ῥώμης δεδημοσιευ-

σωτηριώδει μένων τόπῳ στήσαντες. αὐτὴν δὴ ταύτην προσγραφὴν ἐνταχθῆναι ῥήμασιν αὐτοῖς ἐγκελεύεται τῇ ῥωμαίων φωνῇ. τούτῳ τῷ* σωτηριώδει σημείῳ τῷ ἀληθινῷ ἐλέγχῳ τῆς ἀνδρείας, τὴν πόλιν ὑμῶν ἀπὸ ζυγοῦ τοῦ τυράννου διασώσας, ἠλευθέρωσα. ἔτι μὴν καὶ τὴν

καὶ λαμπρότητι σύγκλητον, καὶ τὸν δῆμον ῥωμαίων, τῇ ἀρχαίᾳ ἐπιφανείᾳ* λαμπρότητα ἐλευθερώσας, ἀποκατέστησα· τοσαῦτα εὐσέβιος.

## περὶ λικινίου πεμπομένου παρὰ τοῦ εὐσεβοῦς κωνσταντίνου, κατὰ τοῦ ἐπ' ἀνατολῆς τυράννου.

η'. Οὕτω μὲν ῥουφῖνος, ἤγουν γελάσιος, ταῦτα λέγει ὧδε. μετὰ ταῦτα λικίνιον γαμβρὸν τυγχάνοντα τοῦ θεοφιλοῦς κωνσταντίνου, ἐπὶ τῇ ἀδελφῇ κωνσταντίᾳ, συμβασιλεύειν τῷ κωνσταντίνῳ ἡ ῥωμαίων ᾐτήσατο σύγκλητος. ὅντινα αὖθις, ἐπὶ τὴν ἑῴαν ἐξέπεμψε, κατὰ τοῦ ἐκεῖσε τυράννου, τὴν σωτηρίαν τῶν ἐκεῖσε χριστιανῶν προμηθούμενος. ἀπολαύσας γὰρ τῶν τηλικούτων εὐεργεσιῶν τοῦ θεοῦ. ὁ εὐσεβὴς κωνσταντῖνος, εὐχαριστήρια τῷ δεσπότῃ προσφέρειν ἐσπούδαζε. ταῦτα ἦν, τὸ ἀνεῖναι τοὺς χριστιανοὺς τοῦ διώκεσθαι. καὶ τοὺς ἐν ἐξορίᾳ ὄντας, ἀνακαλεῖσθαι. καὶ τοὺς ἐν δεσμωτηρίοις, ἀφίεσθαι. καὶ τοῖς δημευθεῖσι, τὰς οὐσίας αὐτῶν ἀποκαθίστασθαι. τάς τε ἐκκλησίας ἀνορθοῦσθαι. καὶ πάντα ἐποίει σὺν προθυμίᾳ πολλῇ τὰ τοῦ θεοῦ φρονῶν. τὰ πάντα χριστιανὸς

χριστιανοῖς ὤν, καὶ* χριστιανὸς πάντα ἔπραττεν, ἀνεγείρων τὰς ἐκκλησίας τοῦ θεοῦ, καὶ πολυτελέσι τιμῶν ἀναθήμασιν. ἔτι δὲ καὶ τοὺς ἑλλήνων ναοὺς καθαιρεῖσθαι, καὶ πυρὶ διαφθείρεσθαι προσέταττεν.

## περὶ τῆς τοῦ κατὰ ἀνατολὴν τυράννου μαξιμιανοῦ ἀπονοίας.

θ'. Ὁ μέντοι κατὰ τὴν ἀνατολὴν τύραννος, τὰς τοῦ θεοῦ ἐκκλησίας ἐπόρθει. ἐξεπερίελθε δὲ αὐτόν, τοιαύτη τις αἰτία. τὸ μέγεθος τῆς οὐ κατ' ἀξίαν αὐτῷ ἐπιτραπείσης ἡγεμονίας, μήτε οἷός τε φέρειν ὤν. ἀλλὰ δι' ἀπειρίαν σώφρονος καὶ βασιλικοῦ λογισμοῦ, ἀπειροκάλως τοῖς πράγμασιν ἐγχειρῶν. ἐπὶ πᾶσι δέ, ὑπερηφανίας μεγαλαυχίᾳ τὴν ψυχὴν ἀλόγως ἀρθείς, ἤδη καὶ κατὰ τῶν τῆς βασιλείας κοινωνῶν. καὶ τοῦ πάντα αὐτοῦ μάλιστα κωνσταντίνου, διαφέροντος γένει τε καὶ τροφῇ, καὶ παιδείᾳ, ἀξιώματί τε, καὶ συνέσει. καὶ τό γε πάντων κορυφαιότατον, σωφροσύνῃ. καὶ τῇ περὶ τὸν ἀληθῆ θεὸν εὐσεβείᾳ διαλάμποντος, τολμᾶν ὥρμητο μαξιμῖνος, θρασύνεσθαι. καὶ πρῶτον ἑαυτόν, ταῖς τιμαῖς ἀνακηρύττειν. ἐπιτείνας δὲ εἰς ἀπό

νοιαν

νοιαν μανίας, τάς τε συνθήκας ἃς πρὸς Λικίνιον πεποίητο πα-
ρασπονδήσας, πόλεμον ἄσπονδον αἱρεῖται. εἶτα ἐν βραχεῖ τὰ
πάντα κυκήσας, πᾶσάν τε πόλιν ἐκταράξας, καὶ πᾶν στρατόπεδον
μυριάνδρων τὸ πλῆθος συναγαγών, ἔξεισιν εἰς μάχην πρὸς
Λικίνιον, κατά τε αὐτοῦ, καὶ τοῦ αὐτὸν στέλλοντος κωνσταντίνου.
καὶ δὴ συμβαλὼν εἰς χεῖρας, ἔρημος τῆς ἐκ θεοῦ καθίσταται
ἐπισκοπῆς. ἐξ αὐτοῦ τῆς νίκης τῷ παντὶ μόνου θεοῦ πρυτανευ-
θείσης, τῷ τότε κρατοῦντι κωνσταντίνῳ. ἀπόλλυσι μὲν πρῶτον,
τὸ ἐφ' ᾧπερ* ἐπεπόνθει ὁπλιτικὸν πλῆθος ὁ ἀλιτήριος. τόν τε    *ἐπεποίθει
ἀμφ' αὐτὸν δορυφόρον γυμνωθείς, καὶ πάντων ἔρημος αὐτὸν κατα-
λελοιπότων, τῷ τε κρατοῦντι προσπεφευγότων, ὑπεκδὺς ὁ δεί-
λαιος ὡς τάχιστα τὸν οὐ πρέποντα αὐτῷ βασιλικὸν κόσμον,
δειλιῶς, καὶ δυσμενῶς, καὶ ἀνάνδρως ἀποδὺς ὑποδύνει τὸ πλῆθος.
καὶ ἔπειτα, διαδιδράσκει, κρυπταζόμενός τε ἀνὰ τοὺς ἀγρούς, καὶ
τὰς κώμας, μόλις τῶν* πολεμιστῶν τὰς χεῖρας διέξεισι, τὰ τῆς    *πολεμιστῶν
σωτηρίας αὐτῷ πραγματευσάμενος. ἔργοις αὐτοῖς εὖ μάλα πιστοὺς καὶ ἀλη-
θεῖς τοὺς θείους ἀποφῆναι, ἔνεστιν ὧδε χρησμοὺς ἐν οἷς εἴρηται,
οὐ σώζεται βασιλεύς, διὰ πολλὴν δύναμιν. καὶ γίγας οὐ σωθήσεται
ἐν πλήθει ἰσχύος αὐτοῦ. ψευδὴς ἵππος εἰς σωτηρίαν. ἐν δὲ πλήθει
δυνάμεως αὐτοῦ, οὐ σωθήσεται. ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς
φοβουμένους αὐτόν. τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι
ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν. ὁ δὲ δυσσεβής, ἀθρόᾳ θεοῦ
πληγεὶς μάστιγι, ἐν δευτέρᾳ συμβολῇ καταστρέφει τὸν
βίον. γίνεται δὲ αὐτῷ τὰ τῆς καταστροφῆς, οὐχ οἷα στρα-
τηγοῖς πολεμάρχαις ὑπὲρ ἀρετῆς καὶ γνωρίμων πολλάκις
ἀνδριζομένοις ἐν πολέμῳ τὴν εὐκλεῆ τελευτὴν εὐθαρσῶς
ὑπομεῖναι. ἀλλὰ γὰρ ἅπαξ ὢν δυσσεβής, καὶ θεομάχος, τῆς πα-
ρατάξεως ἐν ταὐτῷ πρὸ τοῦ πεδίου συνεστώσης, οἴκοι μένων
αὐτὸς καὶ κρυπταζόμενος, τὴν προσήκουσαν τιμωρίαν ὑπέχει,
ἀθρόως θεοῦ πληγεὶς μάστιγι. ὡς ἀλγηδόσι δειναῖς, καὶ περιωδυ-
νίαις ἐλαυνόμενος, πρηνὴ καταπεσεῖν, λιμῷ τε διαφθείρεσθαι, τάς
τε σάρκας αὐτοῦ ὅλας, ἀοράτῳ, καὶ θεηλάτῳ πυρὶ κατατήκεσθαι.
ὡς διαρρεύσαντα τὸ μὲν πᾶν εἶδος τῆς παλαιᾶς μορφῆς ἀφα-
νισθῆναι. ξηρὸν δ' αὐτὸν μόνον ὀστέον γεγονέναι.* οἷον τι μακρῷ    *οἷον τε (?)
κατεσκελετευμένον εἴδωλον ὑπολειφθῆναι. ὡς μηδέν, ἄλλο τι
νομίζειν τοὺς παρόντας, ἢ τάφον αὐτῷ τῆς ψυχῆς γεγονέναι
τὸ σῶμα, ἐν εἴδει νεκροῦ καὶ παντελῶς ἀπορρεύσαντι κατορωρυγ-
μένης. σφοδρότερον δὲ ἔτι μᾶλλον τῆς θέρμης αὐτὸν ἐκ βάθους
μυελῶν καταφλεγούσης. προπηδῶσι* δὲ αὐτοῦ τὰ ὄμματα, καὶ τῆς    *τε

ἰδίας λήξεως ἀποπεσόντα, πρὶν αὐτὸν ἀφιᾶσιν. ὁ δὲ ἐπὶ τούτοις
ἀναπνέων, ἀνθομολογούμενος τῷ Χριστῷ, θάνατον ἐπεκαλεῖτο. καὶ τὸ
πανύστατον ἐνδίκως ταῦτα τῆς κατὰ τοῦ Χριστοῦ παροινίας ἕνεκα
πεπονθέναι ὁμολογήσας, ἀφίησι τὴν ψυχήν. οὕτω δῆτα Μαξι-
μίνου ἐκ ποδῶν γενομένου, ὃς μόνος ἐπελείπετο τῶν τῆς θεο-
σεβείας ἐχθρῶν ἁπάντων χείριστος ἀναπέφηνεν.

## περὶ τῆς τῶν ἐκκλησιῶν ἀνέσεως.

τί Τὰ μὲν τῆς τῶν ἐκκλησιῶν ἀνέσεως, ἐκ θεμελίων αὐτῶν χάριτι
ὁ δὲ τοῦ θεοῦ τοῦ παντοκράτορος, ἠγείρετο. * ὅ τε τοῦ Χριστοῦ λόγος, εἰς
δόξαν τοῦ τῶν ὅλων θεοῦ διαλάμπων, μείζονα τῆς ἔμπροσθεν
ἀπελάμβανε παρρησίαν. ταῦτα ἐν ἐνάτῳ τόμῳ τῆς ἐκ-
κλησιαστικῆς ἱστορίας, ὁ πάντα ἄριστος συντέταχεν ὁ Παμφίλου
Εὐσέβιος. τῶν γὰρ αὐτοῦ πόνων ὡς ἀνωτέρω μοι εἴρηται, καὶ
τῶν ἄλλων τὴν ἀνάλεξιν ποιούμενος, τοῦ βιβλιδίου τούτου
διὰ βραχέων ἐγχαράττω τὴν σύνταξιν. πλείστην ὅσην σπουδὴν
τὴν πορείαν τοῦ λόγου ποιούμενος, ἐπὶ τὸ ὑψηλὸν καὶ λαμπρο-
φανές, ἅγιον, καὶ θεῖον ὄρος τῆς κατὰ Νίκαιαν ἀποστολικῆς
καὶ ἐναρέτου τῶν τοῦ θεοῦ ἱερέων συνόδου. ὁρῶν μάλιστα τὸν προ-
φήτην κραταιοῦντά με τῆς χειρός, καὶ προτρέποντα. δεῦρο
φησὶν ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου. καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ
Ἰακώβ. καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ. καὶ πορευσόμεθα
ἐν αὐτῇ. ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος. καὶ λόγος κυρίου ἐξ
Ἱερουσαλήμ. ἀληθῶς γὰρ Σιών, καὶ Ἱερουσαλήμ, καὶ ὄρος κυρίου ὑψηλότατον,
καὶ οἶκος τοῦ θεοῦ Ἰακώβ. ὁ θεῖος ἐκεῖνος τῶν τοῦ θεοῦ ὀρθοδό-
ξων ἱερέων ὅμιλος. οἳ τὰ ἅγια διασκεψάμενοι, καὶ παραστήσαντες
διά τε γραφῶν προφητικῶν, καὶ εὐαγγελικῶν, καὶ ἀποστολικῶν,
περὶ τοῦ λόγου τῆς ζωῆς. τουτέστι, τοῦ υἱοῦ τοῦ θεοῦ. ὡς ἀληθῶς
ἄκτιστος, τῇ τῆς θεότητος φύσει. καὶ οὐ κτίσμα, καθὼς ὁ θεο-
μάχος καὶ ἀσεβέστατος, κατ' αὐτοῦ ἐβλασφήμησεν Ἄρειος. καὶ
ὅτι τῆς αὐτῆς οὐσίας, ἧς καὶ ὁ γεννήσας αὐτὸν πρὸ τῶν αἰ-
ώνων ἁπάντων ὑπάρχει πατήρ. καὶ τοῦ αὐτοῦ χρήματος. ὁμοίως δὲ
καὶ τὸ πνεῦμα τὸ ἅγιον, τῆς αὐτῆς θεότητος, καὶ οὐσίας ἧς ὁ πατήρ,
σαφέστατα ἔδειξαν. καὶ ἀληθῶς ὑψηλὸν ὄρος θεοῦ, ἄνωθεν ἡμῖν
καθὰ προεδήλωσεν ὁ λόγος παρ' αὐτοῦ τοῦ κυρίου διὰ τῶν ἀπο-
στόλων δοθείς. καὶ νῦν διὰ τῶν αὐτοῦ ἱερέων, κατὰ τὴν Νικαέων,
γραφικαῖς μαρτυρίαις τρανωθείς. ὁ προσημαντὸς οὗτος καὶ
ἅγιος τῆς ὁμωνύμου πίστεως ὅρος. περὶ οὗ σαφέστερον ἡμῖν ἀπερ-

γία τῆς

νίᾳ τῇ τοῦ θεοῦ χάριτος, πειθὼ ἀποδείξει ὁ λόγος. ἀλλ' ἐπὶ τὴν προκειμένην ἡμῖν, τῆς ἐκκλησιαστικῆς ἱστορίας ὑπόθεσιν ἐπανέλθωμεν, ἐπαναλαβόντες τὰ περὶ τῆς τοῦ βασιλέως θεοῦ, εἰς τὸν αὐτὸν λαὸν ἀντιλήψεως. καὶ τῆς τοῦ τυράννου καταστροφῆς, διὰ τοῦ θεράποντος αὐτοῦ τοῦ θεοφιλοῦς κωνσταντίνου τοῦ βασιλέως. ἣν δι' αὐτοῦ εἰρήνην ἐπρυτάνευσε, ταῖς κατὰ τὴν οἰκουμένην αὐτοῦ ἐκκλησίαις, ὁ μόνος μέγας κύριος. ὁ ποιῶν καιρούς, καὶ χρόνους. μεθιστῶν βασιλεῖς, τε καὶ καθιστῶν. ἐγείρων ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. καὶ βραχίονας ὑπερηφάνων συνέτριψεν ὁ θαυματουργός, ὁ μεγαλουργός, ὁ παντοκράτωρ, ὁ πανάγαθος, ὁ εἷς, καὶ μόνος θεός. ᾧ τὸ καινὸν ᾆσμα ἀναπέμπομεν. προσυπακούοντες, τῷ ποιοῦντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. τῷ πατάξαντι βασιλεῖς μεγάλους, καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν, ἐμνήσθη ἡμῶν ὁ κύριος. ἐφ' οἷς ἅπασιν ἀνυμνοῦντες, μὴ διαλείπωμεν τὸν τῶν ὅλων θεόν, καὶ τὸν τούτου μονογενῆ υἱὸν ἰησοῦν χριστὸν τὸν κύριον ἡμῶν. τὸν σωτῆρα, τὸν παντὸς ἡμῖν τῶν ἀγαθῶν αἴτιον. τὸν τῆς θεογνωσίας αὐτοῦ εἰσηγητὴν ἡμῶν. τὸν τῆς εἰς αὐτὸν εὐσεβείας διδάσκαλον. τὸν τῶν ἀσεβῶν ὀλετῆρα. τὸν τυραννοκτόνον. τὸν τοῦ βίου διορθωτήν. τὸν τῶν ἀπεγνωσμένων σωτῆρα ἡμῶν, ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, πάντες δοξάζωμεν. ὅτι δὴ μόνος, οἷα πανάγαθος πατρός, βουλῇ τῆς πατρικῆς, καὶ ἑαυτοῦ, καὶ τοῦ ἀγαθοῦ τῆς φιλανθρωπίας, τῶν κάτω που κειμένων ἐν φθορᾷ, τὴν σωτηρίαν ἡμῶν προθυμηθέμενος, εὖ μάλα τὴν ἡμετέραν ὑποδὺς φύσιν, καθάπερ τις ἄριστος ἰατρός, τὰς ἀσθενείας ἡμῶν ἀναλαβών, καὶ τὰς νόσους φέρων, καὶ τότε καὶ ἀεὶ σωτηρίαν καὶ ζωήν, τῷ τῶν ἀνθρώπων κατειργάσατο γένει. ὃς δὴ βασιλεὺς βασιλέων, καὶ τοῦ ἰδίου λαοῦ ἀεὶ προμηθούμενος, τὸν αὐτῷ φίλον καὶ θεράποντα, τὸν ἴδιον, κωνσταντῖνον. τοῖς τῆς εἰς αὐτὸν πίστεως, καὶ εὐσεβείας ὅπλοις φράξας κατὰ τῶν ἀσεβῶν τυράννων. τοῦ τε κατὰ τὴν ῥώμην μαξεντίου, καὶ τοῦ κατὰ τὴν ἀνατολὴν μαξιμίνου ἀνεγήγερκεν. οὓς δι' αὐτοῦ ἀνελών, φαιδρὰν καὶ βαθεῖαν εἰρήνην, τῷ οἰκείῳ λαῷ ἀποδέδωκεν.

## περὶ τῆς λικινίου κακοτροπίας.

Οὐκ ἦν δὲ ἄρα φησὶν ὁ παμφίλου εὐσέβιος, τῷ μισοκάλῳ ια'

φθόνῳ, τῷ τε φιλοπονήρῳ δαίμονι, φορητὸς ἦν τὸν ὁρώμενον θέα-
ὥσπερ οὖν οὐδὲ Λικινίῳ μεταστρέπειν, ὥσπερ ἔτυχεν, αὐτῷ
καὶ πρὸς σώφρονα λογισμόν, τὰ τοῖς ἔμπροσθεν δεδηλωμένοις
οὐ φερομένης — τυράννοις συμβεβηκότα. ὃς* εὐφραινομένης αὐτῷ τῆς ἀρχῆς,
δευτερείων — τῆς βασιλέως τοῦ μεγάλου Κωνσταντίνου *δευτερεύουσαν τιμῆς,
ἐπιγαμβρείας, τε καὶ συγγενείας ἠξιωμένος. μίμησιν μὲν τῆς
τῶν καλῶν ἀπελιμπάνετο. τῆς δὲ τῶν ἀσεβῶν τυράννων μοχθη-
ρίας, ἐζήλου τὴν κακοτροπίαν. καὶ ὧν τοῦ βίου τὴν καταστροφὴν
ἐπεῖδεν αὐτοῖς ὀφθαλμοῖς, τούτων ἕπεσθαι τῇ γνώμῃ μᾶλλον,
διαθέσει ~~ἢ φιλίᾳ~~ ἐμμένειν ἢ φιλίᾳ ἠρεῖτο. — ἢ τῇ τοῦ κρείττονος* φιλίᾳ, τε καὶ διαθέσει ἠβούλετο. δια-
φθονηθεὶς τοιγαροῦν τῷ πανευεργέτῃ πόλεμον δυσαγῆ καὶ
δεινότατον πρὸς αὐτὸν ἐκφέρει. οὐ φύσεως νόμων φεισάμενος.
οὐχ ὁρκωμοσιῶν, οὐχ αἵματος. οὐ συνθηκῶν μνήμην ἐν διανοίᾳ
λαβών. ὁ μὲν γὰρ αὐτῷ οἷα πανάγαθος βασιλεύς, εὐνοίας
παρέχων ἀληθοῦς σύμβολα, συγγενείας τῆς πρὸς αὐτὸν οὐκ ἐφθόνησε.
γάμων τε λαμπρῶν ἀδελφῆς, μετουσίαν οὐκ ἀπηρνήσατο. καὶ μεθ'
ἕτερα, ἀλλὰ τούτοις τἀναντία Λικίνιος διεπράττετο. παντοίας
ὡσημέραι — *ὡς ἡμέραι, κατὰ τοῦ κρείττονος μηχανὰς ἐπιτεχνώμενος ὁμι-
πάντας τε — σόθεος,* πάντας ἐπινοῶν ἐπιβουλῆς τρόπους ὡς ἂν κακοῖς τὸν εὐερ-
φίλος κηδεμών τε — γέτην ἀμείψηται. οὓς ἐπιλέγει, τῷ δὲ ἦν ἄρα ὁ θεὸς* φιλοκη-
δεμών, καὶ φύλαξ. τῷ Κωνσταντίνῳ λέγων. ὃς αὐτῷ τὰς ἐν βα-
θεῖ ὄρφνῃ καὶ σκοτεινῷ μηχανευομένας ὑπὸ τοῦ τυράννου συμβου-
ἀρετ. — λίας, εἰς φῶς ἄγων διήλεγχε. τοσοῦτον* ἀρετή, τὸ μέγα τῆς
θεοσεβείας ὅπλον, πρὸς ἄμυναν μὲν ἐχθρῶν, οἰκείας δὲ φυ-
ᾧ δὴ — λακὴν σωτηρίας ἰσχύει,* ὧν δὲ πεφραγμένος ὁ θεοφιλέστατος ἡμῶν
βασιλεὺς Κωνσταντῖνος, τῇ ἐκ θεοῦ βοηθείᾳ, τὰς τοῦ δυσωνύμου
πολυπλόκους ἐπιβουλὰς διεδίδρασκεν. ὁ δὲ τύραννος τὴν λα-
ὡς οὐδ'. — θραίαν συσκευήν,* οὐδαμῶς ἑώρα κατὰ γνώμην χωροῦσαν, τοῦ
θεοῦ πάντα δόλον τε καὶ ῥᾳδιουργίαν τῷ θεοφιλεῖ καταφω-
ρα ποιοῦντος, οὐκέτι οἷός τε ὢν ἐπικρύπτεσθαι, προφανῆ πόλεμον
ὅμοσε ὅπλα — αἱρεῖται.* ὁμῶς ἔδει κατὰ Κωνσταντίνου πολεμεῖν,* διαγνοὺς — διαγνοὺς
ἤδη καὶ κατὰ τοῦ θεοῦ τῶν ὅλων, ὡς φρενοῦ Κωνσταντίνου, ὃν
κἄπειτα — ἠπίστατο σέβειν αὐτόν, παρατάττεσθαι ὥρμηται.* καὶ ἔπειτα
τοὺς ὑπ' αὐτῷ θεοσεβεῖς ἤλαυνε. καὶ μεθ' ἕτερα. καὶ ὁ τρόπος
δὲ τοῦ κατ' αὐτὸν φθόνου, ξένος τις ἦν. καὶ οἷος οὐδὲ πώπο-
τε ἠκούσθη. τὰς γοῦν ἀμφὶ τὴν Ἀμάσειαν, καὶ τὰς λοιπὰς
τοῦ Πόντου πόλεις, ὅσοις κακοῖς περιέξεσθαι προσέταξε, πᾶσαν

ὑπερβολὴν

ὑπερβολὴν ὠμότητος ὑπερηκόντισεν. ἔνθα τῶν ἐκκλησιῶν* τοῦ θεοῦ
αἱ μὲν, ἐξ ὕψους, εἰς ἔδαφος αὖθις κατερρίπτοντο. τὰς δὲ
ἀποκλείεσθαι ἐκέλευσεν. ὡς ἂν μὴ συνάγοιντό τις τῶν εἰω
θότων, μηδὲ τῷ θεῷ τὰς ὀφειλομένας εὐχὰς καὶ λατρείας ἀπο
διδῶσι. συντελεῖσθαι γὰρ οὐχ ἡγεῖτο ὑπὲρ αὐτοῦ ταύτας. πῶς γὰρ
οἷόν τε ἦν τοῦτο ἐννοεῖν τὸν μισόθεον. φαύλως συνειδότι τοῦτο λογι
ζόμενος. ὑπὲρ δὲ κωνσταντίνου τοῦ θεοφιλοῦς βασιλέως πράττειν ἡ
μᾶς, καὶ τὸν θεὸν ἱλεοῦσθαι ἐπέπειστο. ὅθεν ἐκ τούτου παροξυνθεὶς
τὸν θυμὸν καθ᾽ ἡμῶν ἐπισκήπτει. καὶ μετὰ βραχέα. καὶ δὴ ἀπή
γοντο πολλοὶ τῶν ἐπισκόπων, καὶ ἐκολάζοντο ἀπερφράστως, ὁμοί
ως τοῖς μιαιφόνοις, οἱ μηδὲν ἠδικηκότες, καινοτέραν ὑπομέ
νοντες τελευτήν. ξίφει τὸ σῶμα εἰς πολλὰ τμήματα κατα
κρεουργούμενοι. καὶ μετὰ τὴν ἀπηνῆ ταύτην καὶ φρικωδεστάτην
θέαν, τοῖς τῆς θαλάσσης βυθοῖς, τοῖς ἰχθύσιν εἰς βορὰν ἐρρί
πτοντο. φυγαὶ δὲ αὖθις ἐπὶ τούτοις τῶν θεοσεβῶν ἁπάντων ὁμοῦ
ἀνδρῶν, καὶ γυναικῶν, σὺν κομιδῇ νηπίοις ἐγίνοντο. καὶ πάλιν ὄρη
καὶ πάλιν ἐρημίαι. νάπαι, τε καὶ ὄρη τοὺς τοῦ θεοῦ θεράποντας, ὑπε
δέχοντο. κατὰ πάντων ἀνακινήσαντες τοῦ δυσσεβοῦς τὸν πόλεμον.
καὶ μετὰ βραχέα, εἰ μὴ τάχιστα τὸ μέλλον ἔσεσθαι προλαβὼν,
ὁ τῶν* ψυχῶν ὑπεράγαθος θεὸς, ὡς ἐν βαθεῖ σκότῳ καὶ νυκτὶ ζο οἰκείων ψυχῶν ὑπέρμαχος
φωδεστάτῃ φωστῆρα μέγαν ἀθρόως, καὶ σέλα τοῖς πᾶσιν ἐξέ
λαμψε τὸν αὐτοῦ θεράποντα κωνσταντῖνον. ὑψηλῷ βραχίονι
*γενναιοτάτῃ δὲ χειρὶ χειραγωγήσας. τούτῳ μὲν οὖν ἄνωθεν ἐπὶ τὰ τῆδε
ἐξ οὐρανῶν καρπὸν εὐσεβείας ἐπάξιον, τρόπαια κατὰ τῶν ἀσε
βῶν παρέσχε νίκης. τὸν δὲ ἀλιτήριον, αὐτοῖς συμβούλοις ἅπασι
καὶ φίλοις, ὑπὸ τοῖς κωνσταντίνου ποσὶ πρηνῆ κατέβαλεν, ὁ κω
νσταντίνου, καὶ πάντων ἡμῶν θεός. ὡς γὰρ εἰς ἔσχατα μανίας τὰ
κατ᾽ αὐτὸν ἤλαυνεν,* οὐκ ἀνεκτὸν εἶναι λογισάμενος βασιλεὺς ἐκείνου
κωνσταντῖνος ὁ τῷ θεῷ φίλος, τὸν ἔμφυτον σώφρονα καὶ εὐσεβῆ
συναγαγὼν λογισμὸν, καὶ στερρὸν τοῦ δικαίου* τρόπαιον φιλανθρωπίᾳ τρόπον
κερασάμενος, ἐπαμῦναι κρίνει τοῖς ὑπὸ τῷ τυράννῳ ταλαι
πωρουμένοις. καὶ τό γε πλεῖστον ἀγωνισάμενος, βραχεῖς λυμεῶ
νας ἐκποδὼν ποιησάμενος, ἀνασώσασθαι ὁρμᾶται. μόνη γὰρ
αὐτῷ λειπομένη φιλανία τῷ δυσσεβεῖ, τῇ φιλανθρωποτά
του βασιλέως κωνσταντίνου, τὸν περὶ τοῦτο χρόνον, καὶ τὸν
οὐ συμπαθείας ἄξιον ἐλέγχοντος, τῷ μὲν ἐγίνετο πλέον οὐδὲν

τῆς κακίας ἀπαλλαττομένῳ· αὔξοντι δὲ μᾶλλον τὴν κατὰ τῶν
ὑποχειρίων ἐθνῶν λύτταν· τοῖς δὲ κακουμένοις, οὐδεμία ἦν σωτηρίας
φιλαγάθῳ ἐλπὶς, ὑπὸ δεινοῦ θηρὸς καταπονουμένοις· διὸ δὴ τῷ* φιλανθρώπῳ
ἀρωγὸς μίξας τὸ μισοπόνηρον, ὁ τῶν ἀγαθῶν* χορηγὸς, προέρχεται ἅμα
παιδὶ κρίσπῳ βασιλεῖ φιλανθρωποτάτῳ ἀπὸ τῆς ἑσπερίων τῆς
μεγίστης ῥώμης, ἐπὶ τὴν ἑῴαν κατὰ τοῦ τυράννου, σωτηρίας δε-
ξιὰν ἅπασι τοῖς ἀπολλυμένοις ἐκτείνας· παμβασιλεῖ θεῷ, καὶ παι-
δὶ Χριστῷ ποδηγῷ καὶ συμμάχῳ χρώμενοι· πατὴρ κωνσταντῖνος βασι-
λεὺς ἅμα υἱῷ βασιλεῖ κρίσπῳ, ἄμφω κύκλῳ διελόντες τὴν
κατὰ τῶν θεομισῶν παράταξιν, ῥᾳδίαν τὴν νίκην ἀποφέρον-
ται, τῶν κατὰ τὴν συμβολὴν πάντων ἐξευμαρισθέντων αὐτοῖς· καὶ
κατὰ γνώμην τοῦ παμβασιλέως θεοῦ καθά φησιν ὁ φιλαλη-
θέστατος εὐσέβιος ὁ τοῦ πανευφήμου παμφίλου· ἕτερος δὲ α
φησιν, εἰ καὶ μηδεμίαν μοῖραν τῶν γεγενημένων ἐπὶ λικι-
νίου πράγματι ἐμνημόνευσεν, ὅμως καὶ αὐτὰ τὰ λεξίδια
τοῦ προρρηθέντος ἀναλεξάμενος, ἐνθήσω τῇ συγγραφῇ.
φησὶ δὲ οὕτως· λικίνιος μὲν οὖν ὁ συμβουλεύων αὐτῷ δῆλον
ὅτι τῷ βασιλεῖ κωνσταντίνῳ, τὰς ἑλληνικὰς ἔχων δόξας,
ἐμίσει χριστιανούς· καὶ διωγμὸν μὲν προφανῆ κατ' αὐτῶν, φό-
βῳ τοῦ βασιλέως κωνσταντίνου, κινεῖν ὑπεστέλλετο· λεληθό-
τως δὲ, πολλοὺς ἐσκευωρεῖτο· προϊὼν δὲ, φανερῶς τὸν κατὰ
ἀνεκίνει πάντων διωγμὸν* ἀνεκρίνει, ἐν τοῖς τῆς ἀνατολῆς τόποις.
ὡς καὶ πολλοὺς τοῦ Χριστοῦ μάρτυρας ἀναδειχθῆναι ἐν δια-
φόροις τόποις. ἐκ δὴ τούτου, εἰς ἀπέχθειαν τὴν πρὸς
αὐτὸν μεγίστην τὸν βασιλέα κωνσταντῖνον ἐκίνησεν· ἦσαν
δὲ πρὸς ἀλλήλους πολέμιοι· ταῦτα μὲν οὕτως· οἱ δὲ λοιποὶ
ὅσοι τῆς εὐσεβοῦς τοῦ παμφίλου ἀληθείας συνήγοροι, διελόν-
φασὶν τες* φησὶν ἄμφω τὴν στρατιὰν, πατὴρ κωνσταντῖνος βασιλεὺς,
καὶ υἱὸς κρίσπος βασιλεὺς, κατὰ τοῦ ἀσεβοῦς τυράννου ὥρ-
μηντο· ὁ μὲν οὖν υἱὸς κρίσπος, ἐπὶ τὰ κατὰ τὴν ἀσίαν
αὐτοῦ μέρη σὺν τῇ* αὐτῷ στρατιᾷ, τὴν πορείαν ποιούμενος·
ὁ δὲ πατὴρ κωνσταντῖνος, κατὰ τοὺς εὐρώπης τοῖς ἀμφ' αὐ-
τὸν δορυφόροις, τὴν ὁδὸν διήνυεν· ὁ δὲ μισόθεος, καὶ πά-
σης ἀσεβείας, καὶ μιαιφονίας ἔμπλεως, ἐξ ἀνατολῶν
μετὰ πλείστου ὅσου στρατοῦ κατ' αὐτῶν παραταττόμενος,
καὶ μεγαλαυχῶν ἤρχετο· φθάσας δὲ ἐν τῇ νικομηδείων,
ἐγνωκὼς καὶ εὐθὺς τὴν τοῦ θεοφιλοῦς κωνσταντίνου ἀρχὴν,

σέβουσαν

σέβουσιν τοὺς τοῦ θεοῦ ἱερέας, καὶ ὅτι διὰ πάσης ἀξιοῖ τιμῆς, μαρτυρεῖ τὸν τῆς νικομηδέων ἐπίσκοπον εὐσέβιον, πάλαι πρόσφυγα αὐτοῦ ὄντα, κατὰ τοῦ εὐσεβοῦς βασιλέως κωνσταντίνου οἰόμενος δι' αὐτοῦ καὶ τὸν ἀμφ' αὐτὸν ἀνελεῖν τὸν τοῖς τοῦ θεοῦ πεφραγμένον ἀκαταμαχήτοις ὅπλοις κωνσταντῖνον. συντίθεται σὺν αὐτῷ ὁ θαυμαστὸς εὐσέβιος, ἐπαγγελίαις λιπαρηθεὶς, παρὰ τοῦ συνασεβοῦς αὐτοῦ λικινίου. καὶ ὅτι ταῦτα οὕτως ἔχει, ἐξ αὐτῆς τοῦ φιλοχρίστου βασιλέως ἐπιστολῆς, ἔνεστι πληροφορηθῆναι. ἣν τοῖς νικομηδεῦσιν ἐπέστειλεν. ὧδέ πως λέξεσι πρὸς τῷ τέλει τῆς ἐπιστολῆς. τίς ἐστιν ὁ ταῦτα διδάξας οὕτως ἄκακον πλῆθος, εὐσέβιος δηλαδὴ, τῆς τυραννικῆς ὠμότητος συμμύστης. ὅτι γὰρ πανταχοῦ, τοῦ τυράννου γεγένηται πρόσφυλαξ, πολλαχόθεν ἐστὶ συνορᾶν. τοῦτο μὲν αἱ τῶν ἐπισκόπων σφαγαὶ διαμαρτύρονται. ἀλλὰ τῶν ἀληθῶς ἐπισκόπων. τοῦτο δὲ ἡ χαλεπωτάτη τῶν χριστιανῶν ἐκδίωξις διαρρήδην βοᾷ. οὐδὲν γὰρ τῶν εἰς ἐμὲ γεγενημένων παρ' αὐτοῦ νῦν ἐρῶ. δι' ὧν ὅτε μάλιστα αἱ τῶν ἐναντίων μερῶν καθ' ἡμῶν ἐπραγματεύοντο συνοδίαι. οὗτος καὶ ὀφθαλμοὺς κατασκόπους ἔπεμπε κατ' ἐμοῦ. καὶ μόνον οὐκ ἐνόπλους τῷ τυράννῳ συνεισέφερεν ὑπουργίας αὐτῷ χάριν. καὶ μή ἐμέ τις οἰέσθω εἶναι πρὸς τὴν τούτων ἀπόδειξιν ἀπαράσκευον. ἔλεγχος γὰρ ἐστιν ἀκριβὴς, ὅτι τοὺς πρεσβυτέρους, καὶ τοὺς διακόνους, τοὺς εὐσεβίῳ παραπεμπομένους, φανερῶς ὑπ' ἐμοῦ συνειλῆφθαι παρέσχηκεν. ἀλλὰ ταῦτα μὲν παρ' ἡμῶν, νῦν οὐκ ἀγανακτήσεως ἕνεκεν, ἀλλ' εἰς αἰσχύνην ἐκείνων προενήνεκται. ἐκεῖνο μόνον δέδια. ἐκεῖνο διαλογίζομαι. ὅτι ὑμᾶς ὁρῶ, πρὸς τὴν τοῦ ἐγκλήματος καλεῖσθαι κοινωνίαν. διὰ γὰρ τῆς εὐσεβίου διαγωγῆς, τε καὶ διαστροφῆς, συνείδησιν κεχωρισμένην τῆς ἀληθείας εἰλήφατε. ἀλλ' ἔστιν οὐ βραδεῖα θεραπεία, εἴγε ἐπίσκοπον, πιστόν τε καὶ ἀκέραιον νῦν γοῦν λαβόντες, πρὸς θεὸν ἀπίδητε, ὅπερ ἐπὶ τοῦ παρόντος ἐν ὑμῖν ἐστιν. ὃ καὶ πάλαι ἐχρῆν τῆς ὑμετέρας κρίσεως ἠρτῆσθαι. εἰ μὴ ὁ προειρημένος εὐσέβιος, δεινῇ τῶν τότε συλλαβομένων αὐτῷ προαιρέσει ἐνταῦθα ἐληλύθει. καὶ τὴν τῆς τάξεως ὀρθότητα ἀναιδῶς συνεπεπράχει. ἀλλ' ἐπειδὴ περὶ τοῦ αὐτοῦ εὐσεβίου πρὸς τὴν ὑμετέραν ἀγάπην ὀλίγα *πεθόηκε φράσαι, μακροθύμως ἀκούσατε. μέμνηται ἡ ὑμετέρα ἀνεξικακία, ἐπὶ τῆς νικαέων πόλεως γεγενῆσθαι

*προσήκει

σύνοδον ἐπισκόπων, ἢ καὶ αὐτὸς ἐμοὶ πρεπόντως, τῇ τῆς ἐμῆς σωτη-
λύσεως λατρείᾳ παρέχειν. οὐδὲν ἕτερον βουλόμενος, ἢ ὁμόνοιαν
ἅπασιν ἐργάσασθαι. καὶ πρὸ πάντων ἐλέγξαι, καὶ ἀποσείσασθαι τὸ πρᾶγ-
μα τοῦτο. ὃ τὴν μὲν ἀρχὴν εἰλήφει διὰ τῆς ἀρείου τοῦ ἀλεξαν-
δρέως ἀπονοίας. ἐμυθοποιεῖτο δὲ παραχρῆμα, διὰ τῆς εὐσεβίου
ἀτόπου τε, καὶ ὀλεθρίας σπουδῆς. ἀλλ' αὐτὸς οὗτος εὐσέβιος, προσ-
φιλέστατοι καὶ τιμιώτατοι, μεθ' ὅσης δὲ αἰδοῦς τῇ πανταχόθεν
ἐληλεγμένῃ ψευδολογίᾳ αὐτοῦ συνίσταται. ὑποπέμπων μέν μοι
διαφόρους τοὺς ὑπὲρ αὐτοῦ ἀξιοῦντας. ἐξαιτούμενος δὲ παρ' ἐμοῦ
συμμαχίαν τινά. ὅπως μὴ ἐπὶ τοσούτῳ ἐλεγχθεὶς πλημμελήματι,
τῆς ὑπαρχούσης αὐτῷ ἐκπέσοι τιμῆς. μάρτυς ἐστί μοι τούτου αὐτὸς
[redacted] ὁ θεός. ὃς ἐμοί τε καὶ ὑμῖν φιλαγάθως ἐπιμέ-
νοι, ὅτι καὶ ἐμὲ αὐτὸς ἐκεῖνος εὐσέβιος περιέτρεψε. καὶ ἀπρε-
πῶς ὑφήρπασεν. ἀλλ' ἡ θεία με προνοία, ἐπὶ τὴν ἀληθεσ-
τάτην αὐτῆς ὁδὸν ἐπανήγαγεν. ὃ καὶ ὑμεῖς ἐπέγνωτε, καὶ ἐπι-
γνώσεσθε. πάντα μὲν γὰρ ἐπράχθη παρ' αὐτοῦ τότε εὐσεβίου
τοῦ ἀνοσίου λέγω, καθὼς αὐτὸς ἐπόθει. πᾶν ὅ τι οὖν κακὸν,
ἐπὶ τῆς αὐτοῦ διανοίας ἀποκεχρυμμένος. ἀλλὰ πρῶτον, ἵνα
τὰ λοιπὰ τῆς τούτου σκαιότητος παρῶ, τί μάλιστα μετὰ
θεόγνιν, ὃν τῆς ἀνοσίας αὐτοῦ προαιρέσεως ἔσχε κοινωνὸν διε-
πράξατο. ἀκούσατε παρακαλῶ. ἀλεξανδρέας τινὰς τῆς ἡμε-
τέρας πίστεως ἀναχωρήσαντας, ἐνταῦθα κεκελεύκειν ἀπο-
σταλῆναι. ἐπειδὴ διὰ τῆς τούτου ὑπηρεσίας, διχονοίας ἠγεί-
ρετο πυρσός. ἀλλ' οὗτοι οἱ καλοί τε καὶ ἀγαθοὶ ἐπίσκοποι, οὓς
ἅπαξ ἡ τῆς συνόδου ἀλήθεια πρὸς μετανοίαν τετηρήκει,
οὐ μόνον ἐδέξατο ἐκείνους, καὶ παρ' ἑαυτοῖς ἠσφαλίσαντο,
ἀλλὰ καὶ ἐκοινώνησαν αὐτοῖς, τῆς τῶν τρόπων κακοηθείας.
διὸ τοῦτο περὶ τοὺς ἀχαρίστους τούτους ἔκρινα πρᾶξαι. ἀρ-
πάγεντας γὰρ αὐτοὺς, ἐκέλευσα ὡς πορρωτάτω ἐξορισθῆναι.
νῦν ἡμέτερόν ἐστι, πρὸς τὸν θεὸν ἐκείνῃ τῇ πίστει βλέπειν, ἢ πάν-
τοτε καὶ γεγενῆσθαι ὑμᾶς, καὶ εἶναι πρέπει, καὶ διαπράξασθαι
οὕτως. ἵνα ἐπισκόπους ἁγνούς τε καὶ ὀρθοδόξους, καὶ φιλανθρώ-
πους ἔχοντες χαίρωμεν. εἴ τις δὲ πρὸς μνήμην τῶν λυμε-
ώνων ἐκείνων, ἢ πρὸς ἔπαινον ἀπερινοήτως ἐξαφθῆναι

τολμήσει

τολμήσει, παραχρῆμα τῆς ἰδίας τόλμης διὰ τῆς τοῦ θεράπον-
τος τοῦ θεοῦ, τουτέστιν, ἐμῆς ἐνεργείας, ἀνασταλήσεται. ὁ θεὸς ὑμᾶς
διαφυλάξοι, ἀδελφοὶ ἀγαπητοί: ταῦτα καὶ τὰ τοιαῦτα, ἡ
τοῦ θεοφιλοῦς βασιλέως κωνσταντίνου ἐπιστολή, σαφέστατα ἔδειξε
περὶ τοῦ δυσσεβοῦς εὐσεβίου τοῦ νικομηδείας*. ὃς προφύλαξ ὅτι
οὐ μόνον γέγονε τοῦ θεομισοῦς λικινίου, ἀλλὰ καὶ συμμύστης, καὶ
ὑπουργός, τῆς ἐκείνου τυραννίδος καὶ ἀσεβείας. βαδιοῦμαι δὲ ἐν-
τεῦθεν ἐπὶ τὴν προκειμένην τῆς ἐκκλησιαστικῆς ἱστορίας ὑπόθεσιν.

## περὶ τῆς κατὰ τοῦ ἀσεβοῦς λικινίου νίκης, τοῦ θεοφιλοῦς βασιλέως κωνσταντίνου.

Λικινίου τοίνυν σὺν στρατιᾷ τῇ σὺν αὐτῷ, ἀπὸ τῆς νικομηδείων ιβ'
ἐξορμήσαντος ἐπὶ τὸ βυζάντιον, κατὰ τοῦ θεοφιλοῦς κωνσταν-
τίνου τοῦ βασιλέως, ἐκεῖσε τότε παρόντος. τῶν δ' ἑκατέρων
στρατιωτικῶν φαλάγγων, τὸν χριστοφόρον βασιλέα, ἐν κύκλῳ
αὐτῶν ἐχόντων, ἰδὼν ὁ ἀλιτήριος, καὶ τῶν οἰκείων δὲ στρατιωτῶν
ἔρημον αὐτὸν θεασάμενος, ἐπὶ τὴν τῶν κρειττόνων ἀασίδα* ἐλπίδα
προσπεφευγότων, τὰ μὲν πρῶτα κρυπτάζεσθαι ἐσπούδαζεν ἐν χρυ-
σοπόλει τῆς βιθυνῶν. ἐπίνειον δὲ τοῦτο τῆς χαλκηδόνος
ἐστί. μὴ δυνηθεὶς δέ, ἰδὼν ἑαυτὸν ἤδη πρηνῆ κείμενον
ὑπὸ τοῖς κωνσταντίνου τοῦ βασιλέως ποσίν, ἐξέδωκεν ἑαυτόν.
ζῶντα οὖν συλλαβὼν ὁ ἐπιεικέστατος, καὶ εὐσεβέστατος βασιλεύς,
φιλανθρωπεύεται. καὶ κτείνει μὲν οὐδαμῶς. οἰκεῖν δὲ τὴν θεσσα-
λονίκην προσέταξεν ἡσυχάζοντα. ὁ δὲ πρὸς ὀλίγον χρόνον,
ἡσυχάζειν ἐδόκει. μετὰ δὲ ταῦτα, βαρβάρους τινὰς προσ-
καλούμενος, καὶ σὺν αὐτοῖς διασκεπτόμενος, ἀναμάχεσθαι
τὴν ἧτταν ἐσπούδαζε. τοῦτο γνοὺς βασιλεὺς ὁ πιστότατος
ἀναιρεθῆναι τὸν θεομισῆ ἐκέλευσε. καὶ ἀνῃρέθη ὁ τοῦ χριστοῦ
καὶ τοῦ αὐτοῦ θεράποντος* τύραννος: ἐπληρώθη λόγος ἐχθρὸς
πρῶτος, τῆς ἐκκλησιαστικῆς ἱστορίας.

## τέλος τοῦ πρώτου λόγου.

# ΛΟΓΟΣ ΔΕΥΤΕΡ. ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ.

## περὶ τῶν μετὰ τὴν ἀναίρεσιν, τοῦ ἀσεβοῦς λικινίου, καὶ αὐτοκρατορίας, τοῦ βασιλέως κωνσταντίνου, καὶ εἰρήνης, τῶν τοῦ θεοῦ ἐκκλησιῶν.

Κωνσταντῖνος τοίνυν πάντων γενόμενος ἐγκρατὴς διὰ τῆς ἐκ θεοῦ
δοθείσης αὐτῷ συνάρσεως, αὐτοκράτωρ βασιλεὺς ἀναδειχθείς, τὰ
χριστιανῶν αὔξειν εἰσέτι μᾶλλον καὶ μᾶλλον ἐσπούδαζεν. ἐποίει δὲ
τοῦτο διαφόροις τοῖς τρόποις, ἔμπυρον ἔχων πίστιν, καὶ ἔμφυτον,
τὴν εἰς τὸν τῶν ὅλων θεὸν πιστοτάτην εὐσέβειαν. καὶ ἦν πᾶσα
ἡ ὑπὸ τὸν οὐρανὸν ἐκκλησία, ἐν βαθείᾳ εἰρήνῃ. ἐκ δεκάτου
τόμου, εὐσεβίου τοῦ παμφίλου. ἀκούσομεν δή, τί ἐνταῦθα λέγει — :πτ
καὶ ὁ ἀρχηγὸς ὁ ἄριστος τῆς ἐκκλησιαστικῆς γεωργίας, ὁ φι- — κάλλιστος
λαληθέστατος εὐσέβιος ὁ τοῦ παμφίλου. ὁ μὲν οὖν λικίνιος φησὶ
τὴν ὁμοίαν τοῖς ἀθέοις τυράννοις τῆς ἀσεβείας μετελθὼν
ὁδόν, ἐπὶ τὸν ἴσον αὐτοῖς ἐνδίκως περιηνέχθη κρημνόν. ἀλλ'
οὗτος μὲν ταύτῃ πη βεβλημένος ἔκειτο. ὁ δὲ ἀρετῇ πάσῃ τῆς θε-
οσεβείας* ἐκπρέπων μέγιστος νικητὴς αὔγουστος κωνσταντῖνος — ἐκπρεπῶς
σὺν παιδὶ κρίσπῳ βασιλεῖ θεοφιλεστάτῳ, κατὰ πάντα τοῦ
πατρὶ ὁμοιοτάτῳ, τὴν οἰκείαν ἑῴαν* ἀπελάμβανε. καὶ μίαν ἡνω- — ἀπελάμβανον.
μένην τὴν ῥωμαίων κατὰ τὸ παλαιὸν παρεῖχον ἀρχήν, τὴν ἀπ' ἀ-
νίσχοντος ἡλίου πᾶσαν* ἐγκύκλιον, καθ' ἑκάτερα τῆς οἰκουμένης, — ἐν κύκλῳ
ἄρκτον τε ὁμοῦ καὶ μεσημβρίαν, εἰς ἔσχατα δυομένης ἡμέρας,
ἐπὶ τὴν αὐτῶν ἄγοντες εἰρήνην.* ἀφῄρητο δ' οὖν ἐξ ἀνθρώπων — ἀφῄρητο γοῦν
πᾶν δέος τῶν αὐτοὺς πιεζόντων. λαμπρὰς δὲ ἐτέλουν, καὶ πανη-
γυρικὰς ἑορτίους ἡμέρας. ἦν δὲ φωτὸς ἔμπλεα τὰ πάντα. καὶ
μειδιῶσι προσώποις. ὄμμασί τε φαιδροῖς, οἱ πρὶν κατηφεῖς
ἀλλήλους ἔβλεπον.* παρῆν δὲ αὐτοῖς καὶ ὕμνοι κατὰ* πόλιν ὁμοῦ — χορεῖαι πόλεις
καὶ ἀγρούς, τὸν βασιλέα θεόν, καὶ τὸν τούτου γνήσιον παῖδα χριστόν,
πρώτιστα πάντων, ὅτι δὴ τοῦτο ἐδιδάχθησαν, ἐγέραιρεν.
καὶ ἔπειτα τὸν εὐσεβῆ βασιλέα, ἅμα παισὶ θεοσεβέσιν εὐφή-
μουν. κακῶν δὲ ἀμνηστία παλαιῶν ἦν, καὶ λήθη πάσης δυσσεβείας.
τῶν δὲ ἀγαθῶν ἀπόλαυσις, καὶ προσέτι, μελλόντων προσδοκία.
ἤπλωντο οὖν κατὰ πάντα τόπον, τῆς τοῦ νικητοῦ βασιλέως
φιλανθρωπίας ἔμπλεοι διατάξεις, νόμοι τε μεγαλοδωρεᾶς, καὶ

περιέχοντες ἀληθοῦς εὐσεβείας γνωρίσματα* ἔχοντες. ὅτε αὐτὰ πάσης τυ-
ραννίδος ἐκκαθαρθείσης, μόνοις ἐφυλάττετο τὰ τῆς περιεχούσης
αὐτοῦ βασιλείας βέβαιά τε καὶ ἀνεπίφθονα, κωνσταντίνῳ, καὶ τοῖς* τούτου
παισί. τοσαῦτα δὲ τῶν ἀρχαίων ἐκκλησιαστικῶν συγγραφεὺς ἀξιοπιστό-
τατος εὐσέβιος ὁ τοῦ παμφίλου, πλείστους ὅσους ἀγῶνας θέμενος·
καὶ διερευνησάμενος ἐκ τῶν ἁπλῶς ἐχόντων, τὴν ἀναλογίαν ποι-
ησάμενος, ἐν δέκα τόμοις ὅλοις, τὰ τῆς ἐκκλησιαστικῆς ἡμῖν
ἱστορίας, ἀκριβῶς καταλέλοιπεν. ἀρξάμενος μὲν, ἀπὸ τῆς τοῦ
χῦ παρουσίας· πληρώσας δὲ εἰς τούσδε τοὺς χρόνους, οὐκ ἀπόνως.
πῶς γὰρ οἷόν τε ἦν, τοσούτων ἀναλεξάμενον φροντίδα τῆς δια-
σώσασθαι τῆς τοιᾶσδε συλλογῆς τὴν ἁρμονίαν. ἀλλ' ὡς ἀρτίως
ἔφην, πολλὴν εἰσενεγκάμενος τὴν σπουδὴν, καὶ πλεῖστον ἀφανα-
πόνου. ἀλλὰ μηδεὶς οἰέσθω τὸν ἄνδρα, ἐκ τῶν περὶ αὐτοῦ ἐπι-
πεφημισμένων, ὡς τῆς ἀρείου βλασφημίας ποτέ τι πεφρονήκει·
ἀλλὰ πεπείσθω, ὡς εἰ καί τιν' ἂν ἐλάλησεν, ἢ ἔγραψεν μικρόν
τι τῶν ἀρείου ὑπονοούμενα, οὐ μὴν κατὰ τὴν ἀσέβειαν ἐκείνου ἔν-
νοιαν, ἀλλ' ἐξ ἀπεριεργίας ἁπλότητος. καθὼς καὶ αὐτὸς ἐν τῷ ἀπο-
λογητικῷ αὐτοῦ λόγῳ, ᾧ διεπέμψατο πρὸς τὸ τῶν ὀρθοδόξων
ἐπισκόπων κοινὸν, μαρτυράμενος ταῦτα ἐπληροφόρησε, καὶ ἀλη-
θεύειν τὸν ἄνδρα ὑπολάβοι, πᾶς τις εὖ φρονῶν, ὁπότε σιωπήσει, καὶ ἐξ ἐκεί-
νου πεισθῆναι. μὴ παρ' ὅτι πώποτε τὰ ἀρείου ἀκουσθησόμενα. δείκνυσι δὲ
τὰ ἐν τῇ συνόδῳ τῇ κατὰ τὴν νίκαιαν αὐτῷ ἠγωνισμένα,
κατὰ τῆς ἀσεβείας ἀρείου, ὑπὲρ τῆς ἀποστολικῆς καὶ ὀρθοδόξου
πίστεως. ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τῆς ἐκκλησιαστικῆς ἱστορίας ἐπα-
νίωμεν. τῆς οὖν ἀνὰ τὴν οἰκουμένην ἐκκλησίας χῦ τοῦ θῦ ἡμῶν,
εἰρήνην βαθεῖαν ἐχούσης, πρυτανευθείσης αὐτῇ ταύτης παρὰ
τοῦ παμβασιλέως θεοῦ, διὰ τοῦ θεράποντος αὐτοῦ κωνσταντίνου, καὶ
τῶν αὐτοῦ παίδων, μετὰ τὸ μαρτύριον τοῦ θεσπεσίου πέτρου, τοῦ τῆς
ἀλεξανδρέων ἐκκλησίας ἐπισκόπου γενομένου. τελειωθέντος αὐτοῦ ἐν
αὐτῷ τῷ μαρτυρίῳ, καὶ τὸν τῆς ἀθλήσεως ἄφθαρτον στέφανον ἀνα-
δησαμένου, χηρεύει ἡ ἐκεῖσε ἐκκλησία, ἐνιαυτὸν ἕνα. μετὰ δὲ
τὸν ἐνιαυτὸν, χειροτονεῖται εἰς τὸν θρόνον αὐτοῦ τοῦ ἁγίου μάρτυρος
πέτρου, ἀχιλλᾶς. ἀνὴρ στιβαρὸς, καὶ μεγαλόφρων, ἀγχίφρων, εὐλα-
βείᾳ ὁμοῦ καὶ σοφίᾳ πλείστῃ ὅσῃ διαπρέπων. καὶ ὡς ἡμῖν τὰ πα-
λαιὰ, καὶ ἀπλανῶς ἔχοντα, διηγοῦνται γράμματα. ὃς πολλὰ πα-
ρακληθεὶς, ὑπεδέξατο ἄρειον εἰς τὴν διακονίαν. τούτου
δὲ ἐπιβιώσαντος μῆνας πέντε μόνον, ὑποδέχεται τὴν τῆς

ἱερωσύνης

ἱερωσύνης ἀρχὴν τῆς αὐτόθι τῶν ἀλεξανδρέων ἐκκλησίας, ἀλέξ-
ανδρος. ἀνὴρ τίμιος ἐν πᾶσι πάντη τῷ τῆς ἐκκλησίας κλήρῳ
καὶ λαῷ, μικρομηγέθης, εὐμετάδοτος, εὔλαλος, ἐπιεικής, φιλό-
θεος, φιλάνθρωπος, φιλόπτωχος. χρηστός, προσηνὴς πρὸς πάντας, εἴπερ
τις ἄλλος. ὃς καὶ αὐτὸς κατέστησε τὸν ἄρειον, πρεσβύτερον ἔγ-
γιστα ἑαυτοῦ. ἐπὶ τούτου τῆς εἰρήνης τῶν ἐκκλησιῶν ὁσημέραι,
ὡς ἔτι μᾶλλον καὶ μᾶλλον λαμπρυνομένης, καὶ εἰς μίαν ὁμόνοιαν συν-
εστώσης. καὶ τοῖς ἐπάθλοις τῶν ἁγίων μαρτύρων πανταχοῦ γῆς
σεμνυνομένης, οὐκ ἐνεγκὼν ὁ διάβολος τὴν τοσαύτην τοῦ πιστο-
τάτου τῆς ἐκκλησίας λαοῦ, ἐπὶ τῇ ἐν αὐτῇ πρὸς τὸν θεὸν οὐρα-
νίῳ θρησκείᾳ αὔξησιν, πάλιν ἔκ τινος φιλονεικίας, τὴν ἐν
αὐτῇ ταραχὴν ὑφίσταται:

περὶ τῆς ἐγερθείσης αἱρέσεως, ὑπὸ τοῦ θεομάχου ἀρείου.

Ὁ γὰρ πρεσβύτερος ἐκεῖνος, ὃν ἔφαμεν τῆς τοιᾶσδε ἠξιῶσθαι τιμῆς
ὑπὸ ἀλεξάνδρου τοῦ ἐπισκόπου ἀλεξανδρείας ἄρειος τοὔνομα, ἀνὴρ
προσχήματι μᾶλλον εὐσεβής, τὰ δὲ ἄλλα δόξης καὶ κενότητος
θερμὸς ἐραστής, ἤρξατο προφέρειν τινὰ ξένα περὶ τῆς εἰς
χριστὸν πίστεως. ἃ τοῖς ἔμπροσθεν χρόνοις, οὐδεὶς πώποτε ἐζήτησεν,
ἢ παρεισήνεγκεν.* ἐπιχειρήσας τὸν μονογενῆ υἱὸν ἡμῶν ἰησοῦν χριστόν, ἐπιχειρηθείς τε
διαιρεῖν τῆς τοῦ πατρὸς ἀρρήτου καὶ ἀϊδίου θεότητος, πολλῆς κατὰ
τὴν ἐκκλησίαν παραίτιος ταραχῆς γέγονεν. ἀλλὰ δὴ τοῦ ἀλε-
ξάνδρου πρᾳότητι φύσεως τὸν ἄρειον ἐπὶ τὸ ἄμεινον θέλοντος
μεταβαλεῖν πειράσαντος παραινέσεσι, μηδέπω δὲ κρίνοντος ἀποφά-
σει χρήσασθαι τέως, ἐπινέμεσθαι διὰ τοῦτο πολλοὺς τὴν λοιμικὴν
περίστασιν τῆς αἱρέσεως γέγονεν. ἔπειτα ὡς ἀπὸ μικροῦ σπι-
νθῆρος μέγα πῦρ ἐξαφθῆναι* ἀρξάμενόν τε τὸ κακὸν ἀπὸ τῆς ἀρξάμενον τόδε τὸ
ἀλεξανδρέων ἐκκλησίας, καὶ κατὰ πόλεις ἄλλας καὶ ἐπαρχίας
διέτρεχε. τέλος ὡς ἐνεῖδεν ἐπὶ τὸ χεῖρον τὸ κακὸν προϊέναι,
σύνοδον τῶν ἐπ᾿ αὐτὸν ἐπισκόπων συστησάμενος, καὶ καθελὼν τὸν ἄρειον,
δίδωσιν εἰς τοὺς συλλειτουργοὺς τὴν ὑπόθεσιν ὁ ἀλέξανδρος. πλατύ-
τερόν τε τὰ κατὰ τὸν ἄρειον ἐκτεθεικώς. ἀσυλήν τε ἐνιείς, πρὸς
ἀναίρεσιν τῆς αἱρέσεως. εἰς παρασκευὴν τῆς διαγνώσεως αὐτοὺς
ἑτοιμάζεσθαι, παρακελεύεται, γράψας πρὸς αὐτοὺς τοιάδε.

καθαιρετικόν, ἀρείου καὶ τῶν σὺν αὐτῷ. διαπεμφθέν,
παρὰ ἀλεξάνδρου ἐπισκόπου ἀλεξανδρείας, τοῖς ἁ-
πανταχοῦ ἐπισκόποις:

ἁπανταχοῦ

Τοῖς ἀγαπητοῖς, καὶ τιμιωτάτοις συλλειτουργοῖς, τοῖς *ἀπανταχοῦ τῆς καθολικῆς ἐκκλησίας, Ἀλέξανδρος, ἐν κυρίῳ χαίρειν.

Ἑνὸς σώματος ὄντος τῆς καθολικῆς ἐκκλησίας, ἐντολῆς τε οὔσης ἐν ταῖς θείαις γραφαῖς τηρεῖν τὸν σύνδεσμον τῆς ὁμονοίας καὶ εἰρήνης, ἀκόλουθόν ἐστι γράφειν ἡμᾶς, καὶ σημαίνειν ἀλλήλοις τὰ παρ' ἑκάστοις γινόμενα· ἵνα εἴτε πάσχει, εἴτε χαίρει ἓν μέλος, ἢ συμπάσχωμεν, ἢ συγχαίρωμεν ἀλλήλοις. ἐν τῇ ἡμετέρᾳ τοίνυν παροικίᾳ, ἐξῆλθον νῦν ἄνδρες παράνομοι, καὶ χριστόμαχοι, διδάσκοντες ἀποστασίαν. ἣν εἰκότως ἄν τις πρόδρομον τοῦ ἀντιχρίστου *ὑπονοήσειε, καὶ καλέσειε. καὶ ἐβουλόμην μέν, σιωπῇ παραδοῦναι τὸ τοιοῦτον, ὅπως ἐν τοῖς ἀποστάταις μόνοις ἀναλωθῇ τὸ κακόν, καὶ μὴ εἰς ἑτέρους τόπους διαβὰν τὸ τοιοῦτον, ῥυπώσῃ τινῶν ἀκεραίων τὰς ἀκοάς. *ἐπειδὴ δὲ εὐσέβιος νῦν ἐν τῇ νικομηδείᾳ, νομίσας *ἐπ' αὐτῷ κεῖσθαι τὰ τῆς ἐκκλησίας, ὅτι καταλείψας τὴν βηρυτόν, καὶ ἐποφθαλμίσας τῇ ἐκκλησίᾳ νικομηδέων, οὐκ ἐκδεδίκηται τὰ κατ' αὐτόν, προΐσταται καὶ τούτων τῶν ἀποστατῶν. καὶ γράφειν ἐπεχείρησε πανταχοῦ συνιστῶν αὐτούς, ὅπως ὑποσύρῃ τινὰς ἀγνοοῦντας, εἰς τὴν ἐσχάτην ταύτην καὶ χριστόμαχον αἵρεσιν. ἀνάγκην ἔσχον εἰδὼς τὸ ἐν τῷ νόμῳ γεγραμμένον, μηκέτι μὲν σιωπῆσαι. ἀναγγεῖλαι δὲ λοιπὸν πᾶσιν ὑμῖν ἵνα γινώσκητε, τούς τε ἀποστάτας γενομένους, καὶ τὰ τῆς αἱρέσεως αὐτῶν δύστηνα ῥήματα. καὶ ἐὰν γράφῃ εὐσέβιος προσέχητε. παλαιὰν γὰρ αὐτοῦ κακόνοιαν τὴν χρόνῳ σιωπηθεῖσαν, νῦν διὰ τούτων ἀνανεῶσαι βουλόμενος, σχηματίζεται μὲν ὡς ὑπὲρ τούτων γράφειν. ἔργῳ δὲ δείκνυσιν, ὅτι ὑπὲρ αὐτῆς σπουδάζων τοῦτο ποιεῖ. οἱ μὲν οὖν ἀποστάται γενόμενοι, εἰσιν, ἄρειος, καὶ ἀχιλλεύς, καὶ θαλῆς, καὶ καρπώνης. καὶ ἕτερος ἄρειος, καὶ σαρμάτης, καὶ εὐζώιος, καὶ λούκιος, καὶ ἰούλιος. καὶ μηνᾶς, καὶ ἑλλάδιος. καὶ γάιος. καὶ σὺν αὐτοῖς σεκοῦνδος. καὶ θεωνᾶς οἱ ποτὲ λεχθέντες ἐπίσκοποι. ὁποῖα δὲ παρὰ τὰς γραφὰς ἐφευρόντες λαλοῦσιν, ἐστὶ ταῦτα:·

Δόγμα ἀρείου:

Οὐκ ἀεὶ ὁ θεὸς πατὴρ ἦν. ἀλλ' ἦν, ὅτε ὁ θεὸς πατὴρ οὐκ ἦν. οὐκ ἀεὶ ἦν ὁ τοῦ θεοῦ λόγος, ἀλλ' ἐξ οὐκ ὄντων γέγονεν. ὁ γὰρ ὢν θεός, τὸν μὴ ὄντα, ἐκ τοῦ μὴ ὄντος πεποίηκεν. διὸ καὶ ἦν ποτὲ ὅτε οὐκ ἦν. κτίσμα γὰρ ἐστὶ καὶ ποίημα ὁ υἱός. οὔτε δὲ ὅμοιος κατ' οὐσίαν τῷ πατρί ἐστιν.

νομίσειε

ἐπειδὴ δὲ

οὔτε ἀληθινὸς

οὔτε ἀληθινὸς, καὶ φύσει τοῦ πατρὸς λόγος ἐστὶν, ἀλλὰ εἷς μὲν τῶν
ποιημάτων καὶ γενητῶν ἐστι. καταχρηστικῶς δὲ λέγεται λόγος καὶ
σοφία.* ἐν ᾗ καὶ τὰ πάντα, καὶ αὐτὸν πεποίηκεν ὁ θεός. διὸ καὶ τρεπτός
ἐστι, καὶ ἀλλοιωτὸς, τὴν φύσιν, ὡς καὶ πάντα τὰ λογικά. ξένος τε
καὶ ἀλλότριος, καὶ ἀπεσχοινισμένος ἐστὶν ὁ λόγος τῆς τοῦ θεοῦ οὐσίας.
καὶ ἄρρητός ἐστιν ὁ πατὴρ τῷ υἱῷ. οὔτε γὰρ* τελείως ὁρᾶν αὐτὸν
δύναται. καὶ γὰρ καὶ αὐτοῦ τὴν οὐσίαν οὐκ οἶδεν ὁ υἱὸς ὡς ἐστι. δι᾽
ἡμᾶς γὰρ πεποίηται, ἵνα ἡμᾶς δι᾽ αὐτοῦ, ὡς δι᾽ ὀργάνου κτίσῃ
ὁ θεός. καὶ οὐκ ἂν ὑπέστη, εἰ μὴ ἡμᾶς ὁ θεὸς ἤθελε ποιῆσαι. ἠρώτησε
γοῦν τις αὐτοὺς, εἰ δύναται ὁ τοῦ θεοῦ λόγος τραπῆναι, ὡς ὁ διά-
βολος ἐτράπη. καὶ οὐκ ἐφοβήθησαν εἰπεῖν, ὅτι ναὶ δύναται.
τρεπτῆς γὰρ φύσεώς ἐστι, γενητὸς, καὶ κτιστὸς ὑπάρχων. ταῦτα λέ-
γοντας τοὺς περὶ ἄρειον, καὶ ἐπὶ τούτοις ἀναισχυντοῦντας, αὐτούς τε καὶ
τοὺς συνακολουθήσαντας αὐτοῖς, ἡμεῖς μὲν, μετὰ τῶν κατ᾽ αἴγυπτον,
καὶ τὰς λιβύας ἐπισκόπων ἐγγὺς ἑκατὸν ὄντων συνελθόντες, ἀνε-
θεματίσαμεν. οἱ δὲ περὶ εὐσέβιον, προσεδέξαντο. σπουδάζοντες
ἐγκαταμῖξαι τὸ ψεῦδος τῇ ἀληθείᾳ. καὶ τῇ εὐσεβείᾳ, τὴν ἀσέ-
βειαν. ἀλλ᾽ οὐκ ἰσχύσουσι. νικᾷ γὰρ ἡ ἀλήθεια. καὶ οὐδεμία ἐστὶ κοι-
νωνία φωτὶ πρὸς σκότος, οὐδὲ συμφώνησις χριστοῦ πρὸς βελίαρ. τίς
γὰρ ἤκουσε πώποτε τοιαῦτα. ἢ τίς νῦν ἀκούων, οὐ ξενίζεται. καὶ
τὰς ἀκοὰς βύει, ὑπὲρ τοῦ μὴ τὸν ῥύπον τούτων τῶν ῥημάτων ψαῦσαι
τῆς ἀκοῆς. τίς γὰρ ἀκούων* ἐν τῷ εὐαγγελίῳ ὁ μονογενὴς υἱός, καὶ
δι᾽ αὐτοῦ ἐγένετο τὰ πάντα, οὐ* μισήσει τούτους φθεγγομένους, ὅτι εἷς
ἐστι τῶν ποιημάτων; πῶς γὰρ δύναται εἷς εἶναι τῶν δι᾽ αὐτοῦ γε-
νομένων, ἢ πῶς μονογενὴς, ὁ τοῖς πᾶσι κατ᾽ ἐκείνους συναριθμού-
μενος; πῶς δὲ ἐξ οὐκ ὄντων ἂν εἴη, τοῦ πατρὸς λέγοντος. ἐξηρεύξ-
ατο ἡ καρδία μου λόγον ἀγαθόν. καὶ ἐκ γαστρὸς πρὸ ἑωσφόρου
ἐγέννησά σε. ἢ πῶς ἀνόμοιος τῇ οὐσίᾳ, τοῦ πατρὸς, ὁ ὢν εἰκὼν τε-
λεία καὶ ἀπαύγασμα τοῦ πατρός. καὶ λέγων. ὁ ἐμὲ ἑωρακὼς,
ἑώρακε τὸν πατέρα. πῶς δὲ εἰ λόγος καὶ σοφία ἐστὶ τοῦ θεοῦ ὁ υἱὸς
ἦν ποτε ὅτε οὐκ ἦν. ἴσον γάρ ἐστιν αὐτοὺς λέγειν, ἄλογον καὶ
ἄσοφον ποτὲ τὸν θεόν. πῶς δὲ τρεπτὸς καὶ ἀλλοιωτὸς, ὁ λέγων δι᾽
ἑαυτοῦ μὲν, ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. καὶ ἐγὼ καὶ ὁ πατὴρ,
ἕν ἐσμεν, διὰ δὲ τοῦ προφήτου, ἴδετέ με, ὅτι ἐγώ εἰμι, καὶ οὐκ
ἠλλοίωμαι. εἰ γὰρ καὶ ἐπ᾽ αὐτὸν, τις τὸν πατέρα δύναται τὸ
ῥητὸν ἀναφέρειν, ἀλλὰ ἁρμοδιώτερον ἂν εἴη περὶ τοῦ λόγου

οὐκ αὐτὸς δὲ τῷ ἰδίῳ τοῦ θεοῦ λόγῳ, καὶ τῇ ἐνθέῳ σοφίᾳ, ἐν ᾗ κ.

τελείως καὶ ἀκριβῶς γινώσκει ὁ υἱὸς τὸν πατέρα, οὔτε

ἰωάννου λέγοντος, ἐν ἀρχῇ ἦν ὁ λόγος, οὐ καταγινώσκει τούτων λεγόντων, ἦν ποτὲ ὅτε οὐκ ἦν; ἢ τίς ἀκούων

καὶ μωμήσει

νῦν λεγόμενον· ὅτι καὶ γενόμενος ἄνθρωπος, οὐκ ἠλλοίωται· ἀλλ' ὡς εἶ
πεν ὁ ἀπόστολος, Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰ
ῶνας. τί δὲ ἄρα εἰπεῖν αὐτοὺς ἔπεισεν, ὅτι δι' ἡμᾶς γέγονε; καί
τοι τοῦ παύλου λέγοντος, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα. περὶ
γὰρ τοῦ βλασφημεῖν αὐτούς, ὅτι οὐκ οἶδε τελείως ὁ υἱὸς τὸν πατέρα,
οὐ δεῖ θαυμάζειν. ἅπαξ γὰρ προθέμενοι χριστομαχεῖν, παρακρούονται,
καὶ τὰς φωνὰς αὐτοῦ λέγοντος, καθὼς γινώσκει με ὁ πατήρ, κἀγὼ
γινώσκω τὸν πατέρα. εἰ μὲν οὖν ἐκ μέρους ὁ πατὴρ γινώσκει τὸν υἱόν,
ἐκ μέρους γιν. δῆλον ὅτι καὶ ὁ υἱὸς * μὴ τελείως γινώσκει τὸν πατέρα. εἰ δὲ τοῦτο
οἶδε λέγειν οὐ θέμις, * οἶδε δὲ τελείως ὁ πατὴρ τὸν υἱόν, δῆλον ὅτι κα
θὼς γινώσκει ὁ πατὴρ τὸν ἑαυτοῦ λόγον, οὕτω καὶ ὁ λόγος γινώσ
κει τὸν ἑαυτοῦ πατέρα, οὗ καὶ ἔστι λόγος. ταῦτα λέγοντες, καὶ ἀναπτύσσον
τες τὰς θείας γραφάς, πολλάκις ἐνετρέψαμεν αὐτούς. καὶ πάλιν
ὡς χαμαιλέοντες μετεβάλλοντο, φιλονεικοῦντες εἰς ἑαυτοὺς ἑλ
κύσαι τὸ γεγραμμένον. ὅταν ἀσεβὴς ἔλθῃ εἰς βάθος κακῶν,
καταφρονεῖ. πολλαὶ γοῦν αἱρέσεις πρὸ αὐτῶν γεγόνασιν. αἵ
τινες πλέον τοῦ δέοντος τολμήσασαι, πεπτώκασιν εἰς ἀφροσύνην.
οὗτοι δὲ διὰ πάντων ἑαυτῶν τῶν ῥημάτων ἐπιχειρήσαντες τὰ εἰς ἀναί
ρεσιν τῆς τοῦ λόγου θεότητος, ἐδικαίωσαν ἐξ ἑαυτῶν ἐκείνας,
ὡς ἐγγύτεροι τοῦ ἀντιχρίστου γενόμενοι. διὸ καὶ ἀπεκηρύχθησαν
(καὶ ἀνεθεματίσθησαν ἀπὸ τῆς ἐκκλησίας). λυπούμεθα μὲν οὖν
ἐπὶ τῇ ἀπωλείᾳ τούτων. καὶ μάλιστα, ὅτι μαθόντες ποτὲ καὶ αὐτοὶ
γὰρ τὰ τῆς ἐκκλησίας, νῦν ἀπεπήδησαν. οὐ ξενιζόμεθα δέ. τοῦτο δὲ *
καὶ ὑμέναιος. καὶ φιλητὸς πεπόνθασι πρὸ αὐτῶν. ἰούδας ὁ ἀκολουθήσας
τῷ σωτῆρι, ὕστερον προδότης, καὶ ἀποστάτης γενόμενος. καὶ περὶ τούτων δὲ
αὐτῶν, οὐκ ἀδίδακτοι μεμενήκαμεν. ἀλλ' ὁ μὲν κύριος προείρηκε,
βλέπετε μή τις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ
ὀνόματί μου, λέγοντες ὅτι ἐγώ εἰμι. καὶ ὁ καιρὸς ἤγγικε. καὶ πολ
λοὺς πλανήσουσι. μὴ πορευθῆτε ὀπίσω αὐτῶν. ὁ δὲ παῦλος μαθὼν
ταῦτα παρὰ τοῦ σωτῆρος ἔγραψεν, ὅτι ἐν ὑστέροις καιροῖς, ἀποστή
σονταί τινες, ἀπὸ τῆς ὑγιαινούσης πίστεως, προσέχοντες πνεύ
μασι πλάνης, καὶ διδασκαλίαις δαιμονίων, ἀποστρεφομένων
τὴν ἀλήθειαν. τοῦ τοίνυν κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, διά τε
ἑαυτοῦ παραγγείλαντος, καὶ διὰ τοῦ ἀποστόλου σημάναντος

περὶ τῶν

περὶ τῶν τοιούτων, ἀκολούθως ἡμεῖς ἀντίχοοι τῆς ἀσεβείας αὐτῶν γενόμενοι, ἀνεθεματίσαμεν καθὰ προείπομεν τοὺς τοιούτους· ἀποδείξαντες αὐτοὺς ἀλλοτρίους τῆς καθολικῆς ἐκκλησίας τε καὶ πίστεως· ἐδηλώσαμεν οὖν τῇ ὑμετέρᾳ θεοσεβείᾳ ἀγαπητοὶ καὶ τιμιώτατοι συλλειτουργοί, ἵνα μήτε τινὰς ἐξ αὐτῶν, εἰ προπετεύσαιντο, καὶ πρὸς ὑμᾶς ἐλθεῖν, προσδέξησθε μήτε Εὐσεβίῳ, ἢ ἑτέρῳ τινὶ γράφοντι περὶ αὐτῶν πεισθῆτε· πρέπει γὰρ ἡμᾶς Χριστιανοὺς ὄντας, πάντας τοὺς κατὰ Χριστοῦ λέγοντάς τε καὶ φρονοῦντας, ὡς θεομάχους καὶ φθορέας τῶν ψυχῶν ἀποστρέφεσθαι· καὶ μηδὲ χαίρειν τοῖς τοιούτοις λέγειν. ἵνα μήποτε καὶ ταῖς ἁμαρτίαις αὐτῶν κοινωνοὶ γενώμεθα, ὡς παρήγγειλεν ὁ μακάριος Ἰωάννης: προσείπατε τοὺς παρ' ὑμῖν ἀδελφούς· ὑμᾶς οἱ σὺν ἐμοὶ προσαγορεύουσιν:· Ἀλεξανδρείας πρεσβύτεροι:

Κόλλουθος πρεσβύτερος, σύμψηφός εἰμι τοῖς γεγραμμένοις, καὶ τῇ καθαιρέσει Ἀρείου, καὶ τῶν σὺν αὐτῷ ἀσεβησάντων. Ἀλέξανδρος πρεσβύτερος, ὁμοίως. Διόσκορος πρεσβύτερος, ὁμοίως. Διονύσιος πρεσβύτερος, ὁμοίως.· Εὐσέβιος πρεσβύτερος, ὁμοίως.· Ἀλέξανδρος πρεσβύτερος, ὁμοίως. Σιλᾶς πρεσβύτερος, ὁμοίως.· Ἁρποκρατίων πρεσβύτερος, ὁμοίως. Ἀγαθὸς πρεσβύτερος, ὁμοίως. Νεμέσιος πρεσβύτερος, ὁμοίως. Λόγγος πρεσβύτερος, ὁμοίως. Σιλβανὸς πρεσβύτερος, ὁμοίως. Περωῦς πρεσβύτερος, ὁμοίως. Ἄπις πρεσβύτερος ὁμοίως. Προτέριος πρεσβύτερος, ὁμοίως. Παῦλος πρεσβύτερος ὁμοίως. Κῦρος πρεσβύτερος, ὁμοίως. Διάκονοι. Ἀμμώνιος διάκονος, ὁμοίως. Μακάριος διάκονος, ὁμοίως. Πιστὸς διάκονος, ὁμοίως. Ἀθανάσιος, διάκονος, ὁμοίως. Εὐμενής, διάκονος, ὁμοίως. Ἀπολλώνιος διάκονος, ὁμοίως. Ὀλύμπιος διάκονος, ὁμοίως: Ἀφθόνιος, διάκονος, ὁμοίως. Ἀθανάσιος διάκονος, ὁμοίως. Μακάριος, διάκονος, ὁμοίως. Παῦλος διάκονος, ὁμοίως. Πέτρος διάκονος, ὁμοίως. Ἀμυντιανὸς διάκονος, ὁμοίως. Γάϊος διάκονος, ὁμοίως.: Μαρεώτου πρεσβύτεροι:

Ἀπολλῶς πρεσβύτερος, ὁμοίως. Ἰγγένιος πρεσβύτερος, ὁμοίως. Ἀμμώνιος πρεσβύτερος, ὁμοίως. Διόσκορος πρεσβύτερος, ὁμοίως. Σωστρᾶς πρεσβύτερος, ὁμοίως. Θέων πρεσβύτερος, ὁμοίως. Τύραννος πρεσβύτερος, ὁμοίως. Κόπρευς πρεσβύτερος, ὁμοίως. Ἀμμωνᾶς πρεσβύτερος, ὁμοίως. Ὠρίων πρεσβύτερος, ὁμοίως. Σερῆνος πρεσβύτερος, ὁμοίως. Δίδυμος, πρεσβύτερος, ὁμοίως. Ἡρακλῆς πρεσβύτερος ὁμοίως. Βόκκων πρεσβύτερος, ὁμοίως. Ἀγαθὸς πρεσβύτερος, ὁμοίως.

ἀχιλλᾶς πρεσβύτερος, ὁμοίως. Διάκονοι· ς ἀγαπίων διάκονος ὁμοίως. ἰοῦστος, διάκονος, ὁμοίως. Δίδυμος διάκονονος, ὁμοίως. Δημήτριος διάκονος ὁμοίως. μαῦρος διάκονος, ὁμοίως. κομῶν διάκονος, ὁμοίως. μάρκος διάκονος, ὁμοίως. τρύφων διάκονος ὁμοίως. ἀλέξανδρος διάκονος, ὁμοίως. ἀμμώνιος διάκονος, ὁμοίως. Δίδυμος διάκονος, ὁμοίως. πτωλαρίων διάκονος, ὁμοίως. σερᾶς διάκονος, ὁμοίως. γάϊος διάκονος, ὁμοίως. ἱέραξ διάκονος ὁμοίως. μάρκος διάκονος, ὁμοίως.~ Τοιαῦτα τοῦ ἁπανταχοῦ κατὰ πόλιν ἀλεξάνδρου γράφοντος, χεῖρον ἐγίνετο τὸ κακόν. ταῦτα γνοὺς ὁ βασιλεὺς κωνσταντῖνος, καὶ τὴν ψυχὴν ὑπεραλγήσας, συμφορὰν δὲ οἰκείαν τὸ πρᾶγμα ἡγούμενος, παραχρῆμα τὸ ἀναφθὲν κακὸν κατασβέσαι σπουδάζων, γράμματα πρὸς ἀλέξανδρον καὶ ἄρειον διαπέμπεται. διὰ ἀνδρὸς ἀξιοπίστου ὁσίου ἐπισκόπου, πόλεως μιᾶς τῶν σπανίων, κορδούβης. ἐπεὶ αὐτὸν ἠγάπα, καὶ διὰ τιμῆς ἦγεν ὁ βασιλεύς:~

## Ἐπιστολὴ, κωνσταντίνου βασιλέως πρὸς ἀλέξανδρον, καὶ ἄρειον. διαπεμφθεῖσα, διὰ ὁσίου ἐπισκόπου, κορδούβης:

Νικητὴς κωνσταντῖνος μέγιστος σεβαστὸς, ἀλεξάνδρῳ καὶ ἀρείῳ. μανθάνω ἐκεῖθεν ὑπῆρχθαι τοῦ παρόντος ζητήματος τὴν καταβολήν·* ὅτι σὺ αὐτὸς, ὦ πὲρ ἀλέξανδρε, παρὰ τῶν πρεσβυτέρων ἐπυνθάνου, τί δήποτε αὐτῶν ἕκαστος φρονεῖ, ὑπὲρ τινὸς τόπου τῶν ἐν τῷ νόμῳ γεγραμμένων, μᾶλλον δὲ ὑπὲρ ματαίου τινὸς ζητήματος μέρους πυνθάνοιτο. σύ τε ὦ ἄρειε. ὅπερ ἢ μήτε τὴν ἀρχὴν ἐνθυμηθῆναι σε ἔδει, ἢ* ἐνθυμηθῆναι, σιωπῇ παραδοῦναι προσῆκον ἦν, ἀπροόπτως ἀντέθηκας. ὅθεν τῆς ἐν ὑμῖν διχονοίας ἐγερθείσης, ἡ μὲν σύνοδος ἠρνήθη. ὁ δὲ ἁγιώτατος λαὸς εἰς ἀμφοτέρους σχισθεὶς, ἐκ τῆς τοῦ κοινοῦ σώματος ἁρμονίας ἐχωρίσθη. οὐκοῦν ἑκάτερος ὑμῶν ἐξ ἴσου τὴν* γνώμην παρασχὼν, ὅπερ ἂν ὑμῖν ὁ συνθεράπων δικαίως ὑμῶν παραινεῖ, δεξάσθω. τί δὲ τοῦτό ἐστιν; οὔτε ἐρωτᾶν ὑπὲρ τῶν τοιούτων ἐξ ἀρχῆς προσῆκον ἦν, οὔτε* ἐπερωτώμενον ἀποκρίνασθαι. τὰς γὰρ τοιαύτας ζητήσεις, ὁπόσας μὴ νόμου τινὸς ἀνάγκη προστάττει, ἀλλὰ ἀνωφελοῦς ἀργίας ἐρεσχελία προτίθησιν, εἰ καὶ φυσικῆς τινὸς γυμνασίας ἕνεκα γίνοιτο, ὅμως ὀφείλομεν

εἴσω τῆς

[Margin: ὅτε γὰρ; ἐνθυμηθέντα; συγγνώμην; ἐρωτώμενον]

εἴσω τῆς διανοίας ἐγκλείειν, καὶ μὴ προχείρως εἰς δημοσίας συν
όδους ἐκφέρειν, μηδὲ ταῖς* παντὸς ἀκοαῖς ἀπερινοήτως πιστεύειν. πόσος γάρ τῶν δήμων
ἐστιν ἕκαστος,* ὡς πράγματα οὕτω μεγάλα, καὶ λίαν δυσχερῆ δυνάμενος ἢ ὥστε
πρὸς τὸ ἀκριβὲς συνιδεῖν, ἢ κατ᾽ ἀξίαν ἑρμηνεῦσαι· καὶ μετὰ βραχέα·
οὐκοῦν* φευκτέον ἐν τοῖς τοιούτοις τὴν πολυλογίαν. ἵνα μή πως ἡμῶν ἐφεκτέον
ἢ ἀσθένεια τῆς φύσεως, τὸ* προτεθὲν ἑρμηνεῦσαι μὴ δυνηθέντων, ἢ τῶν προτεθὲν ἢ ἤ
διδασκομένων ἀκροατῶν* συνέσεις, πρὸς ἀκριβῆ τοῦ ῥηθέντος κατάλη βραδυτέρα
ψιν ἐλθεῖν μὴ* χωρήσασα, αὖθις ἐξ ἑκατέρου τούτων, ἢ βλασφη χωρηθέντων, ἐξ ὁ-
μίας, ἢ σχίσματος εἰς ἀνάγκην* ὁ δῆμος περιστῇ. καὶ μεθ᾽ ποτέρου τούτ. f. τὸν δῆμον
ἕτερα, τὸ γὰρ διχονοεῖν, οὔτε πρέπον, οὔτε ὅλως θεμιτὸν εἶναι πισ
τεύεται. ἵνα δὲ μικρῷ παραλείμματι τὴν ὑμετέραν σύνεσιν* ὑπομ ὑπομνήσω
νήσαιμι, ἴστε δήπου καὶ τοὺς φιλοσόφους αὐτούς,* ὡς ἐν ἑνὶ μὲν ἅπ ὡς ἑνὶ
αντες δόγματι συντίθενται. πολλάκις δὲ ἐπειδὰν ἔν τινι τῶν ἀπο
φάσεων μέρει διαφωνῶσιν, εἰ καὶ τῇ τῆς ἐπιστήμης ἀρετῇ χωρί
ζονται, τῇ μέντοι τοῦ σώματος* ἑνώσει, πάλιν εἰς ἀλλήλους* ἐμπ δόγματος συμ-
νέουσιν. εἰ δὲ τοῦτό ἐστι, πῶς οὐ πολλῷ δικαιότερον ὑμᾶς τοὺς τοῦ* νεύουσιν. μεγάλου
θεοῦ θεράποντας καθεστῶτας, ἐν τοιαύτῃ προαιρέσει θρησκείας,
ὁμοψύχους ἀλλήλοις εἶναι; ἐπισκεψώμεθα δὴ λογισμῷ μείζονι
καὶ πλείονι συνέσει τὸ ῥηθὲν ἐνθυμηθῶμεν, εἴπερ ὀρθῶς ἔχει, δι᾽
ὀλίγας καὶ* ματαίας ῥημάτων ἐν ὑμῖν φιλονεικίας, ἀδελφοὺς ἀδελφοῖς ματαίας.
ἀντικεῖσθαι, καὶ τέκνα πατράσι, καὶ τὸ τῆς συνόδου τίμιον, ἀσεβεῖ
διχονοίᾳ χωρίζεσθαι δι᾽ ὑμῶν,* ἀποστῶμεν ἑκόντες, τῶν διαβολικῶν ἡμῶν
πειρασμῶν. ὁ μέγας ἡμῶν θεός, ὁ σωτὴρ* πάντων, κοινὸν ἅπασι τὸ ἁπάντων
φῶς ἐξέτεινεν* ἐφ᾽ οὗ τῇ προνοίᾳ ταύτην ἐμοὶ τῷ θεράποντι ὑφ᾽
τοῦ κρείττονος τὴν σπουδὴν εἰς τέλος ἐνεγκεῖν συγχωρήσαν
τε. ὅπως* ὑμᾶς τοὺς ἐκείνου δήμους ἐμῇ προσφωνήσει, καὶ ὑπη αὐτοὺς
ρεσίᾳ, καὶ νουθεσίας ἐνστάσει, πρὸς τὴν τῆς συνόδου ἁγίαν κοινω
νίαν ἐπαναγάγοιμι. καὶ μεθ᾽ ἕτερα. περὶ μὲν τῆς θείας προνοίας
μία τις ἐν ὑμῖν ἔστω πίστις. μία σύνεσις.* μία συνθήκη τοῦ κρείττο σύνθεσις
νος. ἃ δὲ ὑπὲρ τῶν ἐλαχίστων τούτων ζητήσεων ἐν ἀλλήλοις ἀκριβο
λογεῖσθε, κἂν μὴ πρὸς μίαν γνώμην* συμφέρητε, μένειν εἴσω συμφέρησθε
λογισμῶν προσήκει, τῷ τῆς διανοίας ἀπορρήτῳ τηρούμενα·
τὸ μέντοι τῆς κοινῆς φιλίας* ἐξαίρετον, καὶ ἡ τῆς ἀληθείας ἀπόρρητον καὶ
πίστις, ἥ τε περὶ τὸν θεόν, καὶ* τοῦ νόμου θρησκείαν τιμὴ μενέ τὴν τοῦ
τω παρ᾽ ὑμῖν ἀσάλευτος. ἐπανέλθετε* δή, πρὸς τὴν ἀλλήλων δε. f. δέομαι.
φιλίαν τε καὶ χάριν. ἀπόδοτε τῷ σύμπαντι λαῷ, τὰς

ἐκκαθήραντες, ἢ ἐκκαθάραντες ἰδίων — οἰκείας περιπλοκὰς ὑμεῖς, τε αὐτοὶ καθάπερ τὰς ἑαυτῶν ψυχὰς* εἰς
καθάραντες, αὖθις ἀλλήλοις ἐπιγνῶτε.* ἡδεῖα γὰρ πολλάκις γί-
νεται φιλία, μετὰ τὴν τῆς ἔχθρας ἀπόθεσιν, αὖθις εἰς καταλ-
ἐπανέλθετε. — λαγὴν* ἐπανελθοῦσα. ἀπόδοτε οὖν μοι γαληνὰς μὲν ἡμέρας, νύ-
κτας δὲ ἀμερίμνους ἵνα κἀμοί τις ἡδονὴ καθαροῦ φωτὸς, καὶ βίου
ἥσυχος — λοιποῦ* ἡσύχου εὐφροσύνη σώζηται. εἰ δὲ μὴ ~~[illegible]~~
συγχεῖσθαι. — στένειν ἀνάγκη, καὶ δακρύοις δι' ὅλου* συνέχεσθαι, καὶ μὴ δὲ τὸν τοῦ
πραέως — ζῆν αἰῶνα,* πράως ὑφίστασθαι. τοῦ γάρ τοι τοῦ θεοῦ λαοῦ, τῶν συνθε-
ραπόντων λέγω τῶν ἐμῶν, οὕτως ἀδίκῳ, καὶ βλαβερᾷ πρὸς ἀλ-
λήλους φιλονεικίᾳ κεχωρισμένων, ἐμὲ πῶς ἐγχωρεῖ τῷ λογισ-
μῷ συνεστάναι λοιπόν; ἵνα δὲ τῆς ἐπὶ τούτῳ λύπης τὴν ὑπερβο-
αἴσθησθε, — λὴν* αἰσθήσησθε, ἀκούσατε. πρώην ἐπιστὰς τῇ νικομηδέων πόλει,
ἢ πειγόμην τῇ γνώμῃ. — παραχρῆμα εἰς τὴν ἑῴαν* ἠπειγόμην τὴν γνώμην. σπεύδοντι
δέ μοι πρὸς ὑμᾶς ἤδη, καὶ τῷ πλείονι μέρει σὺν ὑμῖν ὄντι, ἡ τοῦ
γράμματος — δὲ τοῦ* πράγματος ἀγγελία, πρὸς τὸ ἔμπαλιν τὸν λογισμὸν ἀν-
εχαίτισεν. ἵνα μὴ τοῖς ὀφθαλμοῖς ὁρᾶν ἀναγκασθείην, ἃ μη-
δὲ ταῖς ἀκοαῖς προσέσθαι δυνατὸν ἡγούμην. ἀνοίξατε δή μοι
λοιπὸν ἐν τῇ καθ' ὑμᾶς ὁμονοίᾳ τῆς ἑῴας τὴν ὁδόν, ἣν ταῖς
πρὸς ἀλλήλους φιλονεικίαις ἀπεκλείσατε. καὶ συγχωρήσατε
θᾶττον ὑμᾶς, τε ὁμοῦ, καὶ τοὺς ἄλλους ἅπαντας δήμους ἐπιδεῖν
χαίροντας. καὶ τὴν ὑπὲρ τῆς κοινῆς ἁπάντων ὁμονοίας τε, καὶ
ἐπ' ἢ ὑπὲρ — ἐλευθερίας ὀφειλομένην χάριν,* ὑπ' εὐφήμοις λόγων συνθήμασιν,
ὁμολογῆσαι τῷ κρείττονι. τοιαῦτα μὲν θαυμαστά, καὶ σοφίας
μεστὰ παρῄνει, ἡ τοῦ βασιλέως ἐπιστολή. τὸ δὲ κακὸν, ἐπικρα-
τέστερον ἦν. καὶ τῆς βασιλέως σπουδῆς, καὶ τῆς ἀξιοπιστίας
τοῦ διακονουμένου τοῖς γράμμασιν. ~

## ὅπου ὁ θεοφιλέστατος βασιλεὺς κωνσταντῖνος, σύνοδον ἐπισκόπων, ἐπὶ τῆς νικαέων κελεύει γενέσθαι

Ὁρῶν τοίνυν ὁ βασιλεὺς ταραττομένην τὴν ἐκκλησίαν, σύνοδον οἰκου-
μενικὴν συγκροτεῖ. τοὺς πανταχόθεν ἐπισκόπους διὰ γραμμάτων, εἰς νικαίαν
τῆς βιθυνίας ἀπαντῆσαι παρακαλῶν. ἦν δὲ αὐτῷ ἑκκαιδέκατον ἔτος καὶ
μῆνες ἓξ τῆς βασιλείας. ὅτε ταῦτα αὐτῷ ὑπὲρ τῆς ἐκκλησιαστικῆς
εἰρήνης ἐσπούδαστο. παρῆσαν, τε ἐκ πολλῶν ἐπαρχιῶν τε καὶ πόλεων οἱ ἐπίσκο-
ποι. περὶ ὧν, ὁ παμφίλου εὐσέβιος, ἐν τῷ τρίτῳ βιβλίῳ τῷ εἰς τὸν
κωνσταντίνου βίον, τάδε κατὰ λέξιν φησί. τῶν γοῦν ἐκκλησιῶν
πασῶν, αἳ τὴν εὐρώπην ἅπασαν, λιβύην τε καὶ τὴν ἀσίαν ἐπλήρουν,

ὁμοῦ

ὁμοῦ συνῆκτο τῶν τοῦ θεοῦ λειτουργῶν τὰ ἀκροθίνια. εἷς τε οἶκος
εὐκτήριος ὥσπερ ἐκ θεοῦ πλατυνόμενος, ἔνδον ἐχώρει κατὰ τὸ αὐτό.
σύρους τε ἅμα καὶ κίλικας. φοίνικάς τε καὶ* ἄραβας. καὶ παλαιστινούς. ἀραβίους
καὶ ἐπὶ τούτοις αἰγυπτίους. θηβαίους. λίβυας. τούς τε ἐκ μέσης τῶν πο
ταμῶν ὁρμωμένους. ἤδη δὲ καὶ πέρσης ἐπίσκοπος τῇ συνόδῳ παρῆν.
οὐδὲ σκύθης ἀπελιμπάνετο τῆς χορείας. πόντος τε καὶ ἀσία. φρυ
γία τε καὶ παμφυλία, τοὺς παρ' αὐτοῖς παρεῖχον ἐκκρίτους. ἀλλὰ
καὶ θρᾷκες καὶ μακεδόνες. ἀχαιοί τε καὶ ἠπειρῶται.* οἱ ἔτι προσωτά τούτων θ' οἱ
τω οἰκοῦντες, ἀπήντων.* αὐτός τε σπανῶν ὁ πάνυ βοώμενος ὁ ὅσιος. ἐπέ αὐτῶν
χων καὶ τὸν τόπον τοῦ τῆς μεγίστης ῥώμης ἐπισκόπου σιλβέστρου.
σὺν πρεσβυτέροις ῥώμης, βίτωνι, καὶ βικεντίῳ. τοῖς πολλοῖς ἅμα
συνεδρεύων. τῆς* τε νῦν βασιλευούσης πόλεως. ὁ μὲν προεστὼς, μη δὲ γε
τροφάνης τοὔνομα. διὰ γῆρας ὑστέρει. πρεσβύτεροι δὲ αὐτοῦ πα
ρόντες, τὴν αὐτοῦ τάξιν* ἐτέλουν. ὧν ὁ εἷς, ἀλέξανδρος ἦν. ὁ μετ' ἐπλήρουν.
αὐτὸν ἐπίσκοπος, τῆς αὐτῆς γεγονὼς πόλεως. τοιοῦτον* μόνος ἐξ μόνον
αἰῶνος εἷς βασιλεὺς κωνσταντῖνος Χριστῷ στέφανον δεσμῷ συνάψας
εἰρήνης, τῷ αὐτοῦ σωτῆρι τῆς κατ' ἐχθρῶν* πολεμίων νίκης, θεο καὶ πολ.
πρεπὲς ἀνετίθει χαριστήριον. εἰκόνα χορείας ἀποστολικῆς, ταύ
την καθ' ἡμᾶς συστησάμενος. ἐπεὶ καὶ κατ' ἐκείνους συνῆχθαι
λόγος, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν ἄνδρας εὐλαβεῖς.
καθὼς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων. ἐν οἷς ἐτύγχανον, πάρθοι
καὶ μῆδοι. καὶ ἐλαμῖται. πλὴν ὅσον ἐκείνοις μὲν ὑστερεῖτο, τὸ
μὴ ἐκ θεοῦ λειτουργῶν συνεστάναι τοὺς πάντας. ἐπὶ δὲ τῆς παρού
σης χορείας, ἐπισκόπων μὲν πλῆθος ἦν, τριακοσίων ἀριθμὸν ὑπερακ
οντίζουσα. ἑπομένων δὲ τούτοις πρεσβυτέρων, καὶ διακόνων. ἀκολούθων
τε πλεῖστων ὅσων ἑτέρων, οὐδ' ἦν ἀριθμὸς εἰς κατάληψιν. τῶν
δὲ τοῦ θεοῦ λειτουργῶν, οἱ μὲν διέπρεπον σοφίας λόγῳ. οἱ δὲ, βίου
στερρότητι, καὶ καρτερίας ὑπομονῇ. οἱ δὲ, τῷ μέσῳ τρόπῳ κα
τεκοσμοῦντο. ἦσαν δ' ἐν τούτοις, οἱ μὲν* χρόνου μήκει τετιμημένοι. χρόνου
οἱ δὲ, νεότητι, καὶ ψυχῆς ἀκμῇ διαλάμποντες. οἱ δὲ, ἄρτι παρελ
θόντες, ἐπὶ τὸν τῆς λειτουργίας δρόμον. οἷς δὴ πᾶσιν ὁ βα
σιλεύς, ἐφ' ἑκάστης ἡμέρας, τὰ σιτηρέσια δαψιλῶς χορη
γεῖσθαι* προστέτακτο. τοιαῦτα μὲν περὶ τῶν ἐκεῖ συναχ διετέτακτο
θέντων, ὁ παμφίλου* ἐξήλθεν εὐσέβιος. ἐξῆρχεν

ὅπου ὁ βασιλεὺς, συνεδρεύει τοῖς ἐπισκόποις.

Ἐπιτελέσας δὲ ὁ βασιλεὺς ἐπινίκιον κατὰ λικινίου ἑορτήν, ἀπῄει καὶ αὐτὸς εἰς τὴν νίκαιαν. τῇ δὲ ἑξῆς, πάντες ἅμα ἐπίσκοποι εἰς ἕνα τόπον συνήρχοντο. παρῄει δὲ καὶ ὁ βασιλεὺς μετ' αὐτούς. καὶ ἐπεὶ παρῆλθεν, εἰς μέσον ἔστη. καὶ οὐ πρότερον καθίζειν ἠξίου, πρὶν ἂν οἱ ἐπίσκοποι ἐπινεύσειαν. τοσαύτη τις εὐλάβεια καὶ αἰδὼς τῶν ἀνδρῶν, τὸν βασιλέα κατεῖχε. πρὸς οὓς ὁ βασιλεὺς ὁ πανεύφημος, παραινετικούς, καὶ διδασκαλικοὺς προσενήνοχε λόγους, εἰς ὕμνησιν καὶ δοξολογίαν, καὶ εὐχαριστίαν, τοῦ τῶν πάντων θεοῦ, τοῦ τοσαῦτα χαρισαμένου, ὧδέ πως λέγων.

## Λόγος κωνσταντίνου προσφωνητικός, πρὸς τὴν ἁγίαν σύνοδον.

Πολλὰς μὲν πρὸς εὐποιΐαν τῷ τῶν ἀνθρώπων γένει ἐπιφανεστάτας ὁδοὺς ἡ τοῦ παντοδυνάμου θεοῦ τρόφιμος δικαιοσύνη ὑπεστόρωσεν. οὐχ ἥκιστα δὲ ἐκείνην τὴν ἐπισημοτέραν, καὶ μάλιστα ἐξαστράπτουσαν. ἣν ἐν τῷ κεφαλαίῳ τοῦ ἁγιωτάτου * νόμου τῆς καθολικῆς ἐκκλησίας, πάντων ἡμῶν, παντὸς θαύματος μεῖζον, ἤθροισε τῆς πίστεως κυριακὸν οἰκητήριον. τούτου δὲ τὴν μὲν κορυφήν, μέχρι τοῦ φέγγους τῶν ἄστρων ἐληλυθέναι ὁρῶμεν. τοὺς δὲ θεμελίους, ἔτι ἀρχομένου τοῦ ἔργου οὕτω βαθέως καὶ πιστῶς ἐρριζῶσθαι θείῳ νεύματι γινώσκομεν. ὡς πᾶσαν τὴν οἰκουμένην αἴσθησιν τούτου λαβεῖν. ἀπὸ τῆς κορυφῆς τοίνυν τῆς προειρημένης ἁπάσων τῶν λοιπῶν * ὅλων ὑπερκειμένης, ἄχρι τοῦ τέλους τῆς ἐξόδου φαίνεται, ὁμαλὴ καὶ ἰσόπεδος πορεία, τῇ λαμπρότητι τοῦ φωτὸς χρωμένη. ἧς καὶ τὸ μέτωπον ἀστροειδεῖ σφραγῖδι κεκοσμημένον, δυοκαίδεκα τὸν ἀριθμὸν κίονες, χιόνος λαμπρότεροι, ἀκίνητοι τῇ θέσει τῆς πίστεως, ἀϊδίως τῇ τῆς θεότητος τοῦ ἡμετέρου σωτῆρος δυνάμει βαστάζουσι. τούτου τοίνυν τοῦ τηλικούτου ἔργου, οὐ τέχνη τις προλαμβάνουσα ἡμῶν, καὶ τὴν ἀπὸ ψυχῆς δικαίαν πίστιν τοῦ ἀθανάτου αὐτοῦ νόμου, εἰς νοῦν ἔλαχεν ἡμῶν τὴν σεμνότητα. οὗπερ πρὸς τοὺς πυλῶνας, οὐδεὶς ἕτερον εἰ μὴ ἁγνῆς καὶ εὐσεβοῦς ἐπιθυμίας ἐπιγνώσεως, μόνῃ καθαρᾶς διανοίας πεποιθήσει, πρόσεισιν ὁ βουλόμενος. τούτῳ δὲ αὐτῷ, θαυμαστήν τινα κόσμου λαμπρότητα, ὅσιος προσήνεγκε λογισμός. * λογίῳ δὲ ἔνδοθεν πίστις χριστιανῶν, διὰ παντὸς τοῦ περιβόλου τοῦ κηρύγματος ἀνθοῦσι στεφάνοις τετιμημένη, ἀθανασίας καρπὸν ἀθροίζουσα, * ἁγνοὺς τόνους τῆς ζωῆς τῆς ἀνθρωπείας εἰς φανερὸν ἄγουσα, ἐπιφανεῖς καθίστησιν. αὖθις ἐντεῦθεν ἡ ἔξωθεν ὁσίως δόξα ἐστεμμένη τοῦ

[margin: δόγμα]
[margin: ὅλων]
[margin: λέγω δὲ ἔξωθεν π]
[margin: ἁγίους πόνους]

αἰῶνος

αἰῶνος ἀεὶ τικτομένου· μᾶλλον δὲ φυομένου, βραβεῖα ὑπογράφει
καὶ τραπέζια μετὰ τοῦ προσήκοντος ἐπαίνου· ἅπασαν τοῦ αὐτοῦ
ἔργου τὴν τελεσιουργίαν κομιεῖ. ὁ δὲ αὐτὸς οὗτος ὁ κυριακὸς
οἶκος ὑπὸ διδύμου φυλακῆς φρουρεῖται· καὶ φόβος μὲν θεῖος προσ-
εισι τῇ ἐνίων ἐννοίᾳ σωφρονιστήριον· πάρεστι δὲ ἀεὶ τοῖς εὖ φρο-
νοῦσιν, ὁ πρὸς τὸ θεῖον ἔπαινος, τῆς συνέσεως βραβεῖον. τούτων γὰρ ἑκα-
τέρων ἐπικειμένων τοῖς προθύροις τοῦ ἁγιωτάτου τόπου, δικαιοσύ-
νη μὲν αἱ θύραι ἀναπεπταμέναι δέχονται· αὕτη τε εἴσω οἰκι-
σθεῖσα, μένει ἀκήρατος. τῇ δὲ ἀδικίᾳ, οὐδὲ θέμις ταῖς θύραις
προσελθεῖν, ἀλλὰ ἐξόριστος τούτου τοῦ τόπου ἐκκλείεται. ταῦτά
*μοι ὦ τιμιώτατοι καὶ παντὸς ἐπαίνου ἄξιοι ἀδελφοί, τὰ πρά- με
γματα οὕτω σαφῆ, εἰς τὴν τοῦ ἀιδίου καὶ ἀθανάτου φωτὸς λαμ-
πρότητα ἤγαγεν. ἵνα μὴ πόρρω με ἐσκότα, ἀμφίβολος τις ἴσως
τῆς ψιλῆς πίστις ἀπεργάσηται τῆς ἀληθείας ἀνάγνωσιν. ἀλλὰ
τί πρῶτον διαβεβαιώσομαι. πότερον, τῆς εὐδαιμονίας τὸν τόπον,
ἥτις εἴσω τοῦ στήθους τοῦ ἐμοῦ συνειλημμένη λανθάνει, ἢ τὰς θείας
εὐεργεσίας τὰς περὶ ἐμὲ τοῦ παντοδυνάμου θεοῦ. ἐξ ὧν τὸν ἀριθ-
μὸν πολλῶν ὄντων, *ἱκανῶς ὧν λέγομεν φανείη ἤδη, καὶ τὴν ἐμὴν μετρι- ἱκανῶς ὅ,τι λέγ
ότητα ὁ αὐτὸς ἡμέτερος θεός, καὶ παντὶ πράγματι πιστός, εἰκότως
ἑαυτῷ κατεδουλώσατο. πιστεύετε ὦ τιμιώτατοι ἀδελφοὶ προσ-
λαμβάνοντες ἀκέραιον πίστιν τοῖς λεγομένοις, εἰ καὶ μάλιστα ἡ
ἐμὴ διάνοια, τῶν θείων εὐεργετημάτων κορεσθεῖσα, εὐδαιμονεῖν
δοκεῖ· καὶ ἀπὸ τούτου τοῦ πράγματος ἐξόχους ἐπαίνους, πληρῶσαι
δύνασθαι φαίνεται, ὅμως, ὅπερ τῆς ἀληθείας ἡ πίστις ἐναργῶς
δείκνυσιν, οὔτε φωνή, οὔτε γλῶττα τῷ προστάγματι τῆς διανοίας
ὑπουργῆσαι ἀρκοῦσι. καὶ μάλα εἰκότως· ἡμετέρου γὰρ ὄντος τοῦ
μεγέθους τῶν εὐεργεσιῶν, ἡ μὲν διάνοια ὑψηλή τις οὖσα, τοὺς ἀνω-
τέρω τοῦ σώματος τόπους καταλαμβάνει. ἡ δὲ τῆς γλώττης πο-
ρεία, εἰς στενὸν κομιδῇ τόπον συγκλεισθεῖσα, δόκιμος σχεδὸν
λέγουσα, παντάπασι σιωπᾷ. τίς γὰρ ἡμῶν οὕτω προπετὴς λογι-
σμῷ, ἵνα τοιαύτης πεποιθήσεως ἀποῤῥίψῃ λόγον, δι' οὗ φάναι
ἂν τολμήσειε πάνυ εὐκόλως, τῷ τὰ πάντα δυναμένῳ θεῷ, ἢ καὶ
παντὸς τῶν καλλίστων δημιουργῷ, ἐνδόξους ἐπαίνους, καὶ ἐπαξίους ἐν-
τελῶς εἰπεῖν, ὁπότε εἴ τις μόνην τὴν μεγαλοπρέπειαν, τοῦ αὐ-
τὸν τετάχθαι νομοθετήσαντος λογίσαιτο, εἰδὼς ἂν *σκοπήσειε, σιωπήσειε

μὴ δύνασθαι εὖ ῥηθῆναι, ὅπερ ἄξιον τοῦ λεχθῆναι δυνήσεται. τί
τοίνυν τῆς ἐμῆς μετριότητος τὴν καθοσίωσιν λέγειν ἐχρῆν, εἰ μὴ
τοῦτο, ὅπερ ὁ θεῖος λόγος τῆς ἀληθείας δείκνυσιν. οὗ τὸ μέγεθος,
ἤ τινος — *ἥτις μεγίστη προσκύνησις, σκοπησάτω σαφῶς, εἰ καταντλῆσαι δυ-
νήσεται ἐν αὐτοῖς τοῖς περὶ αὐτοῦ λεγομένοις. καὶ οὐδεμία πλά-
νη αὐτὸν ὀλισθήσει. καὶ εἴθε μοι τῷ ἡμετέρῳ συνδιακόνῳ δα-
ψιλὴς εὐπορία τῶν λέξεων ἀρκέσειεν. ἵνα ἐκεῖνα ἄξια ὄντα
τοῦ κηρύττεσθαι ἐγκωμιάσω. ἅπερ ὁ θεῖος σωτὴρ ὁ ἡμέτερος, πάντων
τῶν πραγμάτων φύλαξ, τοῖς πειθομένοις τῆς αὐτοῦ παρουσίας, ὁπότε τῆς ἡ-
μετέρας λυσιτελείας ἕνεκα. ἁγνοῦ σώματος οἰκητήριον κατηξίωσεν ἐκ
παρθένου λαβεῖν. πᾶσιν αὐτοῖς δίδαγμα τοῦ παρ' αὐτοῦ ὄντος δηλῶν
γαληνῷ νεύματι τῆς αὐτοῦ θεότητος ἔδειξε. τίνος ἄρξομαι. ἆρα
ἀπὸ τῆς αὐτοῦ διδαχῆς καὶ σεμνότητος; ἀλλὰ ἀπὸ θείων διδασκαλι-
ῶν αὐτὸς δι' ἑαυτοῦ μηδενὸς διδάσκοντος, μόνος διδάσκαλος πέ-
φυκεν; ἀλλ' ὅπως ἀνέπνευσαν διὰ τῆς αὐτοῦ προνοίας τοσοῦτοι
δῆμοι, ὅσους οὐδὲ ἀριθμῷ περιλαβεῖν οἷόν τε, μικρᾷ τινὶ τροφῇ,
* ἀλλ' ὅπως τοῦ παιδίου τῆς χήρας, ἢ τοῦ ἀρχισυναγώγου παιδίσκης τῇ αὐτοῦ θείᾳ πρ. — καὶ ἐλαχίστοις σιτίοις, καὶ μόνοις δύο ἰχθύσι; * τῇ τούτου θείᾳ προνοίᾳ καὶ
Λάζαρος μετὰ τὴν τελευτήν, βραχείᾳ τινὶ ῥάβδῳ, ἀνάστασιν πεποί-
ηκε, καὶ εἰς τὴν τοῦ φωτὸς λαμπρότητα αὖθις ἀνήγαγε. πῶς δ' ἂν
εἴποιμι τὴν ἁγνὴν αὐτοῦ θεότητα, δι' ἧς γυναῖκά τινα ἀπορρή-
το τέρως θεασάμενος, καὶ τῆς ἑαυτοῦ ὁμιλίας μόνης καταξιώσας,
ὑγιᾶ τε αὖθις, καὶ παντὸς νοσήματος ἐλευθέραν ἔδειξεν. τίς δ' ἂν
κατ' ἀξίαν εἴποι αὐτοῦ τὸ ἀθάνατον ἔργον, δι' οὗ τις συνεχεῖ, καὶ
μακρᾷ νόσῳ τηκεδόνι ἀναλωθείς, καὶ τῶν μελῶν αὐτοῦ χυθέντων,
καὶ διασπασθέντων ὅλων, κείμενος ἄφνω θείῳ ῥήματι ῥωσθείς, αὐτὸ
τὸ σκιμπόδιον ἐφ' οὗ ἔκειτο, τοῖς ὤμοις ἐπέθηκε, καὶ εὐχαριστίας
ἐπαίνους διαχέων, διά τε τῆς πόλεως καὶ τῆς ἐνορίας διέδραμεν. ἀλλὰ
τὸ θεῖον αὐτοῦ καὶ σταθηρὸν βάδισμα ὡς ἐπιβαίνων τὴν ἀγρίαν
θάλασσαν, καταπονήσας ἐπέζευσε. καὶ τοῖς θείοις ἴχνεσι, τῆς βα-
θυτάτης θαλάσσης τὴν ὑγρότητα ἐπάτησε. καὶ διὰ μέσου πελάγους,
οὐδενὶ μέτρῳ βαθύτητος περιοριζομένου, ὥσπερ διὰ γῆς τὴν
πορείαν ἐποιήσατο. ἀλλὰ τὴν ἠπίαν αὐτοῦ ἀνεξικακίαν, δι' ἧς
νικητὴς ὢν ἐν πᾶσι, τῶν ἀνοήτων δήμων τὴν αὐθάδειαν
ἐδάμασε. καὶ δαμασθεῖσαν, πόρρω ἀπ' αὐτῶν διαχωρίζων,
τὴν ἀγριότητα τῷ νόμῳ ὑπέταξεν. ἀλλ' ἐκεῖνα τὰ ὑπὲρ

λαμπρά,

λαμπρὰ, καὶ μέγιστα τῆς αὐτοῦ θειότητος, οἷς ζῶμεν. οἷς εὐλογοῦμεν
οἵτινες τῆς μελλούσης εὐδαιμονίας τὴν ἐλπίδα, οὐ μόνον προσ-
δοκῶμεν, ἀλλ' ὥσπερ τινὶ τρόπῳ ἤδη κατέχομεν. τί πλέον
τολμῶ λέγειν, καὶ μετ' αὐτοῦ τῆς μικρᾶς τοῦ λόγου παρασκευῆς,
εἰ μὴ μόνον τοῦτο ὅπερ τῆς ἐμῆς καθωσιωμένης ψυχῆς, συνεῖναι
χρῆ τὴν καθαρότητα. ὁποῖος τοίνυν ἐστὶν ὁ παντοδύναμος θεὸς, ὁ τὸν
οὐρανὸν οἰκῶν, καὶ περὶ πᾶν τὸ ἀνθρώπινον γένος, μάλιστα δὲ καὶ ἐξ
αιρέτως περὶ τὴν καλλίστην, καὶ πάντως ἐπάνω μείζονα δικαιοσύ-
νην. ὁ ποτὲ καὶ τοῦ ἰδίου θείου πνεύματος τὸ ἁγιώτατον κατ' ἀξίαν σῶμα
ἐνοικοῦντε αὐτῷ, καὶ οὕτω σεμνῶδες τοῖς ἁγνοῖς σώμασι εἶναι κα-
τηξίωσε. ἐπειδὴ οὖν περὶ τῆς οὕτω ἁγιωτάτης, καὶ σεμνοῦ τῆς παν-
τοδυναμένης θεοῦ τάξεως, ἄμετρος τῶν ἐχθρῶν μανία, ὥσπερ ἄλλῃ
τινὶ συγκεχυμένη* ἐπ' ὀλεθρίου σκαιότητος, ἑρμηνείαν ποιεῖσθαι οὐκ *ἐπολεθρίῳ
ἀμφιβάλλει, διὰ βραχέων εἰς ὅσον ἡ πίστις, καὶ ἡ καθοσίωσις τῆς
ψυχῆς τῆς ἐμῆς, τοῦ λέγειν εὐπορίαν δαψιλεύεται, διηγήσασθαι
πειράσομαι. καὶ γὰρ *αἱ τινῶν τῶν ἐθνῶν κακόνοιαι, τοσοῦτον γενόμενος ἡ τούτων τῶν ἐθνῶν κακόνοια
εἰσάγει ἀναισθησίας, ὥστε ἀσεβεῖ στόματι μὴ φοβηθῆναι εἰπεῖν
τὸν θεὸν τὸν πάντα δυνάμενον, πάντα τὰ τῷ θείῳ νόμῳ δηλούμενα,
μήτε πεποιηκέναι, μήτε ποιῆσαι βεβουλῆσθαι. ὦ τῆς τοιαύτης
ἀσεβοῦς φωνῆς, τῆς κατ' ἀξίαν ἅπασαν ὑπερβολὴν τιμωρίας
καθ' ἑαυτῆς ἀπαιτούσης. οὕτως ἐμμανῶς καὶ τολμηρῶς, τῆς θείας
ταύτης εὐεργεσίας τὴν δόξαν, τὴν μηδενὶ τῶν ἀνθρώπων περι-
ληφθῆναι δυναμένην, ἀφανῆ κατασπᾶσαι ἐπιθυμεῖ. τί γὰρ
μᾶλλον ἢ ἁγνότητος ἄξιον τοῦ θεοῦ. ἥτις ἐκ τῆς ἁγιωτάτης ὁμιλίας,
μετὰ τῆς πηγῆς τῆς δικαιοσύνης προελήλυθε. καὶ διὰ πάσης
τῆς περιόδου τῆς οἰκουμένης, ἐπλήμμυρε. καὶ τὰς δυνάμεις τῶν ἁγι-
ωτάτων ἀρετῶν, τοῖς ἀνθρώποις ἐπέδειξεν. ἅσπερ ἑαυτοῖς πρῶτον
ἐχθρὰς νομίσαντες πάθει τῶν κακούργων, οἷς προηγουμένου τοῦ φαύλου
παραδείγματος, καὶ τὰ λοιπὰ ἔθνη συνθέσθαι αὐτοῖς ἀνεπείσθη.
ἐν οἷς, ὥσπερ ἡμῖν ἰδίᾳ θεωρίᾳ δοκιμάζομεν, τὸν τοῦ σωτῆρος ἡμῶν,
θεοῦ θεῖον ὁρῶμεν συνεργοῦντα ὄχλον. ὁπότε, καὶ καθ' ἡμέραν, καὶ
κατὰ λεθοῦς πολλοὺς περιόδους μανίαν οἰστρουμένην, ὁ αὐτὸς
εἰς τὴν τοῦ σωτηριώδους ἰάματος ἀνεξικακίαν, ἐκέλευσεν
ἀνήκειν. καὶ οὐδὲ οὕτω τοῖς λοιποῖς τῆς τοιαύτης εὐεργεσίας

ἕλκειν τὸ μέγεθος δύναται πρὸς χάριν* ἑλκεῖν τὴν παρὰ ἀνθρώπων ἄγνοιαν
καὶ τὴν θείαν δυναστείαν δυνατὸν πάντα λόγον ὑψῶσαι, καὶ εἰς ὕψος
ἀρθέντα, βεβαιώσασθαι αὖθις καθελεῖν καὶ διαλῦσαι· ἀλλὰ μᾶλλον
τοῖς ἀνθρωπίνοις πράγμασιν, ἐναντίως ἂν ἀπέβη, εἰ ὁ θεὸς ὁ τὰ πάν-
τα δυνάμενος, συνωπτικῷ τῆς αὐτοῦ θεότητος νεύματι πάντα πράττειν
προέθετο. μᾶλλον γὰρ ἂν ἡ τῶν ἀνθρώπων μανία ἐγένετο ἰσχυρά. καὶ
ἡ ἀνθρωπεία οὐκ ἔχουσα πέρας, πάσας ἂν τὰς ψυχὰς ἐπόρθησεν. οὐδὲ
ἂν τὰ ἄλλα πλεῖστα ὄντα ἅπερ ἐν τῇ τοῦ κόσμου ἀναστροφῇ, τὴν
ἰδίαν λειτουργοῦ τάξιν, ἀναφανῆναι ἐδύναντο· ἀλλ' ὁμοῦ πάντα
μετὰ τῆς ἀγνοίας τοῦ θεοῦ, ταχέως ἂν ἀπώλετο. τοῦ δὲ φθόνου
οὕτως καὶ τῆς βασκανίας τὸ ἄδικον,* οὕτως ἐν ὀλίγοις μεμένηκεν. ἀλλ'
οὐδεὶς ἂν ηὑρέθη ταύτης τῆς βασκανίας ἀλλότριος. τῶν θρησ-
κειῶν τὰ γένη εἰς τοσοῦτον μεγάλως, τε καὶ πλατέως εἰς τὰς ψυ-
χὰς τῶν ἀνθρώπων διαχυθέντων ὡς ἀξίως τῇ τούτων αἰσθήσει, τὸ φῶς
ταύτης τῆς ἡμετέρας λαμπρότητος ἐπισκιαθὲν αὐτοῖς, ἀεὶ ταύ-
της αὐτῆς στερίσκεσθαι. οὐδεὶς οὖν λόγος δυνήσεται τῶν εἰρημένων
τὴν ἡμῶν πίστιν, ἀπὸ τῆς ἡμῶν ἐξελκειν ψυχῆς. ἕπεται γὰρ
αὐτῇ, μηδενὸς φαύλου ἐμποδὼν ὄντος, δύναμις τελεία. ὁ ζῶν
τῆς ἀληθείας λόγος εἰς, πάντα δυνάμενος. φύλαξ πάντων πραγμάτων
τῆς ἡμετέρας ἐστὶ κινήσεως. οὕτως οὖν δοκεῖ τινι τρόπῳ τοῦ ἁγι-
ωτάτου αὐτοῦ λόγου διαφυλάττεσθαι, τὴν ὁμιλίαν τοῦ ἐλευθεροῦν-
τος διαφυλάττειν, καὶ τοῦ φωτὸς τὴν λαμπρότητα ἡμῖν παρέχειν.
τίνος τοίνυν ἕνεκα καὶ νῦν, πάντων τῶν ἐθνῶν οἱ δῆμοι, τὸ ὅσιον
μὴ καθορῶντες φῶς, καὶ τοῦ ἐνδοξοτάτου θείου ὑπερφρονοῦντες,
τὸ γήινον ἐπιζητοῦσιν, οὐδεμίαν ἔχον ὑπόστασιν ἀληθείας. οὐδὲ φαι-
δρότητα ἀγνοοῦσι λαμπρότητος. οὐδὲ δυναστείαν τῆς οὐρανίου θεό-
τητος. ὦ ἀναξίας δράματος. ἔτι καὶ νῦν μηδὲν ἐλλείποντες τῆς
ἀσεβείας, μὴ δὲ πρὸς τὸ δέον ἀφορῶντες, ὑπὸ ἀθλίας πλάνης
καταπίπτοντες, οὐχ ὁρῶσι. καὶ τοῖς ῥυπαροῖς τούτοις ἔργοις τοῖς τοῦ
κόσμου, τὴν λαμπρότητα οὐ παύονται μαινόντες. δηλαδή, ξύλον, καὶ
λίθον, καὶ χαλκόν, καὶ ἄργυρον, καὶ χρυσόν, καὶ ταύτας τὰς γηΐνας,
εἰς τὸ πρόσωπον καθιδρῶντες. καὶ ἀπὸ τούτων ἐλπίδα τῆς ζωῆς ἐπαγ-
γελλόμενοι, ναοὺς αὐτοῖς μετὰ ἐπισήμου κόσμου οἰκοδομοῦντες. καὶ
ἀπὸ τούτου οὕτως αὔξοντες αὐτῶν τῆς προσκυνήσεως τὰς προθυμί-
ας. ἐπειδήπερ τὸ μέγεθος τῶν οἰκοδομημάτων ὑπ' αὐτῶν γενόμενον

ἄξιον

ἄξιον τῆς ἑαυτῶν ὀρέξεως παρέχεται τὸ θαῦμα. ὁπότε τοίνυν ταῦ
τα ποιεῖν δοκοῦσι, σαφῶς νοοῦνται, εἰ καὶ τὰ μέγιστα αὐτοὶ οὐκ αἰσθά
νονται, οὐδὲ ὁρῶσιν ὑπερηφάνως. ὅτι τοῖς ἑαυτῶν ἔργοις ἀρκεῖν
δοκοῦντες, ἁλίσκονται. ἡλίκος τοίνυν, καὶ πόσος, τε ὁ θεὸς ἐστιν ὁ
παντὸς δυνάστης,* οὐχ ὁρώμενός τις, καὶ παντὸς αὐθέντης ἐστί, καὶ κριτής. ὃς οὐχ
ὃν τινὲς αὐτῇ τῇ πεποιθήσει τῆς ἰδίας ὡς νομίζουσιν ἀρετῆς
*λανθάνουσιν. αὐτὸς γὰρ τῇ διατυπώσει, καὶ τὸ εἶδος τοῦ ἡμετέ ἐξαρνοῦντες
ρου σώματος ἔλαβε τὸν ὀφειλόμενον τύπον. καὶ ἵνα σχῶμεν τῆς
ἁρμονίας τὴν ἀκμὴν, ὁ αὐτὸς τῶν πάντων μελῶν τὴν συζυγίαν,
ἰσχυροτάτοις νεύροις συνέδησεν. ἵνα ἐν πάσῃ πράξει τῆς ἡμετέρας
σπουδῆς, ἀκάματον ἔχομεν τὴν ἀκμὴν τῆς οἰκείας ἁρμονίας
τούτου τοίνυν σωτηριώδει διατυπώσει τελεσιουργηθέντος, καὶ πνεῦμα
ἡμῶν ἵνα ταῦτα πάντα κινεῖσθαι καὶ ἀκμάζειν δύναιτο ἐνη
νενος. καὶ θεὰν τοῖς ἡμετέροις ὀφθαλμοῖς, συνεχώρησε. καὶ
πρὸς, σύνεσιν τῇ ἡμετέρᾳ κεφαλῇ δέδωκε. καὶ εἴσω τῆς χώ
ρας ταύτης πάσης, τῆς διανοίας τῆς ἡμετέρας τὸν λογισ
μὸν συνέκλεισε. τοιγαροῦν εἴ τις εὖ φρονῶν, ταύτης τῆς
διατυπώσεως τὸν λογισμὸν σκοπήσειε. τὰ δὲ λοιπὰ, παύ
σειεν. ἃ μήτε λόγῳ. μήτε ἀριθμῷ περιληφθῆναι δύναται,
ταχείᾳ ἐνθυμήσει, καὶ ἰδεῖν καὶ συνεῖναι δυνήσεται, τὴν αἰ
ώνιον καὶ σωτηριώδη, τοῦ ἀθανάτου θεοῦ ἐξουσίαν. καὶ οὐ δυνή
ται ἐκεῖνον πλάνης τινὸς χωρὶς ἄνθρωπος ἐνδῆσαι* σέ ποτε σαφῶς ὁπότε
αὐτῷ ἕξεσι· καὶ ἰδεῖν πάντα τὰ γεγονότα, εἶναι δυνάμει τοῦ θεοῦ.
ὡς αὐτὸς ταῦτα πατὴρ εἶναι βεβούληται. ἵνα δὲ εἴη ἰδεῖν ὅτι
τῆς ἀθέμιτος κόσμου πολιτείᾳ, τὴν τοῦ θεοῦ ἀγνωσίαν τοῖς
ἀνθρώποις ἀπειργάσατο, λογισμοῦ ἁμαρτήματος περιττέρου τεθέντος
ἐκ πλάνης τοῦ ἐχθροῦ, ἐν ταῖς τῶν σκαιοτάτων ἀνθρώπων* ἀθλίως ψυχαῖς, ἀθλίαις
ἐκ τοῦ θείου νόμου λαβεῖν ἡμᾶς, ἔνεστι σαφῆ τὴν περὶ τούτου ἀπό
δειξιν. ἐξ ἐκείνου γὰρ καιροῦ, ἐξ οὗ ὑπὸ τῶν δύο ἐκείνων τῶν ἐν
ἀρχῇ κατασταθέντων, τὸ θεῖον καὶ ἅγιον πρόσταγμα, μετὰ τῆς προ
σηκούσης ἐπιμελείας οὐκ ἐφυλάχθη, ἐτέχθη μετὰ ταῦτα τῆς
προσηγορίας ταύτης τὸ ἄνθος. γέγονε δὲ συνεχὲς, καὶ μᾶλλον ἐπηύ
ξησεν, ἐξ οὗ καὶ οἱ προειρημένοι δύο, θείῳ νεύματι ἀπεβλήθησαν.
ἕως δὲ τοσούτου, ἡ ὕλη αὐτὴ, μετὰ τῆς σκαιότητος τῶν ἀνθρώπων
προήχθη. ὥστε τῆς, τε ἑώας, καὶ τῶν πρὸς δύσιν κρηπίδων
κατεψηφίσατο. αὕτη τε ἡ ὑπερβολὴ τῆς ἐναντίας δυνάμεως

τὰς διανοίας τῶν αὐτῶν κατέλαβε καὶ ἠμαύρωσεν. ἐν ᾧ μέντοι
πράγματι *προστάγματι, ἅγιος, καὶ ἀθάνατος ἐστὶ τοῦ τὰ πάντα δυναμένου
θεοῦ, ὁ ἀχάριστος οἶκος. πάσαις γὰρ ταῖς ἡμέραις καὶ τοῖς χρόνοις
τοῖς παρεληλυθόσιν, ἀναριθμήτους τῶν δήμων πολυπληθείας, ἀπὸ
τοῦ βάθους τούτου δι' ἐμοῦ τοῦ αὐτοῦ θεράποντος, ὁ θεὸς δεδουλω-
μένας ἐλευθερώσει. καὶ εἰς ἐντελῆ αἰωνίου φωτὸς ἐξάξει λαμ-
πρότητα. ἀπὸ τούτων τοιγαροῦν ἐγὼ ἀδελφοὶ ποθεινότατοι,
οἰκειοτέρᾳ τινὶ προνοίᾳ, καὶ ἐνδόξοις εὐεργεσίαις, τοῦ ἡμετέρου
καὶ ἀθανάτου θεοῦ, τὸ λοιπὸν ἐπισημότερος εἶναι τῇ πρὸς αὐτὸν
καθαρωτάτῃ πίστει πέποιθα. δεξάσθω τοιγαροῦν με ἡ ἁγιωτάτη
σύνοδος τῆς ὑμετέρας ἁγιότητος. καὶ μή μοι τὴν σωφρονεστά-
την ἐκκλησίαν, καὶ τῆς ἁγνῆς κοινῆς τε πάντων ἡμῶν μητρὸς τὰς
θύρας ἀντιτεθῆναι ἀνάσχησθε. εἰ καὶ τὰ μάλιστα καὶ νῦν ὁ λο-
γισμὸς τῆς ἐμῆς ψυχῆς ἐντελῆ τὴν καθαρότητα τῆς καθο-
λικῆς πίστεως ἐπιζητοῦντος, τοῦτο ἑαυτῷ γενέσθαι, οὐκ οἴεται εἶναι
ἄξιον. ὅμως προστρέχει, καὶ ὑπομιμνήσκει. καὶ τὸ μέτωπον τῆς
οἰκείας αἰδοῦς, πασῶν τῶν καλλίστων ἀρετῶν ἐξενήνοχε σφρα-
γῖδα. καὶ τῶν πυλῶν τῆς ἀθανασίας ἤρξατο ἅπτεσθαι. καὶ ταύτας
κρούειν. ὅπως καὶ ὑμεῖς τῆς ὑμετέρας ἀδελφότητος εὐθὺς συγ-
χωρῆσαι τὴν εὔνοιαν καταξιώσητε, εἰς μίαν ὁμόνοιαν καὶ
εἰρήνην τῆς καθολικῆς ἐκκλησίας πίστεως βλέψαντες, τοῦτο
γὰρ τῷ θεῷ πρεπῶδες, καὶ τῇ τῆς καθολικῆς ἐκκλησίας πί-
στει ἁρμόδιον. καὶ τῷ κοινῷ τῶν πραγμάτων συμφέρον. ἵνα τῆς
θεόθεν ἡμῖν παρασχεθείσης ἐντιμοτάτης εἰρήνης, ἀξίαν ἀμ-
οιβὴν τῷ ταύτην ἡμῖν χαρισαμένῳ, κοινῶς ἅπαντες προσε-
νέγκωμεν. δεινὸν γὰρ ὡς ἀληθῶς ἂν εἴη, καὶ ἄγαν δεινόν,
καταλυθέντων τῶν πολέμων, καὶ μηδὲν ἀντιτείνειν ἔτι τολμώντων,
βάλλειν ἡμᾶς ἀλλήλους. καὶ τοῖς δυσμενέσιν ἡδονὴν καὶ γέλωτα
προξενεῖν. ἄλλως τε δὲ περὶ θείων διαλεγομένους πραγμάτων, καὶ τοῦ
παναγίου πνεύματος τὴν διδασκαλίαν, ἀναγεγραμμένην ἔχοντας. εὐαγγε-
λικαὶ γὰρ βίβλοι καὶ ἀποστολικαί, καὶ τῶν παλαιῶν προφητῶν τὰ
θεσπίσματα, σαφῶς ἡμᾶς ἃ χρὴ περὶ τοῦ θείου φρονεῖν ἐκ-
παιδεύουσι. τὴν πολεμοποιὸν οὖν ἀπελάσαντες ἔριν, ἐκ τῶν θεο-
πνεύστων λόγων, λάβωμεν τῶν ζητουμένων τὴν λύσιν. Ταῦτα καὶ τὰ τού-
τοις παραπλήσια, ὁ πάνσοφος βασιλεὺς οἷα δὴ παῖς φιλοπάτωρ

τοῖς ἱερεῦσιν

τοῖς ἱερεῦσιν ὡς πρᾶσι προσέφερε· τῶν ἀποστολικῶν δογμάτων τὴν
συμφωνίαν πραγματευόμενος· τῆς δὲ συνόδου τῶν συνελθόντων ἐπὶ
τὸ αὐτὸ ἐπισκόπων, τριακόσιοι δὲ ἦσαν δέκα καὶ ὀκτώ· ἀλλ'
οἱ μὲν τριακόσιοι καὶ πρὸς τοῖς λεγομένοις ἐπείθοντο· καὶ τὴν
τε τῶν δογμάτων ὑγίειαν, ἠσπάζοντο· οἱ δὲ λοιποὶ καθὼς πάλαι
εἰρήκαμεν, τοῖς ἀποστολικοῖς ἀντεμάχοντο δόγμασιν· οἵτινες
τὴν τοῦ ἀρείου δόξαν μεγαλοφυῶς συγκροτεῖν ἐσπούδαζον, δέκα
καὶ ἑπτὰ τὸν ἀριθμὸν ὄντες· εὐσέβιός τε ὁ νικομηδείας ὡς καὶ
πρόσθεν εἴρηται, θέογνις ὁ τῆς νικαίας· μάρις χαλκηδό-
νος· θεόδωρος ἡρακλείας θρᾴκης, μηνόφαντος ἐφέσου· πατρό-
φιλος σκυθοπόλεως· νάρκισσος, νερωνιάδος, κιλικίας δευτέρας.
ἣν νῦν, εἰρηνούπολιν ὀνομάζομεν· θεωνᾶς ὁ μαρμαρίτης· σεκοῦνδος,
πτολεμαΐδος αἰγύπτου· καὶ σὺν αὐτοῖς ἕτεροι ὀκτώ· οἵτινες ἑαυ-
τούς, τοῦ τῶν τριακοσίων ἁγίων χοροῦ ἐκτρίψαντες ὡς δῆθεν ὀρ-
θόδοξοι, τοῖς ἀποστολικοῖς ἀντέπραττον δόγμασιν, ἀρείῳ συμ-
φρονοῦντες· τούτοις γενναίως ἀνταγωνίζοντο, οἱ ἐν ἁγίοις πατέρες
ἡμῶν· ἀλέξανδρος ὁ κωνσταντινουπόλεως, τότε πρεσβύτερος ὤν.
καὶ ἀθανάσιος ἀρχιδιάκονος, τῆς ἀλεξανδρέων ἐκκλησίας· διὸ
καὶ φθόνος ὡπλίσατο κατ' αὐτῶν, ὡς ὕστερον λέξομεν· οἱ δὲ ἡμέτεροι
ἅγιοι ἐπίσκοποι, καλοῦσι τὸν ἄρειον εἰς τὴν σύνοδον· ἐπιτρέ-
ποντες αὐτῷ συνεῖναι τοῖς ἰδίοις δόγμασι, νεύματι τοῦ τὰ πάντα
νικηφόρου βασιλέως· ἐπεί περ ὡς ἀρτίως εἰρήκαμεν, καὶ αὐτὸς
τῇ συνόδῳ συνήδρευεν.

ὅπου τοὺς λιβέλλους τῶν ἐπισκόπων, ὁ βασιλεὺς δέχεται.

Ἀλλὰ τὸ κατὰ τὴν σύνοδον γενόμενον θαυμαστόν, παρὰ τοῦ τὰ πάντα νι-
κηφόρου βασιλέως, οὐκ ἄξιον σιωπῇ παραπέμψασθαι· καὶ γὰρ ἔπισω,
ἀχθέντων πάντων τῶν ἐπισκόπων, καὶ καθὼς ἔθος ἐστί, γινομένων ζητήσεων
τε, καὶ συγκρίσεων παρὰ τινῶν τῶν ἐπισκόπων ἐρεσχελίας ἕνεκα, ἀλλ' οὐ
πρὸς ἄλλον ἔχοντος, λιβέλλων τε ἐπιδιδομένων ὑπ' αὐτῶν, καὶ ἐγκλημάτων
συγκροτουμένων παρὰ τῷ εὐσεβεῖ βασιλεῖ, δεξάμενος τοὺς λιβέλλους,
σφραγίσας τε τῷ δακτυλίῳ αὐτοῦ, ἐκέλευσε φυλάττεσθαι· ἐνορῶν
* τε τῶν τοιούτων ἐπισκόπων τὴν πρὸς ἀλλήλους ζυγομαχίαν, εἶπεν. δε
ὅτι χρὴ πάντας ὑμᾶς ἐν μιᾷ ἡμέρᾳ συνελθόντας, περὶ τούτων δια-
λαβεῖν, καὶ ἐνστάσης τῆς προθεσμίας, εἰς μέσον καθίσας ὁ βασιλεύς,
καὶ ἡσυχίας γενομένης τοῦ καιροῦ προσπεσούσης, πάντων τοὺς λιβέλλους

προσέταξεν ἐνεχθῆναι. καὶ δεξάμενος, καὶ ἐν τῷ οἰκείῳ κόλπῳ
θέμενος, μήτ᾽ ἐγκύψαι τοῖς ἐμφερομένοις ἐθελήσας, λέγει. τοῦ θεοῦ
ὑμᾶς προχειρισαμένου ἱερεῖς τε, καὶ ἄρχοντας, κρίνειν τε καὶ διακρί-
νειν τὰ πλήθη, καὶ θεοὺς εἶναι, ἅτε δὴ αὐτῶν ἁπάντων ὑπερέχοντας,
ὁρισάμενος *ὁρισαμένου κατὰ τὸ εἰρημένον, ἐγὼ εἶπα θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάν-
τες. καὶ τό, ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν. χρὴ τῶν μὲν κοινῶν δη-
μοσίων πραγμάτων. πᾶσαν δὲ τὴν σπουδήν, περὶ τὰ θεῖα ποιεῖσθαι.
καὶ κελεύσας ἐνεχθῆναι πῦρ, τοὺς λιβέλλους ἐμπρησθῆναι προσέ-
ταξεν. ἐσπούδαζε γὰρ μηδένα τῶν ἔξω ἐπιγνῶναι, τῶν τοιούτων
ἐπισκόπων τὴν ἀνώμαλον ἐπιχείρησιν. τοσαύτη τοῦ βασιλέως περὶ
τοὺς ἱερεῖς τοῦ θεοῦ εὐλάβεια. ἣν θαυμάσειεν ἅπαντες οἱ εὖ φρο-
νοῦντες. κἀκεῖνο δὲ ὁμοιότερον τούτῳ ὑπ᾽ αὐτοῦ γεγενημένον,
οὐ δίκαιον ἡγοῦμαι παραδοῦναι σιγῇ. φιλαπεχθήμονες γάρ ἄνδρες,
καὶ φιλολοίδοροι λαϊκοί, ἐγγράφους τῶν ἐπισκόπων τινάς. καὶ τῷ
βασιλεῖ τὰς ἐγγράφους κατηγορίας ἐπέδοσαν. καὶ ταῦτα πρὸ
τῆς γεγενημένης ὁμονοίας. ὁ δὲ καὶ ταύτας δεξάμενος, φυλαχθῆ-
ναι καὶ ταύτας ἐκέλευσεν. εἶτα τὴν σύμβασιν τῆς ὁμονοίας ἐξερ-
γασάμενος, ταύτας προκομισθῆναι προστάξας, παρόντων ἁπάντων
ἐπισκόπων, πυρὶ καὶ ταύτας κατέκαυσεν ὁμωμοκὼς μηδὲν τῶν
ἐγγεγραμμένων ἀνεγνωκέναι. οὐ γὰρ ἔφη χρῆναι τῶν ἱερέων τὰ
πλημμελήματα, δῆλα τοῖς πολλοῖς γίνεσθαι. ἵνα μὴ σκανδάλου πρό-
φασιν ἐντεῦθεν λαμβάνοντες, ἀδεῶς ἁμαρτάνωσι. φασὶ δὲ αὐ-
τὸν καὶ τοῦτο προσθεῖναι. ὡς εἰ αὐτόπτης ἐπισκόπῳ ἐγεγόνει,
γάμον ἀλλότριον διορύττοντος, συγκαλύψαι ἂν τῇ πορφυρίδι, τὸ
παρανόμως γινόμενον. ὡς ἂν μὴ βλάψαι τοὺς θεωμένους, τῶν δρω-
μένων ἡ ὄψις. τοσαύτη ἡ τοῦ βασιλέως θεοφιλής, καὶ ἀξιάγαστος σύνεσις:
ἐπὶ πολλὰς δὲ ἡμέρας, οὐ μὴν δὲ ἀλλὰ καὶ καιροὺς ἐφεξῆς συνερ-
χόμενος τοῖς ἐπισκόποις ὁ βασιλεύς, ἅμα αὐτοῖς τὰ περὶ τῆς πί-
στεως διελάμβανε. τάς, τε διαφόρους αὐτῶν γνώμας ἀνελέγετο.
ἦσαν γὰρ καθὼς πολλάκις εἰρήκαμεν ἐν αὐτοῖς, τινὲς τοῖς
ἀθεμίτοις ἀρείου δόγμασι συμφερόμενοι. καὶ τῷ πλήθει τῶν
ἁγίων ἐπισκόπων τῶν τῆς ἀληθείας ὑπερμαχούντων ἀντιπαράττοντες.
ἀλλ᾽ οἱ ἄριστοι, καὶ τὰ πάντα ἱερώτατοι πατέρες ἡμῶν, τῷ τῆς
ἀληθείας ὅπλῳ ἠσφαλισμένοι, τὴν λαμπρὰν καὶ ἀκήρατον
πίστιν μετὰ παρρησίας ἐκήρυττον. μεθ᾽ ὧν ἦν καὶ ὁμολογητῶν

πολὺς

πολὺς ἀριθμός, ἀνθισταμένων τοῖς ἐθέλουσι περιποιεῖσθαι, τὰ μοχθηρὰ τοῦ ἀρείου δόγματα.

περὶ τοῦ ἁγίου παφνουτίου.

Ἦν δὲ ἐν αὐτοῖς, καὶ ὁ μέγας καὶ ἅγιος παφνούτιος, τὸν τῶν ὁμολογητῶν καὶ ἐπισκόπων κατακοσμῶν χορόν. ἀνὴρ αἰγύπτιος. θεοῦ δὲ ἄνθρωπος, ἐκ τῆς [illegible] ἐκείνης. οὗ μαξιμῖνος ὁ βασιλεὺς τὸν δεξιὸν ἐξώρυξεν ὀφθαλμόν, καὶ τὰς λαιὰς ἐνευροκόπησεν ἀγκύλας. παραδοὺς τοῖς μετάλλοις συνέχεσθαι. ἐν ᾧ τοσαύτη ἦν ἡ τοῦ θεοῦ χάρις, ὥστε σημεῖα αὐτὸν ποιεῖν. μηδὲν ἐλάττω τῶν πάλαι ὑπὸ τῶν ἀποστόλων γεγενημένων. λόγῳ γὰρ μόνῳ τοὺς δαίμονας ἐφυγάδευε. καὶ εὐχῇ, διαφόρους ἀσθενοῦντας ἐθεράπευε. τυφλοῖς τε τὸ βλέπειν τὸν θεὸν ἐξαιτούμενος παρείχετο. καὶ παρεθέντας, πρὸς τὴν κατὰ φύσιν ἦγεν ἀκμήν, τὰ μέλη ἐνεργεῖν ποιῶν ὑγιῶς. ὃν ὁ βασιλεὺς σφόδρα διὰ τιμῆς ἦγε. συνεχῶς τε ἐπὶ τὰ βασίλεια μετεπέμπετο, καὶ τὸν ἐξορυγμὸν κατεφίλει. τοσαύτη προσῆν τῷ εὐσεβεῖ βασιλεῖ, πρὸς τοὺς ἁγίους πίστις.

περὶ τοῦ ἁγίου σπυρίδωνος.

Καὶ δὴ καὶ σπυρίδων κύπριός τις ἀνὴρ ἐπίσημος ἐν χριστῷ, καὶ τὴν ἐκ παιδὸς ποιμενικὴν πεῖραν τῇ τοῦ χριστοῦ ποίμνῃ καθιερωμένος, προφητικῷ βίῳ διαγινόμενος ἐγνωρίζετο. ὃς καί γε λαβὼν τὴν ἐπισκοπὴν τοῦ ποιμαίνειν εἰς τὰ ἴδια πρόβατα οὐκ ἐπαύετο. οὕτω δὲ ἦν χρηστὸς καὶ ἀνεξίκακος, ὅτι λῃστῶν ἐφόδου δόλῳ προσβαλλόντων τῇ ποίμνῃ, ἀοράτοις τε δεσμοῖς κρατουμένων, κινηθῆναί τε μὴ δυναμένων ἕως πρωΐ, ἐπιστὰς ὁ μακάριος, δι' εὐχῆς ἀνεθῆναι αὐτοὺς τῆς συνοχῆς ποιεῖ. οὐ μήν, ἀλλὰ καὶ τῶν κριῶν τὸν κράτιστον ἀποιχομένοις δίδωσιν. εἰπὼν λάβετε ὦ νεανίσκοι, πρὸς ἀπόχρησιν τοῦτον. μὴ ἄπρακτοι ἀπιόντες, τῇ νυκτὶ ταύτῃ, δι' ἣν τὴν αἰτίαν τῆς ἀπορίας καταμέμψησθε. πολλὰ μὲν καὶ ἄλλα θαύματα, περὶ τούτου τοῦ ἁγίου ἀκηκόαμεν. ἓν δὲ ἐκ πολλῶν παραθήσομεν.

ὅπου τὴν θυγατέρα τεθνεῶσαν ἠρώτα, διὰ τὸν ἔμπορον.

Θυγατέρα ἔσχεν ὁ μακάριος καὶ ἀοίδιμος οὗτος τοῦ θεοῦ ἄνθρωπος. εἰρήνην τοὔνομα. ἣ τῷ γεγεννηκότι προσφόρως διακονήσασα, ἐν παρθενίᾳ τὸν ἀγνὸν βίον ὑπεξέρχεται. ταύτης μετὰ θάνατον ἐξ ἀποδημίας τις ἀναστὰς ἔμπορος, παραθήκην ἀπῄτει τὸν τεθέντα, ἣν τῇ αὐτοῦ θυγατρὶ τῇ παρθένῳ ἦν παραθέμενος. ὁ δὲ μακάριος σπυρίδων, ἠγνόησε παντελῶς τὴν ὑπόθεσιν.

ὡς δὲ πολὺς ἦν ἐπικείμενος αὐτῷ ὁ ἄνθρωπος, πολλὰ ἄνω καὶ κάτω
τὸν οἶκον διερευνήσας ὁ γέρων καὶ μὴ εὑρών, ἠνιᾶτο σφόδρα. καὶ
πρὸς τὸν ἄνδρα ἔλεγε, μήτε εἰδέναι, μήτε εἶναί τι ἐν τῷ οἴκῳ.
ὁ δὲ ἔμπορος ἐκβοῶν, δάκρυσί τε συνεχόμενος, καὶ ὀλοφυρόμε-
νος, ἤτοι τὴν παρακαταθήκην. λέγων* αὐτὸν διαχειρίσασθαι τῆς
ἀπωλείας χάριν, εἰ μὴ λάβοι τὰ παρακατατεθέντα. φάσκων,
ἕνεκα γήρως αὐτῷ ταύτην τὴν παραμυθίαν πεφυλάχθαι παρ'
αὐτῇ τῇ παρθένῳ παραθέμενος. ἀναγκάζεται τοίνυν ὁ γέρων
ὁ ἅγιος ἐκεῖνος, ἐπὶ μνῆμα τῆς θυγατρὸς ἅμα τῷ ἐμπόρῳ
ὁρμῆσαι, πρὸς πεῦσιν τοῦ πράγματος. ὁ δέ, ἐλθών, καλεῖ τὴν
θυγατέρα ἐξ ὀνόματος. καὶ φησὶ πρὸς αὐτήν. τέκνον μου εἰ-
ρήνη; ἡ δὲ ἀποκριθεῖσα ἀπὸ τοῦ τάφου, λέγει πρὸς αὐτόν, τί
θέλεις ὦ πάτερ. ὁ δὲ γέρων πρὸς αὐτήν, ποῦ ἀπέθου τὴν τοῦ δε-
τοῦ ἀνθρώπου παραθήκην ὦ θύγατερ. κἀκείνη πρὸς αὐτὸν ἔφη, ἐν
τῷ δε κεῖται τῷ τόπῳ πάτερ. ὁ δὲ πρὸς αὐτήν, πορεύου ἐν εἰρήνῃ,
τέκνον μου εἰρήνη. ὁ οὖν γέρων ἐπιστρέψας οἴκοι, καὶ εὑρὼν
ὅπερ εἶπεν ἡ παρθένος κεῖσθαι τὴν παραθήκην, ἀπέδωκε τῷ
ἀνδρί. πολλὰ δὲ καὶ ἄλλα τοῦ ἀνδρὸς ᾄδονται θαύματα, καὶ πα-
ραδοξοποιΐαι πολλαί. αἳ καὶ μέχρι δεῦρο πρὸς τῶν ἐγχωρίων δεί-
κνυνται τοῖς ἐφισταμένοις, πρὸς πληροφορίαν τῆς ἀληθοῦς ἡμῶν
εἰς Χριστὸν πίστεως. τοιούτοις τοιγαροῦν μέχρι τῶν καιρῶν ἐκείνων
ἁγίοις ἀνδράσιν, ἡ ἐκκλησία διέπρεπεν. ἐξ ὧν πολλοὶ πα-
ρῆσαν, κατὰ τὴν ἐν Νικαίᾳ σύνοδον. ἀλλὰ μὴν καὶ Ἀθανάσιος,
περὶ οὗ καὶ πρώην εἰρήκαμεν, τηνικάδε διάκονος ὤν. οὐκ ἄμ-
οιρος τοῦ τῶν ἀρίστων ἔχειν χορῷ, εἶναι ὑπὸ πάντων ὡμολόγητο.
συνὼν δὲ Ἀλεξάνδρῳ τῷ τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπισκό-
πῳ, βοηθὸς ἄριστος ὑπάρχων αὐτῷ. ἀνεκίνουν γοῦν ὁσημέραι οἱ
ἡμέτεροι ἅγιοι ἐπίσκοποι, ἐπὶ πλεῖστον ὅσον χρόνον. πάμπολλα
περὶ τῆς πίστεως. οἰόμενοι δεῖν, μηδὲν εὐχερὲς ἢ τολμηρόν, περὶ
τηλικαύτης ζητήσεως διαπράττεσθαι. συχνῶς τε τὸν Ἄρειον μετ-
επέμποντο. καὶ πυκνῇ ἀνακρίσει, τὰς προτάσεις αὐτοῦ ἀναπ-
τύσσοντες, διέλυον. πλείστη τε ὅση σπουδὴ καὶ φροντὶς ἦν αὐτοῖς,
πῶς ἐχρῆν πρὸς τὴν ἀνατροπὴν τῶν ἀθέσμων αὐτοῦ δογμάτων,
ψηφίσασθαι καὶ ἀνθορίσασθαι. μετὰ πολλῆς οὖν τῆς σκέψεως, καὶ

τῆς πρὸς

*αὐτὸν διαχειρίσεσθαι

τῆς περὶ τοῦ θεοῦ εὐσεβείας, ταῦτα διελάμβανον. διὸ καὶ σφόδρα
σαφῶς, καὶ λίαν ἁρμοδίως, τοὺς κατὰ τῶν ἀθεμίτων δογμάτων ἀρείου
καὶ τῶν σὺν αὐτῷ, ἐλέγχους ἀντέθηκαν. πρόρριζον ἀνασπάσαν-
τες, τὰς κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ παρ᾽ αὐτῶν βλασφημίας. καὶ
ἐξαφανίσαντες. καὶ τῷ μὲν οὐκ ἐκ τοῦ θεοῦ λέγειν ἐκείνους τὸν
υἱὸν αὐτοῦ,* ἀνέθηκαν οἱ ἡμέτεροι, τό, θεὸν ἐκ θεοῦ. καὶ τὸ μὴ ἀλη- *ἀντέθηκαν*
θινὸν κατ᾽ ἐκείνους, ἐνέγραψαν οἱ ἡμέτεροι, θεὸν ἀληθινὸν ἐκ
θεοῦ ἀληθινοῦ. καὶ τό, κτίσμα αὐτὸν λέγειν ἐκείνους, ἀνθωρί-
σαντο οἱ ἡμέτεροι, γεννηθέντα οὐ ποιηθέντα. καὶ τῷ ἑτερουσίῳ
ὑπ᾽ ἐκείνων προβαλλομένῳ, ἀντέθηκαν οἱ ἡμέτεροι ἐπίσκοποι,
τὸ ὁμοούσιον εἶναι τὸν υἱὸν τῷ πατρί. τουτέστι, γεννηθέντα ἐκ
τῆς οὐσίας τοῦ πατρός. κτίστην, τε αὐτὸν καὶ δημιουργόν, ὁρατῶν, τε
καὶ ἀοράτων ἐκήρυξαν, κατὰ τὴν ἄνωθεν παραδοθεῖσαν τῇ
ἐκκλησίᾳ αὐτοῦ ἀποστολικὴν πίστιν. γραφικαῖς μαρτυρίαις,
τὰς ἀποδείξεις ἐκθέσαντες. καθὼς πρότερον, ὁ λόγος ἀποδέδει-
χεν. ταύτῃ τῇ ἀντιδότῳ, τὰ θανάσιμα φάρμακα ἀνατρέψα-
ντες ἄρδην. τρανοτέραν ἐντεῦθεν ἤδη λοιπὸν τὴν ἀποστολικὴν
συμφώνως, ἐγγράφονται πίστιν.

## περὶ τοῦ δεῖν, τρεῖς ὑποστάσεις νοεῖν, καὶ πιστεύειν ἀχωρίστως, ἐπὶ τῆς ἀρχῆς τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, μιᾶς θεότητος.

Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος τῶν ἐν νικαίᾳ συναχ-
θέντων ἁγίων πατέρων ἡμῶν, διὰ τοῦ μακαρίου καὶ ἁγίου ἐπισκόπου
ὁσίου πόλεως κουρδούβης τῆς τῶν σπανῶν ἐπαρχίας, ἐπέχοντος
καὶ τὸν τόπον, τοῦ τῆς ῥώμης ἐπισκόπου, σὺν τοῖς ἐκ τοῦ αὐτοῦ
θρόνου προαναφωνηθεῖσι πρεσβυτέροις, ἑρμηνεύοντος αὐτὸν
ἑτέρου εἶπεν· ἡ θεότης, οὐχ ἓν πρόσωπόν ἐστι κατὰ τὴν τῶν
ἰουδαίων ὑπόληψιν. ἀλλὰ τρία πρόσωπα, καθ᾽ ὑπόστασιν ἀληθινήν.
οὐκ ὀνόματι ψιλῷ. καὶ τοῦτο μαρτυρίαις πολλαῖς, ἀπό τε παλαι-
ᾶς καὶ νέας διαθήκης κηρύττεται. ἡ μὲν παλαιά, κατὰ τὸν
σωματικώτερον ἔτι τρόπον διαλεγομένη, λόγον ὡς λαλούμενον
παρέστησεν. ἡ δὲ καινή, τὸν λόγον, θεὸν ἀπέδειξε. κατὰ τὸ ἐν
ἀρχῇ, ἦν ὁ λόγος. καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος.
καὶ πρόσωπον τέλειον, ἐκ τελείου θεοῦ. γὰρ οὐ μέρος ὁ υἱός, ἀλλὰ
τέλειος, ὥσπερ ὁ πατήρ. τῆς αὐτῆς οὐσίας ὤν, ἧς καὶ ὁ γεννήσας

αὐτοῦ ἀφράστως πρς· συνυπάρχει δὲ ὡσαύτως τῷ πρὶ, καὶ τῷ υἱῷ, τὸ ἅγιον πνα· τῆς αὐτῆς οὐσίας, καὶ τοῦ αὐτοῦ χρήματος ὂν οὗπερ ὁ πὴρ, καὶ ὁ υἱός. μίαν τοίνυν θέλησιν· μίαν βασιλείαν, μίαν αὐθεντίαν, μίαν δεσποτείαν ἐπὶ πάντων τῶν κτιστῶν φύσεων, ὁρωμένων τε καὶ νοουμένων· μίαν θεότητα, καὶ τὴν αὐτὴν οὐσίαν ὁμολογητέον πρὸς ἡμῶν, τοῦ πρς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνς· ἀσύγχυτον· ἢ διαίρετον, τῶν τῆς ἀρρήτου ἐκείνης καὶ μακαρίας τριάδος ὑποστάσεων κηρυττόντων ἡμῶν· ἀλλὰ πρα ἀεὶ ἀληθῶς πρα ἀληθινοῦ υἱοῦ, ἀεὶ ὄντα, καὶ ὑφεστῶτα· καὶ πνα ἅγιον ἀληθῶς· πνα ἅγιον ἀεὶ ὄν, καὶ ὑφεστός· τριάδα ἀχώριστον· ἄρρητον, καὶ ἀληθῶς ἀπερινόητον, καὶ ἀνέκφραστον. μίαν θεότητα, καὶ τὴν αὐτὴν οὐσίαν ταύτης εἶναι πιστεύοντες· καὶ ταύτην ὁμολογοῦμεν, κατὰ τὴν ἄνωθεν παρὰ τοῦ κυ διὰ τῶν ἱερῶν αὐτοῦ ἀποστόλων, καὶ τῶν τὴν ἐκείνων ἁγίαν πίστιν φυλαξάντων ἀσπίλως· ἀρχαίων ἁγίων ἡμῶν πρων παραδοθεῖσαν ἡμῖν τῆς αὐτῆς πίστεως, ἀληθῆ δογμάτων ἀκρίβειαν· ἑτοίμως ἐχόντων ἡμῶν σὺν εὐλογίᾳ τοῦ ἁγίου πνς, διὰ πλείστων ὅσων μαρτυριῶν, τῶν ἐκ τῶν θείων γραφῶν δεῖξαι ταῦτα οὕτως ἔχειν. τῶν παρ' αὐτῶν, μᾶλλον δὲ δι' αὐτῶν ὑπὸ τοῦ ἁγίου πνς ἐκφωνουμένων, οἱ τῆς ἀσεβείας ἀρείου ἀντιποιούμενοι, ὑπεγόγγυζον λίαν τριζόμενοι· ἦσαν δὲ οἱ περὶ εὐσέβιον τὸν νικομηδείας, καὶ θεόγνιν τὸν τῆς νικαίας, οὓς ἔμπροσθεν ἤδη ἐδηλώσαμεν. ἀπέβλεπον δὲ ὅμως, εἰς τοὺς μισθωτοὺς ἀρείου φιλοσόφους, τινὰς λογίους ὑπάρξαντας. οὓς συνηγόρους τῆς οἰκείας μοχθηρίας μισθωσάμενος ἄρειος, σὺν αὐτοῖς ἦκεν εἰς τὴν ἁγίαν ἐκείνην καὶ οἰκουμενικὴν σύνοδον. παρῆσαν γὰρ πλεῖστοι ὅσοι φιλόσοφοι· εἰς οὓς ἠλπικότες ὡς ἀρτίως εἰρήκαμεν οἱ τῆς ἀληθείας πολέμιοι, εἰκότως ἑάλωνται, μετὰ τοῦ, καὶ τῆς βλασφημίας αὐτῶν διδασκάλου, πληρουμένης ἐπ' αὐτῷ καὶ αὐτῶν, τῆς ἱερᾶς γραφῆς. λεγούσης, ἐπικατάρατος πᾶς ἄνος, ὃς ἔχει τὴν ἐλπίδα αὐτοῦ ἐπ' ἄνον. καὶ ἀπὸ κυ ἀπέστη ἡ καρδία αὐτοῦ· ἀπέστη γὰρ ὄντως ἀπὸ τοῦ κυ, ἡ βλάσφημος καρδία τοῦ θεομάχου ἀρείου, καὶ τῶν κοινωνῶν τῆς ἀσεβείας αὐτοῦ. κτίσμα καὶ ποίημα τολμησάντων λέγειν τὸν υἱὸν τοῦ θυ· τὸν πάντων κτίστην καὶ δημιουργόν, ἀοράτων, καὶ ὁρατῶν, κτιστῶν φύσεων. ~

ὅπου εἰς

ὅπου εἷς τῶν φιλοσόφων ἀρείου, κατὰ τῆς ἁγίας ἐκείνης τῶν ἀποστολικῶν τοῦ θεοῦ ἱερέων συνόδου, πλεῖστα ὅσα ἀποφθέγγεται:

Εἷς δέ τις τῶν μετὰ τοῦ ἀρείου φιλόσοφος, λίαν παρὰ πάντας τοὺς ἄλλους θαυμαζόμενος, πολλὰ καὶ παμπολλὰ ὑπὲρ ἀρείου τοῖς ἐπισκόποις τοῖς ἡμετέροις διετείνετο ἐπὶ πλείστας ὅσας ἡμέρας· ὥστε γίνεσθαι ἐφ' ἑκάστης ἐκ τῆς διὰ τῶν λόγων συμβολῆς, μεγάλην ἀκρόασιν τοῦ πλήθους τῶν συνερχομένων ἐπισυρρέοντος. τοῦ δὲ φιλοσόφου κατὰ τῶν παρὰ τῆς ἁγίας συνόδου λεγομένων, τὰς ἀσεβεῖς ἀρείου βλασφημίας προβαλλομένου, λέγοντος περὶ τοῦ υἱοῦ τοῦ θεοῦ· τὸ ἦν ποτε ὅτε οὐκ ἦν. καὶ ὅτι κτίσμα καὶ ποίημα ἐξ οὐκ ὄντων. καὶ ἐξ ἑτέρας οὐσίας, καὶ ὑποστάσεώς ἐστι. καὶ ὑπὲρ τούτων τῶν μιαρῶν δογμάτων ἀρείου, πολὺς ἦν αὐτῷ ὁ ἀγών, καὶ αἱ τῶν λόγων νιφάδες, λυττῶντος αὐτοῦ κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ· καὶ κατατρέχοντος τοῦ τῶν ἁγίων ἱερέων ἐκείνων χοροῦ. λαλοῦντος ἐν αὐτῷ καὶ δι' αὐτοῦ, τοῦ τῆς τῶν ἁγίων σωτηρίας ἐχθροῦ. οἱ δὲ τῆς ἀληθείας ὑπέρμαχοι, οἱ ἡμέτεροι ἐπίσκοποι τὰς ὀφειλομένας καὶ πρεπούσας ὑπὲρ τῶν ἀποστολικῶν δογμάτων ἀντιθέσεις, ἀταράχως τῷ φιλοσόφῳ προσέφερον. τὸν μέγαν προφήτην δαβὶδ μεμνημένοι λέγοντα· ἑτοιμάσθην, καὶ οὐκ ἐταράχθην· πάσας γὰρ τὰς τοῦ φιλοσόφου πολυπλόκους προτάσεις, ὡς πυρὶ τῷ θείῳ λόγῳ· στιππύου δίκην κατανήλισκον. ἀλλὰ καὶ οὗτος ὁ φιλόσοφος, τῇ τῶν λόγων διαβολικῇ εὐτελείᾳ θαρρῶν, τὴν διὰ τῶν ἐπισκόπων ἀλήθειαν κηρυττομένην, ἀντιτοξεύειν ἐνίστατο. εὖ μάλα ῥᾷστα πᾶσι τοῖς ἐπαγομένοις αὐτῷ ὡς ᾤετο προσφερόμενος, ἐπιλύειν τε ἐβιάζετο τὰ κινούμενα, δίκην ἐγχέλυος· ἐν οἷς γὰρ ἐδόκει ἑαυτῷ συνίστασθαι διολισθαίνων, τῶν ἐπικρατεστέρων αὐτοῦ προσφερομένων νοημάτων, ἐκ τῶν οἰκείων ῥημάτων ἁλισκόμενος συγκατέπιπτεν. ἀλλὰ καὶ οὗτος κορυβαντιῶν, ἀλαζονικῶς κατὰ τῆς εἰρηνικωτάτης συνόδου ἐφέρετο. ἐλπίζων νικᾶν, τῷ ἐν αὐτοῖς ἀντιλύτου πρὸς χριστοῦ, τὴν ἀκαταμάχητον δύναμιν. ἀλλ' ἵνα δείξῃ ὁ θεὸς ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν· ὅτι οὐκ ἐν λόγῳ ἡ βασιλεία αὐτοῦ, ἀλλ' ἐν δυνάμει συνίσταται, δι' ἑνὸς τῶν ἐκεῖσε δούλων αὐτοῦ, τὸν ἐν τῷ φιλοσόφῳ λαλοῦντα πονηρὸν δαίμονα, ἰσχυρῶς κατεσίγησεν· οὐ μόνον, ἀλλὰ καὶ ἐξέβαλεν· ἀνὴρ γάρ τις

ἐκ τῶν παρόντων τῇ συνόδῳ ἁγίων ὁμολογητῶν, ἁπλοῦς τὴν φύσιν εἴπερ τις ἄλλος τῶν ἁγίων, καὶ μηδὲν ἕτερον εἰδώς, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον σαρκὶ κατὰ τὰς γραφάς, συνὼν τοῖς ἐπισκόποις, καὶ ὁρῶν τὸν φιλόσοφον κατεπαιρόμενον τῶν ἡμετέρων ἁγίων ἐπισκόπων, καὶ τῇ μοχθηρᾷ αὐτοῦ συζητήσει κατηλαζονευόμενον, αἰτεῖ παρὰ τῶν ἐπισκόπων τῶν τοῦ θεοῦ ἱερέων, χώραν αὐτῷ συνομιλίας παρ' αὐτῶν, πρὸς τὸν φιλόσοφον δοθῆναι. τότε οἱ καθ' ἡμᾶς ἅγιοι ἐπίσκοποι θεωροῦντες, τοῦ ἀνδρὸς τὴν ἁπλότητα, καὶ τὸ ἄπειρον αὐτὸν εἶναι γραμμάτων, ἔπειθον μὴ δοῦναι ἑαυτὸν εἰς τὸ μέσον. μή ποτε παρὰ τοῖς μοχθηροῖς, καὶ τοῖς ἀληθείας ἐχθροῖς, γέλως γένηται. ὁ δέ, μὴ ἀναχόμενος, προσέρχεται τῷ φιλοσόφῳ. καὶ φησὶ πρὸς αὐτόν. ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ἀεὶ σὺν τῷ πατρὶ ὄντος θεοῦ λόγου, ἄκουσον τὰ τῆς ἀληθείας δόγματα ὦ φιλόσοφε. ὁ δὲ πρὸς αὐτόν, ἐὰν εἴπῃς; καὶ ὁ ἅγιος πρὸς αὐτόν. εἷς ἐστιν ὁ θεός φησιν, ὁ τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ τὰ ἐν αὐτοῖς πάντα δημιουργήσας. ὁ καὶ τὸν ἄνθρωπον ἐκ γῆς διαπλάσας. ὑποστήσατό τε τὰ πάντα τῷ λόγῳ αὐτοῦ. τοῦτον τὸν λόγον ὦ φιλόσοφε, θεοῦ υἱὸν ἡμεῖς εἰδότες, προσκυνοῦμεν. πιστεύοντες διὰ τὴν ἡμετέραν ἀπολύτρωσιν, ἐκ παρθένου αὐτὸν σεσαρκῶσθαι. καὶ τετέχθαι. καὶ ἐνανθρωπηκέναι. καὶ διὰ τοῦ τῆς σαρκὸς αὐτοῦ πάθους τοῦ ἐν τῷ σταυρῷ, καὶ τοῦ θανάτου, ἐλευθερωκέναι αὐτὸν ἡμᾶς, ἐκ τῆς αἰωνίου κατακρίσεως. διά τε τῆς ἀναστάσεως αὐτοῦ, καὶ ζωὴν ἡμῖν αἰώνιον περιποιεῖσθαι. ὃν καὶ εἰς οὐρανοὺς

ἔσται

ἀνελθόντα, ἐλπίζομεν πάλιν ἐλεύσεσθαι. κριτήν τε* περὶ πάντων, ὧν διεπραξάμεθα. πιστεύεις τούτοις ὦ φιλόσοφε; ὁ δὲ φιλόσοφος, ὡς ἂν μὴ δὲ πώποτε, πεῖραν λόγων εἰς ἀντίθεσιν ἐσχηκώς, ἀπηνεώθη. καὶ ὡς κωφὸς ἢ ἄλαλος, οὕτως ἀπεσιώπησε. τοῦτο μόνον ἐκβοῶν λίαν τῇ φωνῇ πρὸς αὐτὸν εἰρηκώς, ὅτι κἀμοὶ ταῦτα οὕτως ἔχειν δοκεῖ. μηδὲν ἕτερον εἶναι, ἢ πάντα καθὼς προείρηκας. ὁ δὲ γέρων, πρὸς αὐτὸν ἔφη. εἰ ταῦτα οὕτως ἔχειν πιστεύεις ὦ φιλόσοφε, ἀναστὰς ἀκολούθει μοι. καὶ ἐπὶ τὴν ἐκκλησίαν σπουδάσωμεν, ἐν ᾗ λήψῃ τὸ σημεῖον ταύτης τῆς πίστεως. ὁ δὲ φιλόσοφος μεταβαλὼν ὅλον ἑαυτὸν πρὸς τὴν ἀληθῆ εἰς τὸν τῶν ὅλων θεὸν εὐσέβειαν, ἀναστὰς

ἠκολούθει

ἠκολούθει τῷ γέροντι. καὶ ἐπιστραφεὶς λέγει τοῖς μαθηταῖς
αὐτοῦ, καὶ πᾶσι, τοῖς συνελθοῦσιν εἰς τὴν ἀκρόασιν· ἀκούσατέ
φησιν ὦ ἄνδρες. ἕως ὅτε λόγων ἐποιούμην ἀγῶνα, λόγους λόγοις
ἀντετίθουν. καὶ τὰ προσφερόμενα τέχνῃ τοῦ λέγειν ἀνέτρεπον.
ὅτε δὲ ἀντὶ λόγου δύναμίς τις θεία ἐκ στόματος τοῦ ζητοῦντος
προελήλυθεν, οὐκ ἴσχυσαν οἱ λόγοι λοιπὸν τῇ δυνάμει ἀντι-
τάξασθαι. οὔτε γὰρ ἄνθρωπος θεῷ οἷός τέ ἐστιν ἀντιστῆναι. διά-
τοι τοῦτο, εἴ τις ὑμῶν δύναται συνιέναι ὡς ἐγὼ νενόηκα,
πιστευέτω εἰς Χριστόν. καὶ ἀκολουθησάτω τούτῳ τῷ γέροντι, ἐν ᾧ
ἐλάλησεν ὁ θεός. τοῦτον τὸν τρόπον ἀναλαβὼν ὁ φιλόσοφος,
φωτισθεὶς καὶ γενόμενος Χριστιανός, ἔχαιρεν ἡττηθεὶς ὑπὸ
τοῦ γέροντος. τούτου δὲ τοῦ φιλοσόφου βαπτισθέντος, καὶ τῇ
τοῦ θεοῦ ἐκκλησίᾳ συναφθέντος, καὶ διαναπαυομένου, καὶ ἀγα-
λλιῶντος ἐπὶ τοῖς μεγαλείοις τοῦ θεοῦ. ἡ σύνοδος ἔχαιρεν.

ἀντίρρησις, ἑτέρου φιλοσόφου, τοὔνομα, φαίδωνος, ποιουμένου
καὶ αὐτοῦ τοὺς λόγους, ὑπὲρ τοῦ θεομάχου ἀρείου.
πρότασις τοῦ φιλοσόφου, πρὸς τὴν ἁγίαν σύνοδον,
εἰς τό: ποιήσωμεν ἄνθρωπον.

Καὶ εἶπεν ὁ θεός, ποιήσωμεν ἄνθρωπον, κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοί-
ωσιν. εἰ οὖν ὡς ἡ φωνὴ δηλοῖ, ἢ καὶ ὁ νοῦς ἐξαπατηθεὶς, ἀνθρωπόμο-
ρφον ἄν τις λέξοι τὸν θεόν. τὸν δὲ θεὸν ἴσμεν ἁπλοῦν, καὶ ἀσχημάτιστον.
τί οὖν βούλονται αἱ σημασίαι τῶν προσηγοριῶν τούτων, φατέ. μὴ ἄρα
ἀνθρωπόμορφον τὸ θεῖον:-

ἀπόκρισις τῶν ἁγίων πατέρων, διὰ εὐσταθίου ἐπισκόπου, ἀντιοχείας.

Οὐχ οὕτως ὦ φιλόσοφε, ἀλλ' ἢ τὸ εἰπεῖν τὸν θεόν ἀρχέτωσαν πάσης
τῆς γῆς. καὶ τό, κατακυριευσάτωσαν αὐτῆς, καὶ πάντων τῶν ἐν
αὐτῇ, τοῦτο τὸ κύριόν ἐστι, τοῦ ποιῆσαι τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ.
καὶ ἄρχειν αὐτὸν πάσης τῆς γῆς. ἐπείπερ ὡς ἄρχει ὁ θεὸς ἁπάσης τῆς
γῆς, καὶ τῶν ἐν αὐτῇ πάντων, οὕτω καὶ τὸν ἄνθρωπον, δεύτερον ἄρχοντα
πάσης τῆς γῆς, καὶ τῶν ἐν αὐτῇ κατέστησε. τοῦτο εἶναι τὸ, κατ'
εἰκόνα θεοῦ, καὶ καθ' ὁμοίωσιν γενέσθαι τὸν ἄνθρωπον φημί:-

ἔτι ἀνταπόκρισις, τῶν ἁγίων πατέρων, διὰ τοῦ αὐτοῦ ἐπισκόπου
εὐσταθίου, εἰς τὸ αὐτό.

Καὶ εἶπεν ὁ θεός, ποιήσωμεν ἄνθρωπον, κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοί-
ωσιν. ἀλλὰ πρὸς τίνα ἔφη, ζητήσωμεν φιλόσοφε. ἐν τῷ γὰρ εἰ-
πεῖν καὶ εἶπεν ὁ θεός ποιήσωμεν ἄνθρωπον, ἐπιφέρει λέγων. καὶ ἐποίη-
σεν ὁ θεὸς τὸν ἄνθρωπον. κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ἄρσεν καὶ

θῆλυ, ἐποίησεν αὐτούς. ἡ οὖν τοῦ, ποιήσωμεν σημασία, τὸ εἶναι πρόσωπον συνδιῃρημένον σημαίνει, καὶ συνισοπρόσωπον εἰσάγει. ὡς γὰρ θεὸς ὁ πατήρ ἐστιν ὁ εἰπὼν ποιήσωμεν ἄνθρωπον, οὕτω θεὸς ὁ υἱός, καὶ πρὸς ὃν τὸ ποιήσωμεν εἴρηκε. μιᾶς οὔσης, τῆς τῶν ἀμφοτέρων προσώπων θεότητος. τοῦ τε εἰπόντος ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, καὶ τοῦ ποιήσαντος τὸν ἄνθρωπον. τὸ γὰρ ποιήσωμεν, τὸ πανάγιον καὶ ἀπαράλλακτον, τῆς τοῦ πατρὸς καὶ υἱοῦ θεότητος, παρίστησιν ἡ φωνή. ἡ γὰρ τοῦ θεοῦ εἰκών, ἁπλῆ καὶ ἀσύνθετός ἐστι, πρὸς οὖσα τῇ φύσει:

ἀπόκρισις σύμφωνος, τῶν ἁγίων πατέρων.

Φως ἀπερινόητον καὶ ἄρρητος ἐστὶ φύσις, ἡ τῆς ἁγίας τριάδος οὐσία. αὕτη ἐστὶν ἡ διάνοια τοῦ ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν.

ἀντίρρησις τοῦ φιλοσόφου ὑπὲρ ἀρείου.

Πάλιν ἐρῶ, τὸ τὸν θεὸν ἁπλοῦν εἶναι καὶ ἀσχημάτιστον, καὶ ἀσώματον, πῶς οὖν ἄρα νοητέον τό, κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. καὶ τὸ μὴ προϋπάρχειν τὸν εἰπόντα, τοῦ πρὸς ὃν εἴρηκε, ποιήσωμεν ἄνθρωπον. καὶ τὰ ἑξῆς. φατὲ ἡμῖν σαφῆ τὴν περὶ τούτων ἀπόδειξιν εἰ δύνασθε.

οἱ ἅγιοι ἐπίσκοποι, διὰ ὁσίου ἐπισκόπου, πόλεως κορδούβης, ἑρμηνεύοντες αὐτὸν ἑτέρως εἶπον.

Ει προϋπῆρχεν ὡς σὺ φῂς τοῦ υἱοῦ ὁ πατήρ, καὶ μεταγενέστερος ὁ υἱὸς μετὰ χρόνους τινὰς κτισθεὶς ὑπὸ τοῦ θεοῦ, εἰς υἱὸν αὐτοῦ μετὰ ταῦτα ὑπ' αὐτοῦ τοῦ πατρὸς ἀναγορευθείη κατὰ φατὲ ἀσεβῶς βλασφημοῦντες, εἰς ποίησιν τῶν κτιστῶν φύσεων προχειρίσαι αὐτὸν ὑπ' αὐτοῦ, εἶπεν ἂν κατὰ τὴν ὑμετέραν ἀσέβειαν ὁ ἄκτιστος θεός, πρὸς τὸν κτιστὸν υἱὸν καθ' ὑμᾶς, ποίησόν μοι ἄνθρωπον, κατ' εἰκόνα ἐμὴν καὶ ὁμοίωσιν. ἀλλ' ἐπείπερ ἀεὶ πατὴρ ὁ θεός, ὡς προαπεδείξαμεν, καὶ ἀεὶ συνυπάρχει τῷ πατρὶ ὁ υἱός, οὐ μεταγενέστερος χρόνοις. οὐκ ἐλάττων δυνάμει. οὐ περιγραπτὸς τόπῳ, ἀλλ' ἀεὶ καὶ ὡσαύτως ἀϊδίως συνυπάρχων τῷ πατρί. γεγεννημένος ἐξ αὐτοῦ ἀπερινοήτως καὶ ἀνεκφράστως καθὰ προειρήκαμεν. θεὸς ἀληθινὸς ὢν ἀεί, ἐκ τοῦ ἀεὶ ὄντος ἀληθινοῦ θεοῦ καὶ πατρός. συνάναρχος τῷ πατρί. συναΐδιος τῷ πατρί. συμβασιλεύων ἀεὶ τῷ πατρί. ὁμοούσιος τῷ πατρί. ἰσοδύναμος τῷ πατρί. συνδημιουργὸς τῷ πατρί. εἰ γὰρ καὶ πάντα διὰ τοῦ υἱοῦ γεγενῆσθαι λέγει ἡ θεία τῶν εὐαγγελίων φωνή, καὶ ὅτι χωρὶς αὐτοῦ γέγονεν οὐδὲ ἓν ὃ γέγονεν, ἀλλ' ὅμως οὐ δίχα τοῦ πατρὸς ἐδημιούργησεν. ἀλλ' ἐπείπερ μία θεότης, καὶ βουλὴ μία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος,

ἀχωρίστως

ἀχωρίστως ἀεὶ ὄντος τοῦ πατρὸς πρὸς τὸν υἱόν, καὶ τοῦ υἱοῦ πρὸς τὸν πατέρα. νοητέον οὖν ὦ φιλόσοφε, ὅτι ἓν κατὰ τὴν τῆς θεότητος οὐσίαν, ὁ πατὴρ καὶ ὁ υἱός· καθὰ καὶ ἐν εὐαγγελίοις ὁ αὐτὸς υἱὸς βοᾷ, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. πρὸς ὃν ἔλεγε, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν.:

ἀντίρρησις τοῦ φιλοσόφου.

Καὶ ἤδη ἐν ταῖς προτέραις ἐπερωτήσεσιν, ἔφαμεν μὴ εἶναι τὸν θεὸν ἀνθρωπόμορφον· τίνα οὖν ἔχει τὴν σημασίαν ἡ ῥῆσις αὕτη, τὸ κατ᾽ εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν, φατὲ ἡμῖν. οὐ γὰρ μικρὸν ἡμῖν ἡ λέξις παρέχει ἀγῶνα. τέως, τοῦτο λεκτέον.

ἀπόκρισις τῆς ἁγίας συνόδου, διὰ τοῦ αὐτοῦ ἐπιλύσεως, πρὸς κεφαλῆς.

Τὸ κατ᾽ εἰκόνα ὦ φιλόσοφε νοητέον οὐ κατὰ τὴν τῶν σωμάτων θέσιν, ἀλλὰ κατὰ νοερὰν ἐντετυπῶσθαι, ὁ τῆς ἀληθείας παρίστησι λόγος. ἄκουε τοίνυν καὶ σύνες. ἀγαθὸς ὢν ὁ θεὸς τῇ φύσει ἐνέπηξε τῇ νοερᾷ τοῦ ἀνθρώπου οὐσίᾳ, τὸ κατ᾽ εἰκόνα αὐτοῦ καὶ ὁμοίωσιν. οἷον, τὴν ἀγαθότητα. τὴν καθαρότητα. τὴν ἀφθονίαν. τὴν ἁπλότητα. τὴν ὁσιότητα. τὴν χρηστότητα. τὴν μακαριότητα. καὶ τὰ τούτοις ὅμοια. ἃ ἅπερ ἐστὶν ὁ θεὸς τῇ φύσει, ταῦτα κατὰ τὴν αὐτοῦ χάριν ἔχειν δύναται καὶ ὁ ὑπ᾽ αὐτοῦ κτισθεὶς ἄνθρωπος. τουτέστι, τὸ νοερὸν αὐτοῦ. καὶ ὥσπερ οἱ τῶν ζωγράφων ἐπιστήμονες, γράφοντες ἐν σανίσι, τὰς ὁμοιώσεις τῶν εἰκόνων, ἐκ διαφόρων καὶ οὐκ ἐξ ἑνὸς σώματος, τὰς εἰκόνας ἀπαραλείπτως γράφουσιν. οὕτω δέδωκεν ὁ θεὸς καὶ τῷ ἀνθρώπῳ τῷ ὑπ᾽ αὐτοῦ κτισθέντι, ἐν τῷ νοερῷ ταμείῳ τῆς ψυχῆς, τουτέστι τῷ νῷ, ἔχειν διὰ τῶν ἀρετῶν, τὸ κατ᾽ εἰκόνα αὐτοῦ καὶ ὁμοίωσιν. τῆς εἰκόνος ἀπαραλείπτως εὑρισκομένης ἐν τῷ ἀνθρώπῳ, διὰ τῶν προρρηθέντων θείων πραγμάτων ὧν ἀνέθηκεν αὐτῷ ὁ θεός. εἰπών ποιήσωμεν ἄνθρωπον, κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν.:

ἀντίρρησις τοῦ φιλοσόφου.

Ὑπερκείσθω μοι ταῦτα ἐπὶ τοῦ παρόντος καιροῦ. ἐκεῖνο δὲ μᾶλλον ἐπερωτητέον, περὶ τοῦ δι᾽ οὗ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, καὶ πάντα τὰ τεθεωρημένα. οὐ γάρ μοι δοκεῖ εὖ ἔχειν ἅπερ εἰρήκατε. ὅτι ἓν κατὰ τὸ αὐτὸ ὁ πατὴρ καὶ ὁ υἱός· ἀιδίως ἅμα· καὶ ὅτι θεὸς ἀεὶ συμπροϋπάρχων τῷ πατρὶ ὁ υἱός. ἐγὼ δὲ φαίην ὕστερον ἐν τοῖς κτίσμασι γεγενῆσθαι αὐτὸν ὑπὸ τοῦ θεοῦ. ἐδεῖτο γὰρ ὁ θεὸς ὑπουργοῦ εἰς τὴν τοῦ ἀνθρώπου καὶ τοῦ κόσμου κατασκευήν. διὸ μέλλων ὁ δημιουργὸς θεὸς κτίζειν τὰς κτιστὰς φύσεις, ὑπεστήσατο ἑαυτῷ ἐργαλεῖον, δι᾽ οὗ κτίσει πάσας τὰς φύσεις. ὥσπερ γὰρ ὁ τέκτων προϋφιστᾷ ἐργαλεῖα, εἰς τὴν τῶν ὑπ᾽ αὐτοῦ μελλόντων γίνεσθαι κατασκευήν, οὕτως ἔστι νοῆσαι, καὶ ἐπὶ τοῦ θεοῦ. ὅτι ὑποστήσας ἑαυτῷ

ὡς ἐργαλεῖον τὸν υἱόν, ἔκτισε δι᾽ αὐτοῦ τὸν κόσμον. τὸ γὰρ ὑπὸ τῶν ἀποστόλων ῥηθὲν ὅτι πάντα δι᾽ αὐτοῦ ἐγένετο, ὡς δι᾽ ἐργαλείου ἐκτίσθησαν αἱ δι᾽ αὐτοῦ φύσεις. καὶ τὸ κατ᾽ εἰκόνα δὲ ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν εἰπεῖν τὸν θεὸν κτισθῆναι τὸν ἄνθρωπον, διὰ τοῦ ἐργαλείου. τουτέστι, τοῦ υἱοῦ, κατὰ τὴν ἑαυτοῦ εἰκόνα καὶ ὁμοίωσιν εἶπεν ὁ θεός.

ἀνταπόκρισις τῶν ἁγίων πατέρων, διὰ λεοντίου ἐπισκόπου καισαρείας, καππαδοκίας, καὶ εὐψυχίου ἐπισκόπου τυάνων:

Εἰ οὖν ὡς σὺ φῆς ἐργαλεῖον ὁ υἱὸς εἰς ποίησιν τῶν κτιστῶν φύσεων ὑπὸ τοῦ πατρὸς ἐκτίσθη, ἐκ τῶν σεαυτοῦ καταπίπτεις λόγων ὦ φιλόσοφε. λέγει γὰρ ἡ τοῦ εὐαγγελίου φωνή, ὡς καὶ αὐτὸς ἀρτίως ἐμνήσθης, πάντα δι᾽ αὐτοῦ ἐγένετο. καὶ χωρὶς αὐτοῦ γέγονεν οὐδὲ ἓν ὃ γέγονεν. κτίσμα δὲ καὶ ὁ υἱὸς ὡς αὐτὸς φῆς, ἑαυτὸν ἔκτισεν ἄρα καὶ οὐχ ὁ πατήρ.

ἀντίρρησις τοῦ φιλοσόφου:

Ἅπαξ εἶπον, ὅτι πάντα δι᾽ ἐργαλείου δι᾽ αὐτοῦ ἐποίησεν ὁ θεός, εἰς αὐτὸ τοῦτο ποιήσας αὐτὸν πρὸ πάσης κτίσεως, πρὸς ποίησιν τῶν κτιστῶν φύσεων, ἐργαλεῖον εὐτρεπίσας αὐτόν:

ἀνταπόκρισις τῶν ἁγίων πατέρων, διὰ τοῦ αὐτοῦ ἐπισκόπου λεοντίου, καὶ εὐψυχίου.

Εἰπὲ ὦ βέλτιστε, πόθεν σοι τὸ ἐργαλεῖα ἀνεβόησε τὸν υἱὸν τοῦ θεοῦ, ἢ τὸ ἅγιον αὐτοῦ πνεῦμα. παράθου ἡμῖν τὰς μαρτυρίας τῶν ὑποθέσεων. τίνος πνευματοφόρου ἔχεις τὰς ὑπογραφάς, ἐκβόσαντες ἐργαλεῖον τὸν υἱὸν τοῦ θεοῦ: τὸν κτιστὴν πάντων αἰώνων, καὶ πάσης στρατιᾶς ἐπουρανίου, καὶ πάντων ἐπιγείων. ἐπάκουσον τοίνυν ὦ φιλόσοφε, τῶν μαρτύρων ἐκ τῶν θείων γραφῶν, τῶν ἐκθησάντων τὸ συναΐδιον τοῦ πατρὸς τὸν υἱὸν αὐτοῦ. κτίστην τε καὶ δημιουργόν, πασῶν τῶν κτιστῶν φύσεων. ἐν μὲν βίβλῳ κτίσεως ἔχεις μωσῆν τὸν προφήτην. ὃς συνδημιουργὸν τοῦ θεοῦ καὶ πατρὸς τὸν υἱὸν ἐξέδωκε. λέγων καθὰ προειρήκαμεν σοι ὦ βέλτιστε. εἶπεν ὁ θεὸς ποιήσωμεν ἄνθρωπον, κατ᾽ εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν. πρόσωπον συνδημιουργοῦ συγκαλεῖν πέφυκεν, ἀλλ᾽ οὐχὶ ἐργαλεῖα. τὸ γὰρ εἰπεῖν, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, αὐθεντίαν προσώπου σημαίνει. ἐν τῷ γὰρ εἰπεῖν ποιήσωμεν ἄνθρωπον, ἀναιρεῖ τὴν τῶν ἐργαλείων ἐπίνοιαν. τρανοτέραν δὲ ἔχου μαρτυρίαν αὐθεντικὴν εἰς μόνον τὸ πρόσωπον τοῦ υἱοῦ ἐκτεθεῖσαν. δεικνῦσαν αὐτὸν δημιουργὸν πασῶν τῶν γενητῶν φύσεων, ὡς γέγραπται ἐν βίβλῳ

βαρούχ

βαρούχ, οὐχ ἔμαθες ἡγεμὼν προφήτου λέγοντος, ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον· ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπόδων· ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται· ἐκάλεσεν αὐτό, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ· οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν· καὶ ηὐφράνθησαν· ἐκάλεσεν αὐτούς, καὶ εἶπον πάρεσμεν. ἔλαμψαν μετ' εὐφροσύνης τῷ ποιήσαντι αὐτούς. οὗτος ὁ θεὸς ἡμῶν. οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης· καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ. καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. καὶ ὁ Ἡσαΐας λέγει τῷ Ἰσραήλ· καὶ νῦν οὐκ ἔγνως, εἰ μὴ ἤκουσας· θεὸς αἰώνιος. θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς· τίς οὖν οὗτος ὁ θεὸς ὁ αἰώνιος ὦ φιλόσοφε, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, ὁ καὶ ἐπὶ γῆς ὀφθείς, καὶ τοῖς ἀνθρώποις συναναστραφείς. ἢ υἱὸν λέγεις συνανεστράφθαι τοῖς ἀνθρώποις, ἢ τὸν πατέρα;

## ἀπόκρισις, τοῦ φιλοσόφου:

Ὁ υἱός φημι συνανεστράφθαι, καθὼς εἰρήκασιν αἱ θεῖαι γραφαί· καὶ γὰρ πεισθεὶς ἐξ αὐτῶν ἀποδέδεγμαι. ἀλλ' ἔστι μοι ἔτι δυνατωτάτη, καὶ ἀναντίρρητος ἀντίθεσις περὶ αὐτοῦ. ὅτι πρὸ πάσης κτίσεως ἔκτισεν αὐτὸν ὁ θεός, ἵνα δι' αὐτοῦ τὰ πάντα κτίσῃ· καὶ ταῦτα ἀποδείξω, ἐν τοῖς ἔμπροσθεν τῶν ἀγώνων.

## ἀπόκρισις τῶν ἀρχιερέων, διὰ τῶν αὐτῶν ὁσιωτάτων ἐπισκόπων, Λεοντίου, καὶ Εὐψυχίου.

Οὐχ οὕτως ὦ φιλόσοφε· οὐκ ἔνεστι δεῖξαί σε, ταῦτα ἅπερ ἔφης· γέννημα γάρ ἐστι τοῦ θεοῦ, καὶ οὐ ποίημα, καθάπερ διὰ πλειόνων ἀπεδείξαμεν. καὶ τίς γὰρ ὦ φιλόσοφε τῶν ἐν εὐσεβείᾳ καὶ ἀγχινοίᾳ πλουτούντων ἀνδρῶν, οὐκ ἐκπλήττεται, ἐπὶ ταῖς τοσαύταις αὐτοῦ ἐνεργείαις, τῶν ὑπ' αὐτοῦ δημιουργηθεισῶν φύσεων, ὡς ὑπὸ θεοῦ, τούτων ὑπ' αὐτοῦ κτισθεισῶν. τῆς γραφῆς βοώσης, ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον. καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. Ἰωάννης δὲ ὁ εὐαγγελιστής, σαφέστατα δείκνυσιν αὐτὸν ἀεὶ συνυπάρχοντα τῷ πατρί· συναΐδιόν τε καὶ συνάναρχον τῷ πατρί· ἐν ἀρχῇ γάρ φησιν ἦν ὁ λόγος· καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. πάντα δι' αὐτοῦ ἐγένετο. καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν: ἰδοὺ σαφέστατα δέδεικται ὦ φιλόσοφε, ὅτι πάσης γενητῆς φύσεως, δημιουργὸς ὁ υἱός· εἰ οὖν δημιουργὸς τῶν ὅλων κτισμάτων ἐστίν, ὥσπερ οὖν ἐστίν, ὁρωμένων τε καὶ νοουμένων, δῆλον ὅτι θεὸς ἀληθῶς φύσει, καὶ

οὐχ ἐναντίος ὡς φὴς, οὐδὲ δούλωμα, οὔτε ποίημα, οὔτε μεταγενέστερος τοῦ πατρός· τὸ γὰρ ἦν τετράκις λεχθὲν ὑπὸ τοῦ εὐαγγελιστοῦ, τὸ περιπάρχον οὐκ ἔχει· ἵνα δὲ τελειότατα γνώσῃ, ὅτι οὐχ ὑπεξούσιος, ἀλλ' αὐτεξούσιος ὡς καὶ ὁ πατήρ, δέχου καὶ ἄλλην ἐναργεστάτην μαρτυρίαν· ἄκουε τοῦ θεσπεσίου ἠσαΐου βοῶντος, καὶ θελήσουσι φησὶν, εἰ ἐγενήθησαν πυρίκαυστοι, τοὺς ἰουδαίους προαναφωνῶν, ὅτι παιδίον ἐγεννήθη· υἱὸς καὶ ἐδόθη ἡμῖν. οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος. θαυμαστὸς σύμβουλος. θεὸς ἰσχυρὸς ἐξουσιαστής. ἄρχων εἰρήνης. πατὴρ τοῦ μέλλοντος αἰῶνος· ἄκουε φιλόσοφε· ἐξουσιαστὴν αὐτὸν προκηρυττόμενον, καὶ οὐχ ὑπεξούσιον καθὼς ὑμεῖς φατέ· ἐν δὲ μιᾷ τῶν αὐτοῦ εὐεργετῶν[*], παρίστησιν ἑαυτὸν ὁ αὐτὸς μονογενὴς υἱὸς τοῦ θεοῦ, αὐτεξούσιόν τε καὶ κτίστην τοῦ αὐτοῦ, ἐπὶ τῇ τοῦ ἐκ[*] γενετῆς τυφλοῦ ἀναπηρώσει, ἐπ' αὐτῷ τῷ υἱῷ τοῦ θεοῦ γεγενημένῃ. ἀπαύγασμα γάρ ἐστι τοῦ πατρὸς συναΐδιον, καὶ χαρακτὴρ ἀπαράλλακτος, τῆς ὅλης αὐτοῦ ὑποστάσεως, καθά φησι παῦλος ὁ ἀπόστολος, τὸ σκεῦος τῆς ἐκλογῆς. ἰδοὺ φιλόσοφε τοσοῦτον ἄναρχον, ἐπείπερ καὶ συναΐδιον τῷ πατρί. κτίστην τε πασῶν τῶν κτιστῶν φύσεων, καθὰ πλειστάκις εἰρήκαμεν. τῶν τε ὁρωμένων τῶν τε νοουμένων, τὸν υἱὸν τοῦ θεοῦ ἀπέδειξαν. πῶς δὲ καὶ οἱ μάρτυρες τῶν ἐναντίων φύσεων εἰ ἔχεις. τάχα σὺ καὶ εἰς ἐναντία πιστεύσας ἐβαπτίσθης, εἴπερ ὡς φὴς, πιστὸς ὑπάρχεις τοῦ θεοῦ.

ἔργων

ἀντίρρησις τοῦ φιλοσόφου, περὶ τοῦ, κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ, ἐκ τῶν παροιμιῶν σολομῶντος.

ὑμεῖς

Ἐπεί φησι τοσοῦτον βιάζεσθε* ὑμᾶς τὴν ἀλήθειαν, τί εἴπωμεν περὶ ταύτης τῆς φανερᾶς λέξεως, τῆς κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ:

ἀπόκρισις τῶν ἁγίων πατέρων τῶν ἐπισκόπων, διὰ εὐσεβίου τοῦ παμφίλου, ἐπισκόπου καισαρείας, παλαιστίνης:

Τί πιθανῶς καὶ ῥᾳδίως ὡς οἴει τοὺς βυθοὺς διαπεπειράκεις, μὴ σαυτῷ ὦ φιλόσοφε, ἀφορμὰς ἀνάνδρους ἐπισύρειν. ὅρα μή πως δυσεπιβάτοις κρημνοῖς ἀπαραφυλάκτως ἐπιβὰς κρημνισθῇς. ἀλλ' εἰς τὸ, κύριος ἔκτισέ με νῦν φθάσωμεν. ἃ οἱ πατέρες ἡμῶν ἐκδεδώκασιν περὶ τῆς λέξεως ταύτης, τῆς, ὅτι κύριος ἔκτισέ με, πολλὰ μὲν καὶ ἄλλα, καὶ εἰς τὴν κατὰ σάρκα δὲ οἰκονομίαν τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ· καὶ ὅπερ διειλήφασιν, πάντως ἴστε τὰς ἐκδόσεις. ἡμεῖς δὲ καὶ ἐπ' ἄλλαις ἱστορίαις

τὴν ἔκδοσιν

τὴν ἔκθεσιν νῦν ποιησόμεθα. τοῦ θεοῦ ἰησοῦ χριστοῦ συνεργοῦντος. καὶ εἰ θέλεις
φιλόσοφε αὐτὴν ὅλην τὴν λέξιν προτείνομεν, μετὰ καὶ τῆς ἀρχῆς αὐτῆς.
λέγει γὰρ ἡ ἀρχὴ αὐτῆς: ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα
μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι. εἶτα ἐπάγει λέγουσα. κύριος ἔκτισέ με
ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με. ἐν ἀρχῇ
πρὸ τοῦ τὴν γῆν ποιῆσαι. πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων. πρὸ
τοῦ ὄρη ἑδρασθῆναι. πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με. ὅθεν ἐπισυνάψας
εἶπε: κύριος ἐποίησε χώρας καὶ ἀοικήτους. ζητοῦμεν λοιπὸν καὶ τὸν κτίσαν-
τα αὐτόν, τὸν καὶ ποιήσαντα χώρας καὶ ἀοικήτους. νοηματισθεὶς γὰρ
ὁ σολομῶν, ἐκ τῶν τοῦ πρὸς ἰὼβ εἰπόντος, ποῦ ἦσθα ἐν τῷ θεμελιοῦν
με τὴν γῆν, εἶπε, κύριος ἐποίησε χώρας καὶ ἀοικήτους. ἐν δὲ βιβλίῳ
βαρούχ, ἐκ στόματος ἱερεμίου τοῦ προφήτου καθὼς προαπεδείξαμεν,
περὶ τοῦ ποιήσαντος χώρας καὶ ἀοικήτους, λέγει. υἱοὶ ἄγαρ οἱ ἐκζη-
τοῦντες τὴν σύνεσιν ἐπὶ τῆς γῆς. οἱ ἔμποροι, καὶ οἱ ἐκζητηταὶ τῆς
συνέσεως. ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν. οὐδὲ ἐμνήσθησαν τὰς τρί-
βους αὐτῆς. καὶ μετ' ὀλίγα, ἀλλ' ὁ εἰδὼς τὰ πάντα, γινώσκει* αὐ- αὐτήν
τὸν ἐξεῦρεν αὐτὴν τῇ συνέσει αὐτοῦ, εἰπὼν* περὶ τοῦ ἐξευρόντος δὲ περὶ
τὴν σοφίαν τῇ συνέσει αὐτοῦ, ἐπάγει αὐτοῦ καὶ τὰς ἐνεργείας.
λέγων, ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον, ἐνέπλησεν αὐ-
τὴν, κτηνῶν τετραπόδων. ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται. οὐ παραβλέ-
πλεον γὰρ ὦ φιλόσοφε τὰ αὐτὰ πάλιν διαγορεῦσαι πρὸς ἐναργῆ ἀπό-
δειξιν, τῆς προκειμένης ὑποθέσεως. ὁ ἀποστέλλων φησὶ τὸ φῶς καὶ πορεύ-
εται. ἐκάλεσεν αὐτό, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ. οἱ δὲ ἀστέρες ἔλα-
μψαν ἐν ταῖς φυλακαῖς αὐτῶν, καὶ ηὐφράνθησαν. ἐκάλεσεν αὐτοὺς
καὶ εἶπαν πάρεσμεν. ἔλαμψαν μετ' εὐφροσύνης, τῷ ποιήσαντι αὐτούς.
οὗτος ὁ θεὸς ἡμῶν. οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν
ὁδὸν ἐπιστήμης. καὶ ἔδωκεν αὐτὴν ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ ἰσραὴλ
τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μετὰ ταῦτα ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις
συνανεστράφη. τὰς δύο φράσεις προθήσαντες κυρίως, τοῦ ποιήσαντος
χώρας καὶ ἀοικήτους, ἃς εἶπε σολομῶν καὶ βαρούχ. ἤτοι ἱερεμίας.
εἰπὼν γὰρ ἔκτισέ με, ἐπήγαγεν αὐτοῦ καὶ τὰς ἐνεργείας. λέγων
κύριος ἐποίησε χώρας καὶ ἀοικήτους. συλλογισώμεθα ὦ βέλτιστε, τό,
τίς κύριος ὁ ποιήσας χώρας καὶ ἀοικήτους. νοήσωμεν ὅτι οὐκ ἄλλος, ἀλλ'
ἢ πάντως ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον. ἐν
γὰρ τῷ κατασκευάζειν τὴν γῆν, ποιεῖν ἐστὶ χώρας καὶ ἀοικήτους.

ὁ καὶ ἐμπλήσας αὐτὴν κτηνῶν τετραπόδων. ὁ καὶ καλέσας τὸ
φῶς, καὶ ὑπήκουσεν αὐτῷ τρέμων· καὶ τὰ ἑξῆς. περὶ οὗ λέγει,
ὅτι ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη, νοητέον οὕτω,
ὅτι οὗτός ἐστιν ὁ χριστός, ὁ κτίσας τὴν λογιστικὴν σοφίαν, εἰς ἀρχὴν
ὁδῶν αὐτοῦ, ἣν οὐ τρέπουσι τῷ κατ᾿ εἰκόνα αὐτοῦ ἀνθρώπῳ. ὁ ποιήσας
χώρας καὶ ἀοικήτους. ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα
χρόνον. ἀλλὰ καὶ πάλιν τὴν ἀρχὴν τῆς λέξεως ἴδωμεν. ἐὰν
ἀναγγείλω ὑμῖν τὰ καθ᾿ ἡμέραν γινόμενα. ἀλλ᾿ οὐκ εἶπε τὰ
μέλλοντα. καὶ πάλιν λέγει, μνημονεύσω τὰ ἐξ αἰῶνος ἐξαρι
θμῆσαι, ἀλλ᾿ οὐ τὰ πρὸ αἰῶνος. ἐγνώσθη ὑμῖν ὅτι ὁ υἱὸς τοῦ θεοῦ
ἐστίν, ὁ καὶ τὴν λογιστικὴν σοφίαν κτίσας. ὁ κατασκευάσας τὴν
γῆν εἰς τὸν αἰῶνα χρόνον. ὁ ποιήσας χώρας, καὶ ἀοικήτους. ὁ καὶ
τῷ ἰὼβ εἰπών, ὅτε ἐγενήθησαν ἄστρα, ᾔνεσάν με πάντες ἄγγελοι
μου. μωσῆς δὲ λέγει περὶ τοῦ ποιήσαντος τὸ φῶς. καὶ εἶπεν ὁ θεὸς
γενηθήτω φῶς. καὶ ἐπήγαγε λέγων. καὶ ἐποίησεν ὁ θεὸς τοὺς δύο
φωστῆρας τοὺς μεγάλους, καὶ τοὺς ἀστέρας, καὶ τὰ ἑξῆς. ἱκανὰ
εἶναί μοι δοκεῖ τὰ λεχθέντα. ἃ αἱ ἀποδείξεις παρέστησαν ὦ φι
λόσοφε, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἐστιν, ὁ καὶ τὴν ἐν σολομῶντι λογιστι
κὴν σοφίαν κτίσας· καὶ πάντα τὰ κτιστά. καὶ οὐκ ἐργαλεῖον. ἵνα
δέ σοι σαφεστέραν τὴν ἀληθινὴν τῶν πραγμάτων ἀπόδειξιν παρα
στήσωμεν, καὶ τάχιον ἔλθωμεν ἐπὶ τὸν νοῦν τοῦ πράγματος, καὶ
τῆς θεωρίας αὐτοῦ, τὰ ἐκ τῆς γραφῆς λέξωμεν. μέλλων ὁ προ
φήτης μωσῆς ἐξιέναι τὸν βίον ὡς γέγραπται, ἐν βιβλίῳ ἀνα
λήψεως μωσέως, προσκαλεσάμενος ἰησοῦν υἱὸν ναυῆ, καὶ διαλεγόμενος
περὶ αὐτοῦ ἔφη. καὶ προεθεάσατό με ὁ θεὸς πρὸ καταβολῆς κόσμου,
εἶναί με τῆς διαθήκης αὐτοῦ μεσίτην. καὶ ἐν βιβλίῳ λογίων μυστικῶν
μωσέως, αὐτὸς μωσῆς προεῖπε, περὶ τοῦ δαυὶδ καὶ σολομῶντος περὶ
οὗ σολομῶντος, οὕτως προεῖπε καὶ διαδοχεύσει αὐτὸν ὁ θεός, σοφίαν
καὶ δικαιοσύνην, καὶ ἐπιστήμην πλήρη. αὐτὸς οἰκοδομήσει τὸν οἶ
κον τοῦ θεοῦ. καὶ τὰ ἑξῆς. ἵνα δὲ σαφέστερον εἴη ὃ φημί, οὕτως ἐξε
τάσωμεν τὸν νοῦν. ὁ ἄνθρωπος διὰ τὸν κόσμον, ἢ ὁ κόσμος διὰ τὸν ἄνθρωπον.
ὁ φιλόσοφος: πάντως ὁ κόσμος διὰ τὸν ἄνθρωπον.
οἱ ἅγιοι ἐπίσκοποι οἱ ἡμέτεροι, διὰ τοῦ εὐσεβοῦς
τοῦ παμφίλου.

Καὶ εἰ ὁ κόσμος διὰ τὸν ἄνον, πάντως ὡς πρωγενεστέρου τοῦ ἀνου ἐν
τῇ τοῦ θυ ἐνθυμήσει ὄντος. ὁ δὲ κόσμος μεταγενέστερος ἦν τοῦ ἀνου.
καὶ τῆς λογιστικῆς σοφίας, ἐν τῇ τοῦ θυ ἐνθυμήσει. ὁ ἄνος οὖν πρω-
γενέστερός ἐστι τοῦ κόσμου. προϋπάρχει καὶ τῶν τοῦ κόσμου φύσεων. οἷον,
οὐνοῦ, καὶ γῆς. ἡμέρας. νυκτός. νεφῶν. ἀνέμων. ἀβύσσων. πηγῶν. ὀρέων.
βουνῶν. πάντων πρωγενεστέρα ἐστὶν ἡ σοφία. καὶ ὁ ἄνος ἐν τῇ τοῦ θυ
ἐνθυμήσει, ἤδη προϋπάρχει τοῦ κόσμου. ἀλλ᾽ οὗτος μὲν οὖν μετα-
γενέστερος κτισθείς, ἠνέχθη ἐν τῇ τῆς κτίσεως παρόδῳ. ὁ δὲ
μεταγενέστερος τοῦ ἀνου ἐν τῇ τοῦ θυ ἐνθυμήσει. οὗτος* μεταγε- προσγενέστερος
νέστερος παρηνέχθη, ἐν τῇ τῆς κτίσεως παρόδῳ. ἀλλ᾽ ὅτι καὶ
ἡ σοφία ἣν ἔξωθεν τῇ συνέσει αὐτοῦ ὁ υἱὸς τοῦ θυ, ἣν δέδωκε
τῷ κατ᾽ εἰκόνα ἑαυτοῦ ἀνῳ, καὶ αὐτὴ προϋπῆρξε τοῦ κόσμου, καὶ
τῶν φύσεων αὐτοῦ, ἐν τῇ τοῦ θυ ἐνθυμήσει. εἰδὼς οὖν ἐν ἑαυτῷ
ὁ σολομὼν διδαχθεὶς ἐκ τῆς τοῦ θυ δοθείσης αὐτῷ σοφίας, ὅτι ὁ ἄνος
καὶ ἡ σοφία προϋπῆρξαν τοῦ κόσμου, καὶ τῶν φύσεων αὐτοῦ ἐν τῇ
τοῦ θυ ἐνθυμήσει, βασανίσας τὸ ἤδη προϋπάρχον τοῦ κόσμου, καὶ ἐν
τῇ τοῦ θεοῦ ἐνθυμήσει, πρὸ καταβολῆς κόσμου, ὃ ἔξωθεν τῇ συνέσει
αὐτοῦ ὁ χς, τοῦτο ἤδη ἔκτισεν ὁ αὐτὸς χς μεταγενέστερον τοῦ κό-
σμου, καὶ τῶν φύσεων αὐτοῦ. λέγει οὖν ὁ σολομών, ὡς ἐκ προσώπου
τῆς ἐν ἀνῳ σοφίας, τῆς προϋπαρξάσης τοῦ κόσμου, ἐν τῇ τοῦ θυ
ἐνθυμήσει. κς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ.
τῇ ἐν τῷ ἀνῳ σοφίᾳ ἀνῆκεν ἐκφωνεῖν τῇ λογιστικῇ, τῇ ἐντε-
θείσῃ τῷ ἀνῳ ταῦτα, τῷ κατ᾽ εἰκόνα τοῦ θυ γενομένῳ. τὸ
οὖν κς ἔκτισέ με, τῷ προϋπάρξαντι τοῦ κόσμου ἐν τῇ τοῦ θεοῦ
ἐνθυμήσει τοῦτο, τότε προσέρριψε. τὸ δὲ γεννᾷ με, συνεὶς πά-
λιν εἰς τὰς μετὰ ταῦτα ἐκ φύσεως παιδοποιίας ἐκδεδομένους,
εἶπε τὸ γεννᾷ με. νόει τοίνυν φιλόσοφε, τῆς αὐτῆς φύσεως πα-
λαιουμένης, καὶ ἀνανεουμένης ἄχρι συντελείας. τὸ οὖν κς ἔκτισέ
με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ, εἰς τὴν τῶν ἀνων δοθεῖσαν
λογιστικὴν σοφίαν διαληπτέον. τὸ δὲ γεννᾷ με, * τὸ κατὰ πρόγνω- εἰς τὸ
σιν τοῦ θυ, αὐτῆς τῆς φύσεως, τὸ ἐξ αὐτῆς, ἐξ εἰκοῦ, ὡς τροχὸν
εἰλιττόμενον ἐπ᾽ αὐτὸν τὸν καμπτῆρα ἐπανιὸν ἀπὸ τῆς ἀρχῆς
τοῦ πρωτοκτίστου ἀνου, τοῦ κατ᾽ εἰκόνα θυ κτισθέντος. ἐν ᾧ τὴν

λογιστικὴν σοφίαν τὴν κτιστὴν ἐνέθηκεν. ἐν ᾧ τὴν εἰλικρινῆ
αὐτοῦ ἀγάπην ἐνετύπωσεν ὁ θεός. ὥσπερ τὴν ἀνάκλησιν ἐν ἑαυ-
τῷ ποιούμενος ὁ σωτήρ, ἔλεγε πρὸς τὸν πατέρα οἰκονομικῶς, ὅτι
ἠγάπησάς με φησί, πρὸ καταβολῆς κόσμου. τὸ δὲ πρὸ τοῦ αἰῶ-
νος ἐθεμελίωσέ με, ἐν ἀρχῇ ἱστορήσας ὁ σολομών, ὅτι οἱ αἰῶνες οἱ ἐν τῷ-
δε τῷ κόσμῳ, ἐκ τῆς περιόδου τῆς ἡμέρας καὶ τῆς νυκτὸς τὴν σύστα-
σιν ἔχουσι· τὸ δὲ προϋπάρξαι τῆς ἡμέρας καὶ τῆς νυκτός, προϋπάρξαι
ἐστὶ τοῦ αἰῶνος τούτου. ταύταις ταῖς ἱστορίαις θεωρήσας ὁ σολομών,
ἥρμοσεν ἐναρμοστῶς, τῷ τε ἀνθρώπῳ καὶ τῇ σοφίᾳ. διὸ ἐκ προσώπου
αὐτῆς ἐκφωνήσας λέγει, τό, κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ,
εἰς τὰ ἔργα αὐτοῦ· πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ· συλλο-
γισάμενος ἐν ἑαυτῷ πάλιν, ὅτι μέλλοντος τοῦ θεοῦ παράγειν ταύ-
τας τὰς φύσεις τὰς ἐγκοσμίους προγενεστέρας τοῦ τε ἀνθρώπου καὶ
τῆς σοφίας εἰς τὸ εἶναι, καὶ ὅτι δεῖ τοὺς προγενεστέρους παρεῖ-
ναι· παραγενομένων, τε τῶν φύσεων, ἱστορεῖν κατὰ τάξιν τὰς φύ-
σεις παραγενομένας, καὶ ὅτι ὁ ἄνθρωπος καὶ ἡ σοφία, ὕστερον τῶν
ἑτέρων ἐτέθησαν. ἡ οὖν τῶν ἀνθρώπων δοθεῖσα ὑπὸ τοῦ θεοῦ λογιστικὴ
καὶ κριτικὴ σοφία, ἡ διαλαχοῦσα ἐπὶ σολομῶντα καθάπερ φη-
σιν ὁ μέγας μωσῆς· λέγει ἐν σολομῶντι, κύριος ἔκτισέ με ἀρχὴν
ὁδῶν αὐτοῦ, εἰς τὰ ἔργα αὐτοῦ, καὶ τὰ ἑξῆς. ὡς ἐκ προσώπου
τῆς προγενεστέρας, σὺν τῷ ἀνθρώπῳ, τοῦ κόσμου διηγούμενος τὰς ἐνερ-
γείας τοῦ θεοῦ τὰς ἐν τῷ κόσμῳ, παράγοντος τὰς φύσεις, φησὶν
αὐτός· κύριος ἐποίησε χώρας καὶ ἀοικήτους· ἄκρα οἰκούμενα τῆς
ὑπ' οὐρανόν. ἡνίκα ἡτοίμασε τὸν οὐρανόν, συμπαρήμην αὐτῷ· ὅτε
ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων. ἡνίκα ἰσχυρὰ ἐποίει
τῆς ὑπ' τὰ ἄνω νέφη· καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς* τῆς ὑπ' οὐρανόν. ἐν τῷ
τιθέναι τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ. καὶ ὕδατα οὐ παρελεύ-
σονται λόγον στόματος αὐτοῦ. καὶ ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς
γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα· ἐγὼ ἤμην, ᾗ προσέχαιρε· ταῦ-
τα ἐκ προσώπου τῆς σοφίας· καὶ δείκνυσιν ἀσφαλῶς, ὅτι ὁ προ-
υπάρξας τοῦ κόσμου, ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει, δι' ὃν καὶ ὁ κόσμος
ἐνεθυμήθη· δηλονότι καὶ τῶν τοῦ κόσμου φύσεων προϋπῆρξεν. ἴσως
οὖν γενόμενος τῆς παρόδου τῶν φύσεων, ὑπαριθμεῖ τὴν τάξιν
αὐτῶν, ὁ προγενέστερος αὐτῶν. ἡ σοφία, ἣν ἐξήγειρε τῇ συστάσει

αὐτοῦ· ἰδοὺ

αὐτοῦ. ἦν ἐντεθεμένος τοῦ ἀνθρώπου. τίς οὖν ὁ ταύτην τὴν σοφίαν προευτρε-
πίσας, καὶ δεδωκὼς τῷ ἀνθρώπῳ, ἢ ὁ ἐφαρμόσας αὐτῷ τὰς ἐνεργείας,
ὅτι οὐκ ἄλλος ἀλλ' ἢ πάντως ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα
χρόνον. ὁ καὶ ἐμπλήσας αὐτὴν κτηνῶν τετραπόδων. ὁ ἀποστέλλας τὸ φῶς,
καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ. ὁ ἐπὶ γῆς ὀφθεὶς καὶ συναναστραφεὶς ἀνθρώποις,
τούτῳ κεκλήρωνται οἱ ἐνεργοὶ τοῦ φυσικοῦ πάθους. ὅτι δὲ εἰς τὸ
πρόσωπον εἴρηται τῆς σοφίας οὐχὶ τοῦ υἱοῦ τοῦ θεοῦ τὸ Χριστὸς ἔκτισέ με.
ἀλλ' ἢ τῆς λογικῆς σοφίας τῆς ὑπ' αὐτοῦ τοῦ Χριστοῦ ἐντεθείσης,
καὶ δοθείσης τῷ ἀνθρώπῳ δι' οὗ ὁ κόσμος ἐγένετο, σαφέστατα διὰ
παντὸς δέδεικται. ὅτι εἰς τὸ πρόσωπον εἴρηται τῆς λογικῆς
σοφίας. βεβαιοῖ δὲ τὰ προειρημένα, ὁ Χριστὸς ἐν τῷ εὐαγγελίῳ.
λέγων, τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο. οὐχ ὁ ἄνθρωπος διὰ τὸ σά-
ββατον. προσωποποιήσας τὸν κόσμον, εἰς πρόσωπον τοῦ σαββάτου.
ἀντὶ τοῦ, ὁ κόσμος διὰ τὸν ἄνθρωπον, ἀλλ' οὐχ ὁ ἄνθρωπος διὰ τὸν κόσμον.

*ἑτέρα ἀντίφρασις, τοῦ φιλοσόφου.*

Ἀλλὰ φησὶν ἡ σοφία ἡ ἐν σολομῶντι ὁ υἱὸς τοῦ θεοῦ ἐστί. τουτέστιν, ἡ σο-
φία τοῦ θεοῦ, ὁ εἰπών, Χριστὸς ἔκτισέ με. καὶ τὰ ἑξῆς.

*ἀπόκρισις τῶν ἀντιρρήσεων ἐπισκόπου πρὸς τὸν φιλόσοφον,*
*διὰ τοῦ ἐπισκόπου εὐσεβίου τοῦ παμφίλου.*

Εἰπὲ ὦ φιλόσοφε, ἡ σοφία ἡ ἐν σολομῶντι, ὡς σὺ φὴς ἡ τοῦ θεοῦ ἐστι
σοφία. *ὁ φιλόσοφος.* Ναί φησιν οὕτως ἔχει. *ὁ ἐπίσκοπος.* εἰπὲ
ἡ σοφία τοῦ θεοῦ πρόγνωσιν ἔχει, ἢ οὔ. *ὁ φιλόσοφος.* Ναὶ ἔχει.
*ὁ ἐπίσκοπος.* ἡ σοφία τοῦ θεοῦ, ὁ υἱὸς τοῦ θεοῦ ἐστιν, ἣν φὴς ἐν σολο-
μῶντι. *ὁ φιλόσοφος.* Ναί φησιν. *ὁ ἐπίσκοπος.* πῶς κρίνει ὁ κριτὴς κατὰ
πρόγνωσιν, ἢ οὔ. *ὁ φιλόσοφος.* Ναί φησιν. ἀλλὰ πῶς. *ὁ ἐπίσκοπος.* ὁ οὖν
κριτής, κατὰ πρόγνωσιν κρίνει, καὶ κατὰ τὰ ἔργα ὡς προγινώσκει;
*ὁ φιλόσοφος.* Ναὶ εἶπον. *ὁ ἐπίσκοπος.* πῶς οὖν ἡ σοφία ἡ ἐν σολομῶντι
λέγει, τρία ἐστὶν ἀδύνατά μοι νοῆσαι, καὶ τὸ τέταρτον οὐκ ἐπιγι-
νώσκω. τὰ τρία εἰρηκυῖα ἡ ἐν σολομῶντι σοφία ἀδυνατεῖν, αὐτὴν
νοῆσαι, περὶ τοῦ τετάρτου εἶπε μὴ ἐπιγινώσκειν. καὶ ὁδοὺς ἀνδρὸς
ἐν νεότητι. εἰ οὖν ἡ σοφία τοῦ θεοῦ ἐστιν ἡ ἐν σολομῶντι, πῶς κρίνει
τὸν κόσμον, μὴ εἰδυῖα ἀνδρὸς ὁδοὺς ἐν νεότητι. καὶ πῶς τοῦτο ἀληθές,
ὅτι ὁ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα θεοῦ. τουτέστιν ὁ υἱὸς τοῦ θεοῦ,
καθὼς φησὶ μωσῆς ὁ προφήτης. ἔτι δὲ καὶ ἰωάννης ὁ εὐαγγε-
λιστής. πάντα δι' αὐτοῦ φησὶν ἐγένετο, οὐκ ἐπίσταται ὁδοὺς ἀνδρὸς

ἐν νεότητι. ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν. ὁ συνιεὶς
εἰς πάντα τὰ ἔργα αὐτῶν. ὁ ἐτάζων καρδίας καὶ νεφρούς, κατὰ
τὸν προφήτην τὸν εἰπόντα. σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν
ἔγερσίν μου. σὺ συνῆκας πάντας τοὺς διαλογισμούς μου, φησὶν ἀπὸ
μακρόθεν. τὴν τρίβον μου, καὶ τὴν σχοῖνόν μου, σὺ ἐξιχνίασας. καὶ
πάσας τὰς ὁδούς μου προεῖδες. καὶ ἐν ἑτέρῳ πάλιν. ὁ παιδεύων ἔθνη
οὐχὶ ἐλέγξει; ὁ διδάσκων ἄνθρωπον γνῶσιν. κύριος γινώσκει τοὺς διαλογισ-
μοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι: ὁ οὖν ταῦτα ἐπιστάμενος, καὶ πάντα
προγινώσκων, οὐκ ἐπίσταται ὁδοὺς ἀνδρὸς ἐν νεότητι; καὶ πολλὰ
ἐστὶν εὑρεῖν ἐκ τῶν γραφῶν τὰ ἐλέγχοντα τὴν ἄνοιαν τῶν κακῶς
ὑπειληφότων περὶ τοῦ ῥητοῦ τούτου. πῶς γὰρ ὁ διδάσκων ἄνθρωπον γνῶσιν,
αὐτὸς οὐκ ἐπίσταται ὁδοὺς ἀνδρὸς ἐν νεότητι. εὖ ἴσθι οὖν ὦ φιλόσοφε,
ὅτι Σολομῶν, κρεῖττον καὶ ἣν ἔλαβε σοφίαν, ἣν ἐξεῦρε τῇ συνέσει αὐτοῦ
ἤν τε — ὁ υἱὸς τοῦ θεοῦ.* ἣν ἐνεπίστευσε, τῷ κατ' εἰκόνα αὐτοῦ ἀνθρώπῳ, συλλογι-
στικήν. ἀμέλει δέ, ἐπιβεβαιοῖ τὰ ῥηθέντα ὁ Χριστὸς ἐν εὐαγγελίοις. λέγων,
τό, καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε, ἀνέτρεψε τοὺς λέγοντας αὐτὸν
φωνῆς διαφέρων, ἀλλ' — εἶναι, τὴν ἐν Σολομῶντι σοφίαν. εἰ γὰρ τῷ ψόφῳ τῆς* φωνῆς ἰσοπρο-
ὁ υἱὸς — ήγορος ἐστὶν* ὁ τῇ σοφίᾳ. ἡ γὰρ τοῦ θεοῦ σοφία, ὁ υἱὸς τοῦ θεοῦ. θεὸς προαιώ-
νιός ἐστι, καὶ κατὰ προγνῶσιν κρίνει. καὶ κατὰ τὰ ἔργα ὡς κτίστης
καὶ δημιουργὸς τῶν ἁπάντων. καθὼς φησὶ καὶ ὁ Παῦλος, τὸ σκεῦος τῆς
ἐκλογῆς. Ἑβραίοις γράφων, ὧδέ πως λέγει περὶ αὐτοῦ: ζῶν γὰρ ὁ
λόγος τοῦ θεοῦ καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν
δίστομον. καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος. καὶ κριτικὸς
ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον
αὐτοῦ. πάντα δὲ γυμνά, καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐ-
τοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος. καὶ πρὸς Ῥωμαίους δὲ ὁ αὐτὸς γράφει
λέγων, ὧν οἱ πατέρες. καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα. ὁ ὢν ἐπὶ πάντων
θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν: δείκνυσι δὲ ὧδε, ὅτι ἡ τοῦ
θεοῦ καὶ πατρὸς σοφία, θεός ἐστιν ἀληθινός, ἐξ αὐτοῦ τοῦ θεοῦ. ἀΐδιος, ἐξ
ἀϊδίου, καὶ ἀληθινός, ἐξ ἀληθινοῦ. φύσει ὢν ἀεὶ υἱός, τοῦ ἀεὶ ὄντος
θεοῦ καὶ πατρός.

## ἀντίρρησις τοῦ φιλοσόφου.

Τί οὖν ἐστιν ὃ φῄς. ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν. οὐδὲ ἐμνήσθη-
σαν τὰς τρίβους αὐτῆς, καὶ τὰ ἑξῆς:

ἀπόκρισις

ἀπόκρισις τῶν ἀρχιερέων ἐπισκόπων, διὰ τοῦ αὐτοῦ ἐπισκόπου Εὐσεβίου τοῦ Παμφίλου.

Πολλάκις περὶ τὰ ῥήματα τῆς σοφίας ἀποβλέπων ὦ φιλόσοφε, ἐθαύμασας τῆς σοφίας τὴν δύναμιν. ὅτι δὴ μεγίστων νοημάτων ἀλήθειαν ἔστιν εὑρεῖν ἐν αὐτῇ, βραχυτάταις ταῖς λέξεσι. καὶ τάχα δικαίως ἄν τις παρεικάσειε τὰ ῥήματα τῆς γραφῆς, τῇ εὐαγγελικῇ παραβολῇ, τῇ λεγούσῃ, ἐοικέναι τὴν βασιλείαν τῶν οὐρανῶν, κόκκῳ σινάπεως. ὅτι βραχύτερον μέν ἐστι πάντων τῶν σπερμάτων τῶν ἐπὶ τῆς γῆς. φυὲν δὲ καὶ ἀναπληρωθέν, ἱκανὴν σκέπην τοῖς πετεινοῖς δίδωσιν. οὕτως ὁρῶμεν τὴν τοῦ θείου ῥήματος δύναμιν, ἐν βραχέσι περιεχομένην λέξεσιν. ἀναπληρουμένων δὲ τῶν νοημάτων, καὶ ὥσπερ κλάδων ἐπὶ τὴν διάνοιαν τῶν πετεινῶν ἐπεκτεινομένων, τουτέστι, τῶν ἀνθρώπων, τοσαύτη τις εὑρίσκεται δύναμις, ὥστε μὴ μόνοις τοῖς γεωργοῖς, ἀλλὰ καὶ τοῖς παρεστῶσι πετεινοῖς, ἱκανὴν παρέχειν τὴν σκέπην. πόθεν οὖν* ἐνηνέχθην περὶ ταύτην τὴν ἔννοιαν, ἢ ἐκ τῆς τοῦ λόγου τῆς ἱερᾶς γραφῆς, τοῦ κεφαλαίου δὲ, πρὸς ἀπόδειξιν καὶ σύστασιν, οὐ τῆς λογικῆς σοφίας ὡς αὐτὸς ὑπείληφας, ἀλλὰ τῆς ταύτην, καὶ πάντα τὰ γενητὰ δημιουργησάσης ἀκαταλήπτου σοφίας, τῆς ἀκτίστου καὶ ἀνάρχου. τουτέστι, Χριστοῦ. ἐπείπερ Χριστὸς θεοῦ δύναμις, καὶ θεοῦ σοφία, κατὰ τὸν τῆς ἀρρήτου, καὶ ἀπερινοήτου θεότητος αὐτοῦ τρόπον. ὁ ἀληθῶς τοῦ θεοῦ, θεὸς λόγος. τῷ γὰρ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. ἤκουσας λόγον κυρίου. ἤκουσας πνεῦμα τοῦ στόματος αὐτοῦ; ἄκουε τοίνυν καὶ πάλιν. περὶ τῆς συστάσεως τῆς ἀληθοῦς πίστεως τῆς εὐσεβοῦς ὑπὸ τῶν εὐσεβῶν, νοουμένης, τε καὶ κηρυττομένης. ἐπείπερ οἶμαι, οὐδὲν τῶν προαναφωνηθέντων σοι παρὰ τοσαύτης ἀνδρῶν ἀρχιερατικῆς χορείας τὴν αἴτησιν διέλεξαι. ἄκουε τοίνυν εὐσεβῶς, καὶ μὴ τοῖς ἀνθρωπίνοις λογισμοῖς διερευνᾶσθαι πειρῶ, τὰ ἀπόρρητα. ὁ τέλειος, οὔτε μειοῦται, οὔτε αὔξει. εἷς ἀγέννητος, ὁ θεὸς καὶ πατήρ. εἷς καὶ ὁ γεγεννημένος ἐξ αὐτοῦ μονογενὴς υἱὸς θεὸς λόγος. ὥσπερ οὖν οὐκ ἔστι συναγέννητος τῷ θεῷ καὶ πατρὶ θεὸς ἕτερος, οὕτω οὐδὲ συγγεγεννημένος, ἢ προγεγεννημένος, ἢ μεταγεγεννημένος υἱὸς ἕτερος τοῦ θεοῦ, τῷ μονογενεῖ υἱῷ αὐτοῦ θεῷ λόγῳ. εἷς ὄντως θεὸς καὶ πατήρ, εἷς ὄντως, καὶ ὁ γεγεννημένος ἐξ αὐτοῦ ἀφράστως υἱὸς θεὸς λόγος. ὥσπερ οὖν οὐ λόγῳ μόνῳ πατὴρ ὁ θεός, οὕτω οὐδὲ λόγῳ μόνῳ υἱός. ἀλλ' ἀληθῶς υἱός. γνήσιος ὁ πατήρ. γνήσιος ὁ υἱός. θεὸς ὁ πατήρ. θεὸς καὶ ὁ ἐξ αὐτοῦ γεγεννημένος υἱός. τέλειος

*ἐκινήθην

ὁ πατήρ· τέλειος αὐτοῦ καὶ ὁ υἱός. ἀσώματος ὁ πατήρ, ἀσώματος καὶ ὁ υἱός. ἀσωμάτου γὰρ χαρακτήρ. καὶ ἡ εἰκὼν ἀσώματος δηλονότι. πιστεύεις τοῦτο ὦ φιλόσοφε, ὅτι γεγέννηται ἐκ τῆς οὐσίας τοῦ πατρὸς ὁ μονογενὴς υἱὸς αὐτοῦ, καθάπερ ἐξ ὑπαρχῆς τῶν λόγων διὰ πλείστων ὅσων γραφικῶν μαρτυριῶν ἀπεδείξαμεν, ἢ οὔ. ἀντερώτησις τοῦ φιλοσόφου· πῶς καὶ τίνι τρόπῳ φράσον.

οἱ ἅγιοι ἐπίσκοποι, διὰ τοῦ αὐτοῦ εὐσεβίου τοῦ παμφίλου, εἶπον.

Μὴ ζήτει, πῶς φιλόσοφε. εἰ δὲ καθὰ ἤδη διὰ πλειόνων εἴρηταί σοι καὶ ἐν ἀρχῇ τῆς διαλέξεως διαμαρτυράμεθα, ὅτι χωρίσαι σεαυτὸν τῆς διαλέξεως, διερευνᾶν πειρώμενος τὰ ἀνεξερεύνητα. εἰ μὲν γὰρ ἐνδέχεται ζητεῖν, πῶς ὁ ἀγέννητος, ἐνδέχεται καὶ ζητεῖν, πῶς καὶ ὁ γεγεννημένος. εἰ δὲ οὐ καταλείπει ζήτησιν πῶς γεγέννηται, μὴ ζήτει τὰ ἀνεξερεύνητα. οὐ γὰρ εὑρήσεις. ἐὰν γὰρ ζητῇς, παρὰ τίνος ἔχεις μαθεῖν. παρὰ τῆς γῆς; οὐχ ὑφίστατο. παρὰ θαλάσσης; οὐδέπω κέχυτο ἡ ὑγρά. παρὰ οὐρανοῦ; οὐκ ἦν ποιηθείς. παρὰ ἡλίου καὶ σελήνης, καὶ ἄστρων; οὐδέπω δεδημιούργηντο. παρὰ ἀγγέλων, καὶ ἀρχαγγέλων; οὐδέπω ἦσαν. ἐπείπερ καὶ αὐτῶν ποιητὴς ὁ υἱός. ἀλλὰ παρὰ αἰώνων; πρὸ αἰώνων ὁ μονογενής. μὴ ἐξέταζε τὰ μὴ ἀεὶ ὄντα, περὶ τοῦ ἀεὶ ὄντος. ἄρρητος. ἀγέννητος ὁ πατήρ. ἄρρητος, ἀρρήτως γεγεννημένος ἐξ αὐτοῦ ὁ υἱός. σιώπησον περὶ τοῦ πῶς. καὶ παραχώρει τοῦτο, τῷ γεννήσαντι, καὶ τῷ γεγεννημένῳ. ὁ γὰρ πατὴρ μόνος γινώσκει τὸν υἱὸν τίς ἐστι, καὶ ὁ υἱὸς τὸν πατέρα. καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι, καθά φησι τὸ αὐτοῦ εὐαγγέλιον. εἰ δὲ μὴ θέλεις παύσασθαι τό, πῶς· ἀλλὰ φιλονεικεῖς διερευνᾶν τὰ ἀνεξερεύνητα, καταγελῶ μέν σου τὴν τόλμαν. μᾶλλον δὲ καὶ πενθῶ μέν σε, ὅτι οὐ πίστει θέλεις νοεῖν τὸν θεόν, ἀεὶ πατέρα τοῦ υἱοῦ αὐτοῦ καὶ τὸν μονογενῆ υἱὸν αὐτοῦ, ἀεὶ υἱὸν αὐτοῦ, συνυπάρχοντα ἀεὶ τῷ πατρί. καὶ οὐ μεταγενέστερον, καθὼς σὺ ἀσεβῶς φῄς. ἀλλὰ νόει πίστει. καὶ ὁμολόγει τέλειον ἐκ τελείου τὸν υἱόν, ὡς πολλάκις ἤκουσας. φῶς ἀΐδιον, ἐκ φωτὸς ἀϊδίου. θεὸν ἀληθινόν, ἐξ ἀληθινοῦ θεοῦ καὶ πατρός. ἄκτιστον, ἐξ ἀκτίστου. ἀσύνθετον ἐξ ἀσυνθέτου. ἀεὶ ὄντα πρὸς τὸν πατέρα. ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος, καθά φησιν ἰωάννης ὁ εὐαγγελιστής, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. τὸ ἦν φιλόσοφε, τὸ προϋπάρχειν οὐκ ἔχει. τὸ ἦν φιλόσοφε, περιγράφει τὸ οὐκ ἦν, καθὰ προαπεδείξαμεν. καὶ τὸ θεός, περιγράφει τὸ οὐ θεός. τοῖς γεγραμμένοις πίστευε, τὰ μὴ γεγραμμένα, μὴ ἐννόει, μηδὲ ζήτει. πίστευε, ὅτι πάντα αὐτὸς ἐδημιούργησεν ὁ υἱὸς τὰ γεγεννημένα, νεύματι πατρικῷ, οὐκ ὀφθαλμῶν βλέμματι. ἀσύνθετος γὰρ ὁ θεὸς ὡς προειρήκαμεν.

περιεβήκαμεν. ἀλλὰ νεύματι, ὡς αὐτὸς οἶδε μόνος. ὅπερ ἡμεῖς περινοοῦντες, κηρύττομεν, κατὰ τὴν διδασκαλίαν τῶν ἱερῶν γραφῶν. ὅτι βουλῇ τοῦ πατρὸς καὶ ἑαυτοῦ, δεδημιούργηκε πᾶσαν τὴν κτίσιν, τήν τε ἐπουράνιον, καὶ ἐπίγειον. τήν τε ὁρωμένην, καὶ νοουμένην. οὐκ ὀργάνοις, οὔτε μηχαναῖς. οὐδὲ συνεργίᾳ τινὸς ἑτέρου, ἀλλὰ βουλήσει πατρὸς, καθὰ ἀρτίως εἰρήκαμεν. τοῦ εἰπόντος πρὸς αὐτὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. οὐκ εἶπε ποίησον. ἢ ποιήσατε, ἀλλὰ ποιήσωμεν. δεικνὺς τὸ ὁμοούσιον, καὶ ὁμότιμον, ἐπὶ τῆς μακαρίας ἐκείνης, καὶ ἀφράστου τριάδος. μὴ ἀποστρέφου ὦ φιλόσοφε, καὶ τοὺς ὀφθαλμοὺς ἀνακρίνει, ἀλλὰ ὅρα τῷ τῆς διανοίας βλέμματι, τὴν τῶν ἀποστολικῶν δογμάτων ἀκρίβειαν. καὶ δέχου πιστῶς μὴ ἐπὶ πλεῖον γινόμενος ἄπιστος, ἀλλὰ πιστός. ἄκουε οὖν καὶ σύνες. ὁ τοῦ θεοῦ λόγος ὁ πρὸ αἰώνων αὐτοῦ υἱὸς, πρὸς ὃν εἶπε ποιήσωμεν ἄνθρωπον καὶ τὰ ἑξῆς, αὐτὸς πάλιν ἐπ' ἐσχάτων τῶν ἡμερῶν, βουλῇ πατρικῇ καὶ οἰκείᾳ, ἄνθρωπος γέγονε, σαρκωθεὶς ἐκ παρθένου, διὰ τὸν ἐκπεσόντα ἄνθρωπον ἀδάμ. ὁ ἀσώματος, ἐν σώματι κενώσας ἑαυτὸν, ὡς εἶπεν ὁ ἀπόστολος παῦλος. διὰ τὸ σῶμα, ἔλαβε νέφος ὁ θεὸς λόγος τὸ σῶμα, ἵνα μὴ καταφλέξῃ τὰς κτιστὰς φύσεις τὰς ἐν τῷ κόσμῳ. θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε. ἐκράθη σαρκὶ, ἵνα καὶ ἡ σὰρξ, διὰ τῆς πρὸς αὐτὸν ἀτρέπτου ἑνώσεως, ἐλευθερωθῇ τοῦ θανάτου. ἀόρατος, ἐν ὁρατῷ, ἵνα ὑπομείνῃ τὰ ὁρώμενα, ὡς ἄνθρωπος ὑποχθόνιον. ἀλλ' ἀληθείᾳ κατ' ἀμφότερα θεὸς καὶ ἄνθρωπος. ἄνθρωπος καὶ θεὸς ὁ αὐτός. εἷς γὰρ ἐξ ἀμφοῖν χριστὸς, νοούμενος καὶ γνωριζόμενος.* τῆς διαφορᾶς τῶν οὐσιῶν, τῆς τε θεότητος αὐτοῦ, καὶ τῆς σαρκὸς, θεὸς ἦν καὶ ἐστι. γέγονεν ἄνθρωπος δι' οἰκονομίαν. δι' αὐτὸν προφῆται. δι' αὐτὸν ἀπόστολοι. δι' αὐτὸν μάρτυρες. προφῆται, διὰ τὸν προφητευθέντα. ἀπόστολοι, διὰ τὸν ἀποσταλμένον οἰκονομικῶς. μάρτυρες, διὰ τὸν πρωτομάρτυρα. ἦλθε θεὸς ἐπίγειος, ὁ υἱὸς σαρκί. κρύψας ὡς ἠβουλήθη, τὸ τῆς αὐτοῦ θεότητος μέγεθος. οὐκ ἐρημώσας τὰ ἐν οὐρανοῖς. οὐδὲ γὰρ πρὸ τοῦ σαρκωθῆναι, ἔρημος αὐτοῦ ὁ κόσμος. θεὸς ἦν, καὶ ἐστι. γέγονε καὶ ἄνθρωπος δι' οἰκονομίαν, σαρκωθεὶς, καὶ τεχθεὶς ἐκ παρθένου, δι' οἰκείαν φιλανθρωπίαν. ἄξιον ἑαυτοῦ καὶ ἴσον υἱὸν ἐγέννησεν ὁ πατὴρ, ὡς οἶδεν ὁ γεννήσας αὐτὸν, θεὸς καὶ πατὴρ, καὶ ὁ ἐξ ἑαυτοῦ γεγεννημένος υἱὸς ὦ φιλόσοφε.

*διὰ τῆς

## ἀντίρρησις, τοῦ φιλοσόφου:

Μὴ ἐπὶ πλεῖστον ὅσον ἐπέμενε βιαζόμενος τὴν ἀλήθειαν. καὶ τῇ τῶν λόγων εὐτεχνίᾳ, ἐπισκιάζειν ὡς νέφος πειρῶ τῆς γραφῆς ἀνάμαυρον φέγγος. ἀλλὰ ἔτι τὸ περιφανὲς τῆς γραφῆς ἐλθὲ τὸ προτεθέν σοι. καὶ μὴ φεῦγε, τό, κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ. καὶ τό, κύριος ἐποίησε χώρας, καὶ ἀοικήτους. ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανόν, μίαν καὶ τὴν αὐτὴν ἔχει ἔννοιαν, περὶ τοῦ ἑνὸς κυρίου ταῦτα ἐστὶ τοῦ θεοῦ. τοῦ καὶ πρωτόκτιστον κτίσαντος εἰς ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ. ὃν καὶ υἱὸν αὐτοῦ προσηγόρευσε, τοῦ καὶ κτίσαντος δι' αὐτοῦ, ὡς δι' ἐργαλείου, χώρας καὶ ἀοικήτους. εἰ γὰρ καὶ ἡ κτιστὴ τοῦ αὐτοῦ σοφία,* τουτέστιν ὁ υἱὸς ἐργάζεται, ἀλλ' ὁ θεός ἐστιν ὁ κτίζων δι' αὐτοῦ τὰ μὴ ὄντα.

*τοῦτ' ἔστιν ὁ θεὸς ὁ

Ἀπόκρισις τῶν ἁγίων ἐπισκόπων, διὰ τοῦ αὐτοῦ ἐπισκόπου Εὐσεβίου τοῦ Παμφίλου.

Πολὺ διεστηκὼν τῆς βασιλικῆς λεωφόρου, τουτέστι, τῆς ἀποστολικῆς πίστεως, ἔξω, πως ταύτης φέρεσθαι ἀνέχῃ. κινδυνεῦσαι σεαυτὸν ἅπαξ ἑλόμενος. καὶ μικρὸν ἀνανεύσας ἐκ τοῦ περιέχοντός σε τῆς ἀσεβείας βυθοῦ, ὅταν ἤκουσας παρὰ τῆς ἁγίας συνόδου ταύτης τὴν προφητείαν τοῦ μεγάλου Ἱερεμίου δακτυλοδεικνύντες ὡς ἂν εἴποι τις καὶ λέγοντες, οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν, καὶ τὰ ἑξῆς. οἷς, ἐπάγει, μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. καὶ οἶμαι ὦ φιλόσοφε ἐπερωτηθεὶς παρὰ τῶν ἁγίων πατέρων ἐπισκόπων, τίς ὁ ἐπὶ γῆς ὀφθείς, καὶ τοῖς ἀνθρώποις συναναστραφείς, ὁ πατὴρ ἢ ὁ υἱός, καὶ ὁμολογήσας ὅτι ὁ υἱός, καθὼς αἱ θεῖαι γραφαὶ λέγουσιν. οὐ ταῦτα εἴρηκας. πῶς πάλιν ἐπὶ τὸν βυθὸν τῆς μοχθηρίας Ἀρείου, ἑαυτὸν ἀκοντίζεις. μᾶλλον δὲ βυθίζεις. οὐ γὰρ ἀνέζευξας χωρισθεὶς ἐκείνου, ᾧ* ἑαυτὸν συνέζευξας. προφέρεις ὦ ἄθλιε τῶν ἀποστολικῶν δογμάτων, τὰ Ἀρείου βλάσφημα ῥήματα, κτίσμα καὶ ἐργαλεῖον τὸν υἱὸν τοῦ θεοῦ ἀποκαλῶν; ἄκουε τοίνυν παρ' ἡμῶν ὦ φιλόσοφε, εἴπερ φιλόσοφος εἶ. καὶ πείθου, μὴ αὐτὸν εἶναι τὸν υἱὸν τοῦ θεοῦ, τὴν κτιστὴν σοφίαν. τὴν λογιστικήν. τὴν τῷ ἀνθρώπῳ ὑπ' αὐτοῦ τοῦ υἱοῦ τοῦ θεοῦ δοθεῖσαν τοῦ κτίσαντος χώρας καὶ ἀοικήτους. ἐπίστησον σου τὸν νοῦν, μὴ πρὸς ἀπέχθειαν βλέπων, ἀλλὰ πρὸς ἀλήθειαν. καὶ οὐ δυσωπήσει σε αὐτὴ ἡ ἀλήθεια. καὶ γνώσῃ, ὅτι οὐ κτίσμα ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ, ἀλλὰ αὐτὸς κτίστης καὶ δημιουργός, πασῶν τῶν κτιστῶν φύσεων. καθὼς καὶ αὐτὸς μικρὸν διαβλέψας νενόηκας, καὶ νοήσεις, ὡς ἐγὼ πεπίστευκα, εἴπερ

*σκαιόν

συνθῆναι ποθεῖ: ἀντίρρησις τοῦ φιλοσόφου, κατὰ τοῦ ἁγίου πνεύματος:

Ἔστω φησί τινὰ περὶ τοῦ υἱοῦ, καὶ ἀναμφίλεκτα, ὡς φατὲ ὅτι ἔκτισεν, ἢ ὅτι συνέκτισε τῷ θεῷ καὶ πατρί, ὡς αἱ μαρτυρίαι δηλοῦσι. καὶ ὅτι οὐ ποίημα, ἀλλὰ γέννημα τοῦ θεοῦ, φύσει ἐξ αὐτοῦ γεγεννημένος. καὶ ἴδιος δεχόμεθα. μὴ καὶ περὶ τοῦ πνεύματος ἔχετε λέγειν; τίς γὰρ τολμήσειε φῆσαι τὸ ἅγιον πνεῦμα κτίσιν πατρὸς γεννητῆς φύσεως. περὶ δὲ καὶ μαρτυρίαι περὶ αὐτοῦ λέγουσι, δεδημιουργηκέναι αὐτῷ τῶν ὁρατῶν, καὶ ἀοράτων κτισμάτων. τίς δὲ ὅλως ἀνεγράψατο περὶ αὐτοῦ ὡς περὶ τοῦ υἱοῦ, ἐκβοήσει τίς ὑμῶν εἰ ἔχοι: γεννητῶν

ἀνταπόκρισις τῶν ἁγίων πατέρων, διὰ Γρηγεντίου ἐπισκόπου ταφρικῆς:

Οὐκ ἔστι δυσχερὲς ὦ φιλόσοφε, ἐπιδεῖξαί σοι τὰς μαρτυρίας τῶν ἐνεργειῶν τοῦ ἁγίου πνεύματος, ἃς οἱ πατέρες ἡμῶν ἐξέθεντο περὶ αὐτοῦ ὅτι ἔκτισε, πάλιν φήσομεν τὸ περὶ τῆς κτίσεως ῥηθέν. καὶ εἶπεν ὁ θεός, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. καὶ ἐπήγαγε λέγων. καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον. κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. ὡς οὖν θεός ἐστιν ὁ πατὴρ ὁ εἰπὼν πρὸς υἱόν ποιήσωμεν, ὁ δὲ υἱὸς θεὸς ὢν ἐποίησε τὸν ἄνθρωπον. εἰ οὖν θεὸν λέγομεν τὸν εἰπόντα, καὶ τὸν ποιήσαντα τὸν ἀδὰμ καὶ τὴν εὔαν, λοιπὸν ἔλεγχον περὶ τοῦ ἁγίου πνεύματος. ὁ ποιήσας τὸν ἀδὰμ θεὸς ἦν, ἢ οὔ. ὁ φιλόσοφος. Ναί θεός ἐστιν:

ὁ ἐπίσκοπος:

Ἐν τῇ βίβλῳ ἰώβ, ἐλιοὺμ ὁ βουζανίτης, λέγει πρὸς ἰώβ. πνεῦμα θεῖον τὸ ποιῆσάν με. εἰ οὖν θεός ἐστιν ὁ ποιήσας τὸν ἀδάμ, τί εἴποις τὸν ποιήσαντα τὸν ἐλιούμ. ἢ ἑτεροφυοῦς δοκεῖ σοι εἶναι ὁ ἐλιοὺμ τοῦ ἀδάμ. τῶν γὰρ δημιουργημάτων, ἐπὶ τῆς ἴσης ἐπιστήμης, τὸ ἰσοσθένειον τοῦ συμπεράσματος, φανερωθῆς πέφυκεν, ἐπὶ τὸ τοῦ αὐτοῦ πρόσωπον. τί οὖν λέξεις φιλόσοφε τὸν ποιήσαντα τὸν ἐλιούμ, ἆρα οὐχὶ θεὸν καὶ ποιητὴν αὐτοῦ; ὡς γὰρ ἔφη περὶ τοῦ ποιήσαντος τὸν ἀδάμ, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἀδάμ, οὕτως εἰπεῖν ἡμᾶς δίκαιον, καὶ περὶ τοῦ ποιήσαντος τὸν ἐλιούμ. ὅτι θεὸς τὸ ἅγιον πνεῦμα ὄν, ἴση τῆς δημιουργίας ἡ πλάσις, ἴση καὶ ἡ τῶν δημιουργῶν προσηγορία, εἴπερ μία θεότης τῆς ἁγίας τριάδος, ἐν τρισὶν ὑποστάσεσι τελείαις καὶ ἴσαις νοουμένη.* τό, ὅτι καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον. καὶ τό, θεῖον πνεῦμα τὸ ποιῆσαν τὸν ἐλιούμ. ἐν βίβλῳ δὲ ἀναλήψεως μωσέως, μιχαὴλ ὁ ἀρχάγγελος, διαλεγόμενος τῷ διαβόλῳ λέγει. ἀπὸ γὰρ πνεύματος ἁγίου αὐτοῦ, πάντες ἐκτίσθημεν. καὶ πάλιν λέγει, ἀπὸ προσώπου τοῦ θεοῦ ἐξῆλθε τὸ πνεῦμα αὐτοῦ, καὶ ὁ κόσμος ἐγένετο. ἀχώριστος γὰρ ἀεὶ ἡ θεία καὶ ἄρρητος τριάς.

*κατὰ τὸ

ὅ, τε πατὴρ, καὶ ὁ υἱός, καὶ τὸ ἅγιον πνεῦμα. δημιουργήσασα ἅμα πᾶσαν τὴν κτίσιν. τήν τε νοητὴν, καὶ τὴν αἰσθητήν. λέγει γὰρ ἐν τῷ λβ^ω ψαλμῷ, τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. ἄκουε δὴ τοῦ θεοῦ ἐν ἡσαΐᾳ λέγοντος. ἐγὼ κύριος ὁ θεός σου, ὁ ἐπακουσόμενός σου. θεὸς ἰσραήλ. εἰπὼν δὲ περὶ τῶν ἐνεργειῶν, τὰ πρὸς τὸν λαὸν ἐπάγει λέγων. ἵνα ἴδωσι, καὶ νοήσωσι, καὶ ἐπίστωνται ἅμα, ὅτι χεὶρ κυρίου ἐποίησε πάντα ταῦτα. καὶ ὁ ἅγιος τοῦ ἰσραὴλ κατέδειξεν αὐτά. χεῖρα φησὶ τὸ ἅγιον πνεῦμα τοῦ θεοῦ. ἅγιον δὲ τοῦ ἰσραήλ, τὸν υἱὸν αὐτοῦ. καὶ πάλιν πρὸς ἰακὼβ εἶπεν. ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν. καθὰ καὶ ἰεζεκιὴλ λέγει. ἐγένετο χεὶρ κυρίου ἐπ' ἐμέ. εἴωθεν ἡ γραφὴ ὦ φιλόσοφε, ἢ χεῖρα. ἢ βραχίονα καλεῖν τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ. δεξιὰν δὲ τὸν υἱὸν αὐτοῦ.

Ἔτι οἱ αὐτοὶ περὶ ἁγίου πνεύματος, διαλεγόμενοι ἐπισκόπῳ, καισαρείας καππαδοκίας.

Ἱκανὰ μὲν τὰ λεχθέντα, περὶ τῶν ἐνεργειῶν τοῦ ἁγίου πνεύματος. πεῖσαι φιλόσοφε, ὅτι συνδημιουργὸν τῷ πατρὶ καὶ τῷ υἱῷ, πάσης τῶν κτιστῶν φύσεως, καὶ τῆς αὐτῆς θεότητος καὶ οὐσίας, ἧς ὁ πατὴρ καὶ ὁ υἱός. ἐπιστήσας οὖν τὸν νοῦν σου, ἐκ τῶν προλεχθέντων, ἄκουε καὶ νῦν σαφεστέρας ἀποδείξεις περὶ αὐτοῦ, ἐκ τῶν ἱερῶν γραφῶν. λέγει ὁ προφήτης δαβὶδ ἐν τῷ ἐνενηκοστῷ ἑβδόμῳ ψαλμῷ, ᾄσατε τῷ κυρίῳ ᾆσμα καινόν. διατί; ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος. ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ. ἀντὶ τοῦ, ὁ υἱὸς αὐτοῦ. καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ. τὸ πνεῦμα λέγων τὸ ἅγιον. καὶ ἐν καθολικαῖς δὲ ἰωάννης ὁ εὐαγγελιστὴς βοᾷ, περὶ τοῦ πνεύματος τοῦ ἁγίου, θεολογῶν αὐτός, καθὰ καὶ πάντες. τὸ πνεῦμα ἐστὶν ἡ ἀλήθεια. καὶ μετ' ὀλίγα. ὁ πιστεύων φησὶν εἰς τὸν υἱὸν τοῦ θεοῦ, ἔχει τὴν μαρτυρίαν τοῦ θεοῦ ἐν ἑαυτῷ. ἀντὶ τοῦ, τὸ πνεῦμα τοῦ θεοῦ. ὁ δὲ μὴ πιστεύων τῷ υἱῷ, ψεύστην πεποίηκεν αὐτόν. καὶ ὁ μέγας δὲ τῶν ἀποστόλων πρόβολος ὁ θεῖος πέτρος, φησὶ πρὸς ἀνανίαν, ἵνα τί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον. καὶ μετ' ὀλίγα. οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ θεῷ. καὶ ἐν τῇ παλαιᾷ πάλαι, τὸν οὐρανόν, καὶ τὴν γῆν φησὶν, ἐγὼ πληρῶ λέγει κύριος: καὶ ὁ σολομῶν δὲ διακρινεῖ τίς ὁ πληρῶν λέγει. πνεῦμα κυρίου πεπλήρωκε τὴν οἰκουμένην: πείθου τοίνυν καὶ περὶ τῆς τοῦ ἁγίου πνεύματος δεσποτείας. καὶ δέχου καὶ τὰς περὶ αὐτοῦ μαρτυρίας. πιστεύων, ὅτι τῆς αὐτῆς θεότητος

καὶ οὐσίας

καὶ θυσίας, καὶ τοῦ αὐτοῦ χρήματος τὸ πνεῦμα τὸ ἅγιον, ὥσπερ ὁ
πατὴρ καὶ ὁ υἱός· συνυπάρχων ἀεὶ τῷ πατρὶ καὶ τῷ υἱῷ: ἀπόκρισις φιλοσόφου.

ἀπόκρισις τοῦ φιλοσόφου, πρὸς τοὺς ἁγίους ἡμῶν πατέρας:

Οὐκοῦν καθὼς φατὲ, καὶ αἱ μαρτυρίαι δὲ τῶν γραφῶν, ὧν πα-
ρηγάγετε δηλοῦσι, θεολογεῖν δεῖ καὶ τὸ πνεῦμα τὸ ἅγιον· καί μοι
δοκεῖ βεβαιουμένην εἶναι τὴν ἔννοιαν. εἰ μὴ τὰ τῶν γραφῶν
ὑφ' ὑμῶν παρήλθη· πλὴν τὸ μὲν περὶ ἐλέγχου τοῦ βουζαντίου, σαφὴς
ἡ ἀπόδειξις. περὶ δὲ τῆς ῥηθείσης ἀναλήψεως μωσέως, περὶ
ἧς ἀρτίως εἰρήκατε, οὐδὲ ἀκήκοειν ποτέ, εἰ μὴ νῦν· ὅθεν
αἰτῶ ὑμᾶς, σαφέστερόν μοι τῶν λεχθέντων παραστῆσαι τὴν σύστασιν.
πρὸς ἐντελεστάτας γὰρ πληροφορίας περὶ τοῦ πνεύματος οὐκ αὐτάρκη μοι
τὰ ἤδη παρ' ὑμῶν λεχθέντα. λεπτοτέρας γὰρ δεῖται *φράσεως, καὶ   ἐκφράσεως
γενναιοτέρας ἡ ὑπόθεσις. οὐ γὰρ περὶ τῶν τυχόντων ἡ ζήτησις:

ἀπόκρισις, τῶν ἁγίων ἡμῶν πατέρων, διὰ τοῦ αὐτοῦ
ἐπισκόπου λεοντίου, πρὸς τὸν φιλόσοφον.

Πολλῆς οὔσης τῆς τῶν εἰρημένων σοι ἀποδείξεως, καὶ ἐνεργεστάτων
τῶν μαρτυριῶν τῶν ἐκ τῶν θείων γραφῶν πεῖσαί σε δυναμένων, περὶ τῆς
προκειμένης ὑποθέσεως ὦ φιλόσοφε, θαυμάζομεν, πῶς τοσαύτης
συνέσεως δοκῶν ἔμπλεως εἶναι, ἔτι ἀμφιβάλλεις. ἀλλ' ἐπειδή σε
πρὸς τὴν ἀλήθειαν βλέπειν ἐθέλομεν, καὶ τοῦτο εὐχόμεθα, παραι-
νοῦμέν σοι τῇ συνέσει, ἀρξάσθαι πίστει νοεῖν τὴν ἄδηλον φύσιν ἐκείνην,
καὶ ἄτρεπτον, καὶ μὴ ἀνθρωπίνοις λογισμοῖς ὡς πολλάκις εἰρήκαμεν
πολυπραγμονεῖν *κατὰ τόλμαν τὰ ὑπὲρ νοῦν. μηδὲ ταῖς κακοδόξοις   κατατόλμα
καὶ ἀσεβέσιν ἐννοίαις ἀρέσκου συμφέρεσθαι, ἐπὶ πλεῖον ὅσον ἀνέχου· φι-
λόσοφος ὤν, ὡς φῇς φιλόσοφε. ἀλλὰ δέχου πιστῶς, ὡς ἀρτίως εἰρή-
καμεν, τά τε νῦν ῥηθέντα σοι, τά τε μέλλοντα ῥηθήσεσθαι. δέχου
μίαν θεότητα τοῦ πατρὸς, τοῦ γεννήσαντος τὸν υἱὸν ἀνεκφράστως· καὶ
τοῦ υἱοῦ τοῦ γεγεννημένου ἐξ αὐτοῦ· καὶ τοῦ ἁγίου πνεύματος· τοῦ ἐκπορευομένου,
ἐξ αὐτοῦ τοῦ πατρός. ἴδιον δὲ ὄντος τοῦ υἱοῦ, καθά φησιν ὁ θεῖος ἀπόστολος
παῦλος. εἴ τις πνεῦμα χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ, καὶ ἀλλαχοῦ ὁ αὐτός
ὁ δὲ κύριος τὸ πνεῦμά ἐστι. καὶ πάλιν. διαιρέσεις δὲ χαρισμάτων εἰσί· τὸ
δὲ αὐτὸ πνεῦμα. καὶ διαιρέσεις διακονιῶν εἰσίν· ὁ δὲ αὐτὸς κύριος. καὶ
διαιρέσεις ἐνεργημάτων εἰσίν· ὁ δὲ αὐτὸς θεὸς ὁ ἐνεργῶν τὰ πάντα
ἐν πᾶσι. καὶ μετὰ πολλά. πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ
τὸ αὐτὸ πνεῦμα. διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. ἰδοὺ ὦ

φιλόσοφε· σαφεστάτη καὶ τρανοτέρα ἀπόδειξις, θεολογοῦσα
τὸ πνεῦμα τὸ ἅγιον· δεικνύουσα αὐτοῦ τὴν αὐτεξουσιότητα· ὅρα
πῶς ὧδε λέγει· διαιρέσεις δὲ ἐνεργημάτων εἰσίν· ὁ δὲ αὐτὸς θεός, ὁ ἐνερ-
γῶν τὰ πάντα ἐν πᾶσι· καὶ τὸ πάντα δὲ ταῦτα ἐνεργεῖ, τὸ ἓν καὶ τὸ
αὐτὸ πνεῦμα· διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. καὶ ὁ Χριστὸς δὲ ἐν
εὐαγγελίοις ὡς ἴσασι σαφῶς, διαλεγόμενος περὶ τὴν Σαμαρεῖτιδα,
τί φησι· πνεῦμα ὁ θεός· εἰ οὖν πνεῦμα ὁ θεός, πάντως θεὸς καὶ τὸ πνεῦμα. ἀλλ' οὐκ ἄλλος,
καὶ ἄλλος. ἀλλὰ μία θεότης τῶν τριῶν προσώπων, κατὰ τὴν τῶν ὑποστά-
σεων ἔννοιαν. ἀλλὰ πρόσωπον ἀκούοντες, μὴ ἀνθρωπόμορφον τὸ θεῖον
ὑπολάβωμεν. ἀσώματον γὰρ καὶ ἀσχημάτιστον, καθὼς καὶ ἐν ἀρχῇ τῶν
λόγων, καὶ αὐτὸς ὡς ἡμεῖς καθωμολογήσθη. καὶ γὰρ καὶ ὁ οὐρανός, καὶ ἡ γῆ
πρόσωπον ἔχειν μεμαρτύρηται· καθὰ αὐτὸς ὁ Χριστὸς ἐν εὐαγγελίοις,
πρὸς τοὺς γραμματεῖς καὶ Φαρισαίους διαλεγόμενος ἔφη· ὑποκριταί
τὸ πρόσωπον τοῦ οὐρανοῦ, καὶ τῆς γῆς οἴδατε δοκιμάζειν. καὶ
τὰ ἑξῆς. πᾶν γὰρ τὸ ὑφεστός, ἐφ' ὅσον ὑφίσταται, πρόσωπον
ἔχειν λέγεται τῆς οἰκείας φύσεως. ἤτοι σχῆμα. ἀλλὰ μὴν ὁ οὐρανὸς
καὶ ἡ γῆ, κτιστά, καθὰ καὶ πᾶσα ἡ τῶν γενητῶν φύσις. ἡ δὲ θεία
καὶ ἄρρητος οὐσία, ἄκτιστος, ἐπείπερ ἁπλῆ καὶ ἀσώματος, καὶ ἀσχη-
μάτιστος. ἀΐδιός τε καὶ ἀθάνατος. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπα-
νέλθωμεν: ἀπεδείξαμεν διὰ πλειόνων τῶν ἐκ τῶν θείων γραφῶν
μαρτυριῶν, συνδημιουργὸν τῷ πατρί, καὶ τῷ υἱῷ, πάσης κτίσεως ὁρω-
μένης, τε καὶ νοουμένης εἶναι τὸ πνεῦμα τὸ ἅγιον. ἐπείπερ καὶ ἀχώ-
ριστον ἀεί ἐστι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. καθὰ καὶ ὁ υἱὸς τοῦ πατρός. καὶ ὁ πατὴρ
τοῦ υἱοῦ. δεῦρο δὲ εἰ δοκεῖ, λάμβανε καὶ δι' ὑποδειγμάτων, εἰ καὶ
ἀσθενεστέρων, χρυσᾶς ὑποθήκας. ὁ λόγος ὁ σὸς καθὰ καὶ παντὸς ἀνθρώπου,
προφορικὸς μέν ἐστι· γεννᾶται δὲ ἀτρέπτως, καὶ ἐκ τοῦ σοῦ νοῦ. ὁμοίως
καὶ τὸ πνεῦμα σου. καὶ ἐκπορεύεται ἐκ σοῦ. καὶ οὐκ ἂν οὐδὲ τὸν λόγον
σου, οὔτε τὸ πνεῦμά σου εἴποις ἀλλότριόν σου. καὶ ταῦτα μὲν οὐκ ἂν ἀπαξι-
ώσῃς ἐπ' ἀνθρώπων νοεῖν. ἐπὶ δὲ τῆς ἀρρήτου καὶ ἀπερινοήτου, καὶ ἀκα-
ταλήπτου οὐσίας ἐκείνης τοῦ θεοῦ, ἀλλότριον τὸν οὐ προφορικὸν
αὐτοῦ λόγον, ἀλλὰ ζῶντα ἀεὶ καὶ ἐνεργῆ. καὶ τομώτερον ὑπὲρ πᾶσαν
μάχαιραν δίστομον. κριτήν τε πάντων ὄντα, ἐπείπερ καὶ δημιουργόν ᾧ
οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ τε-
τραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. καὶ τὸ πνεῦμα αὐτοῦ τὸ
ἅγιον, τὸ ἐρευνῶν καὶ τὰ βάθη τοῦ θεοῦ, τολμᾷ τις ἀλλότριον

εἶναι εἰπεῖν.

εἶναι εἰπεῖν, ἢ τοῦ λόγου, ἢ τὸ πνεῦμα τοῦ θεοῦ. ἢ τοὺς ταῦτα λέγοντας πεποίεσθε; καὶ φιλόσοφε.

ἀπόκρισις τοῦ φιλοσόφου, πρὸς τὸ κοινὸν τῶν ἁγίων ἐπισκόπων

Ἐπειδὴ εἰς ὑψηλοτέραν ἔννοιάν με ἠγάγετε, φήσαντες δεῖν μίαν θεότητα νοεῖσθαι καὶ πιστεύεσθαι τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἐπιμέμνημαι δὲ τῶν παρ' ὑμῶν ἔμπροσθεν ῥηθέντων, ὅτι θεὸς ὁ πατὴρ, καὶ θεὸς ὁ υἱὸς, καὶ θεὸς τὸ πνεῦμα τὸ ἅγιον. νῦν δὲ φατὲ μίαν θεότητα τῶν τριῶν τελείων ὑποστάσεων, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, λευκοτέραν σαφηνίσατέ μοι τὰς ῥήσεις, παρακαλῶ.

ἀπόκρισις τῶν ἁγίων πατέρων, πρὸς τὸν φιλόσοφον, διὰ τοῦ αὐτοῦ λεοντίου τοῦ ἐπισκόπου:

Ἀνέκφραστός ἐστιν, ἐπείπερ καὶ ἀπερινόητος, καὶ ἀνεπιλόγιστος, καὶ πάντη ἀνεξιχνίαστος, ἡ θεία καὶ ἄρρητος οὐσία ἐκείνη, ἡ τὰ πάντα ὑπερέχουσα, καὶ τὰ πάντα περιέχουσα. πλὴν ἄκουε παρ' ἡμῶν. οὐκ ἄλλον οὖν θεὸν καὶ ἄλλον εἰρήκαμεν, καθάπερ καὶ ὁ ἀσεβὴς ἐβλασφήμησεν ἄρειος. ἕνα θεὸν ἄκτιστον. καὶ ἄλλον κτιστὸν εἰρηκώς. καὶ τὸ πνεῦμα τοῦ θεοῦ ὁμοίως κτιστὸν κεκηρυχώς. μὴ γένοιτο. ἀλλὰ μίαν θεότητα νοεῖσθαι, καὶ πιστεύεσθαι εἰρήκαμεν. μίαν οὐσίαν. κυριότητά τε καὶ βασιλείαν μίαν τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. εἰδέναι, τε τὰς τῆς ἁγίας τριάδος ὑποστάσεις, οὐ διεζευγμένας. οὐδὲ τοπικῶς, ἀλλὰ πίστει μόνῃ, μίαν θεότητα νοεῖσθαι, καὶ πιστεύεσθαι, καθὰ καὶ πολλάκις εἰρήκαμεν, τῆς ἁγίας καὶ ὁμοουσίου, καὶ προσκυνητῆς τριάδος. ἰδοὺ, διὰ πάντων ἔδειξεν ἡ ἀληθὴς πίστις, μὴ δεῖν ἐπὶ τῆς ἁγίας τριάδος νοεῖν διαφοράν. ὧδε δέ μοι κάθες σου τὸν νοῦν δοῦναι ἡμῖν ἐθέλησον, καὶ πιστωθήσῃ ἐπὶ πλεῖον. δεχόμενος ὑπὸ τοῦ ἁγίου πνεύματος δι' ἡμῶν, ἃς ὠδίνεις ὑποθήκας. ἵνα γνῷς τῆς ἁγίας τριάδος μίαν θεότητα ἀεὶ οὖσαν, καὶ ὑφεστῶσαν τριάδα ἀληθῶς τριάδα. καὶ μηδὲν ἐν αὐτῇ προϋπάρχον ποτέ. ἀλλὰ ἀεὶ, καὶ ὡσαύτως οὖσαν ἀδιαίρετον, καὶ ὁμοούσιον τριάδα:· ἀπόκρισις, τοῦ φιλοσόφου.

Μὴ ἡμᾶς οἴεσθε ἀποστρέφεσθαι τὰ τῆς ἀληθείας δόγματα. ἦ γὰρ ἂν ἐκ πρώτης καταρχῆς τῶν λόγων, παρῃτησάμην ὑμῶν τοὺς λόγους. ἀλλὰ διὰ τοῦτο ἐρευνῶ τὰς τῶν νοημάτων ὑμῶν σημασίας, ἵνα σαφέστερά μοι, καὶ διευκρινὴς γένηται, ἡ τῶν λεγομένων παρ' ὑμῶν ὑπόθεσις.

ἀπόκρισις τῶν ἁγίων πατέρων ὑποθετικὴ πρὸς τὸν φιλόσοφον περὶ πυρὸς καὶ ἀπαυγάσματος, καὶ φωτὸς, διὰ τοῦ αὐτοῦ λεοντίου ἐπισκόπου:

Ἄκουε δὴ καὶ νῦν ἄκουε ὦ φιλόσοφε· ἤδη παρεθέμεθά σου τῇ δια-
νοίᾳ, διὰ πλείστων ὅσων τῶν ἐκ τῶν θείων γραφῶν, ὅτι ἡ θεότης ἁπλῆ τίς
ἐστι καὶ ἀσύνθετος· ὡς καὶ αὐτὸς καθωμολόγησας, ἐν ἀρχῇ σου τῶν
προτάσεων· καὶ ὅτι πῦρ ἀθάνατόν τε καὶ ἀΐδιον, καὶ ἄκτιστον οὖσα τῇ
φύσει, φῶς τε ἀχώριστον, καὶ ἀκατάληπτον, καὶ οὐκ ἐν ἑνὶ προ-
σώπῳ κατὰ τὸ δοκοῦν Ἰουδαίοις νοουμένη· ἀλλ' ἐν τριάδι, ἀεὶ, ἀχω-
ρίστοις οὖσι προσώποις, παρὰ πᾶσι Χριστιανοῖς πεπίστευται καὶ κη-
ρύττεται ἡ ἀχώριστος τριὰς, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου
πνεύματος, καθάπερ ἀποδέδεικται. μάνθανε δὲ καὶ νῦν ὦ φιλόσοφε, εἰ
καὶ τολμηρὸν ποιοῦμεν. ἀλλὰ ἵλεως ἡμῖν ἡ θεία μεγαλειότης.
ὑπὲρ γὰρ τῆς σῆς καὶ τῶν λοιπῶν σωτηρίας ὁ πόνος ἡμῖν διανύεται.
μάνθανε τοίνυν ἐκ τῶν αἰσθητῶν, περὶ τῶν νοητῶν, καὶ ἐκ τῶν κατὰ
νοῦν, περὶ τῶν ὑπὲρ νοῦν· καὶ ἐκ τῶν λεγομένων, περὶ τῶν ὑπὲρ λόγον.
εἰ καὶ ἀσύγκριτα πάντα, τά τε ὁρώμενα, τά τε νοούμενα, τῶν τε
οὐρανίων καὶ ἐπιγείων, καὶ καταχθονίων κτισμάτων, πρὸς τὴν ἄκτιστον ἐκεί-
νην καὶ ἀκατάληπτον, καὶ ἀθάνατον τοῦ θεοῦ οὐσίαν. πλὴν τὸ ἐμπεσὸν
ὑπόδειγμα, οὐ μέτριον πρὸς ὠφέλειαν τοῖς πιστῶς δεχομένοις· ἀλλ'
ἱκανὴν εἰκόνα παρέχον τῆς εὐσεβείας, τοῖς εὐσεβῶς ἐθέλουσι
νοεῖν, λέξομεν. τὸ αἰσθητὸν τοῦτο πῦρ, φύσις μία ὄν, ἤτοι οὐσία,
τρίας ἐστὶ κατὰ ταυτό· πῦρ· ἀπαύγασμα· φῶς· καὶ οὐδὲν τούτων
προϋπάρχον τοῦ θατέρου εὑρίσκεται. ἀλλ' ἔστιν ἀχώριστα τὰ τρία
ἀλλήλων. καὶ δεῖξον ἡμῖν θάτερον θατέρου προϋπάρχον· ἢ τοῦ ἀπαυ-
γάσματος τὸ πῦρ καθ' ἑαυτὸ προϋπάρχον, καὶ μεταγενέστερον
μετὰ χρόνους τινὰς τοῦ πυρὸς τὸ ἀπαύγασμα. ἢ μεταγενέστερον
πάλιν, ἢ μεταχρόνιον τοῦ πυρὸς, καὶ τοῦ ἀπαυγάσματος τὸ φῶς,
ἢ προχρόνιον δεῖξον ἡμῖν εἰ δύνῃ, διαχωρίσας ἀπ' ἀλλήλων τὰ
τρία, καὶ μὴ οὐκέτι ὡσαύτως ὂν πῦρ· ἀπαύγασμα· φῶς, μιᾶς οὔσης
τῆς τοῦ πυρὸς φύσεως. ταῦτα κατὰ νοῦν λαβὼν τὰ αἰσθητὰ
καὶ κτιστὰ, εἰ καὶ ἀσύγκριτα ὡς καὶ ἀρτίως εἰρήκαμεν, πρὸς τὴν
ἀΐδιον καὶ ἄκτιστον τοῦ θεοῦ οὐσίαν, πλὴν δέχου ἐκ τούτων, ἀφορμὰς
σωτηρίους. καὶ πτερώσας τῇ πίστει τὸ τῆς διανοίας σου ὄμμα, ἀνά-
βηθι ἐπὶ τὴν ὑψηλὴν τοῦ θεοῦ ἐπίγνωσιν. καὶ ἀπαντήσει σοι, ὥς
γε εὐχόμεθα καὶ πιστεύομεν, ἐναστράπτουσά σοι ἡ χάρις, ἡ τοῦ πατρὸς,
καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. δεικνύουσά σοι μίαν θεότητα, πῦρ
οὖσαν ἀθάνατον, καὶ ἀπαύγασμα, καὶ φῶς, ἁπλῆν καὶ ἀσύνθετον.

ἀχώριστον.

ἀχώριστον· ἀδιαίρετον· ἀπερινόητον· καὶ ἀνέκφραστον, τριάδα ἀληθῶς ὁμοούσιον· τὴν τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

ὅπου πιστεύει ὁ φιλόσοφος, εἰς τὴν ἁγίαν τριάδα.

Ταῦτα ἀκούσας ὁ φιλόσοφος, καὶ ὡς ἐν ἐκστάσει γενόμενος, ἀπηνεώθη ἐπὶ πλεῖστον ὅσον. καὶ οἱ διαλογισμοὶ αὐτοῦ, συνετάραττον αὐτόν· φόβος τε πολὺς ἐπέπεσεν ἐπ' αὐτόν. εἶτα εἰς ἑαυτὸν ἐλθὼν, ἀνεκραύγασε μέγα, εἰπὼν, δόξα σοι ὁ θεὸς, ὁ ἐμπνεύσας τούτοις τοῖς ἁγίοις σου, τὸ ὑπὲρ πάντα νοῦν μυστήριον, τῆς ἀχράντου, καὶ ἀχωρίστου, καὶ ἀκτίστου θεότητος· ἀλλὰ δέομαί σου,* ὥσπερ ἀγαθοῦ πατρὸς παναγαθος υἱὸς, παρ' οὗ ἅπερ εἰς σὲ ὑπαχθεὶς τῶν ἀσεβῶν παρὰ τοῦ ἀρείου δόξαις, ἥμαρτον. καὶ μὴ ἐκπαραδοθήσομαι δίκας παρὰ σοὶ τῷ δικαίῳ κριτῇ, ὑπὲρ τῶν ἀσεβῶν ῥημάτων ἐκείνων, ὧν κατὰ σοῦ ἀπέφηνα ὁ τάλας. ναὶ ἀρείῳ καὶ τῇ συμμορίᾳ αὐτοῦ τῇ ἀσεβεῖ, βλασφημήσασιν εἰς τὸν υἱὸν τοῦ θεοῦ· λέγουσιν ἦν ποτὲ ὅτε οὐκ ἦν. καὶ ὅτι κτίσμα καὶ ποίημα, καὶ ἐξ ἑτέρας οὐσίας ὁ υἱὸς τοῦ θεοῦ, καὶ τὸ πνεῦμα τὸ ἅγιον. καὶ μὴ τῆς αὐτῆς οὐσίας* ἢ ὁ πατὴρ εἰρηκόσι τὸν υἱὸν τοῦ θεοῦ, καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἀναθεματίζω νῦν, καὶ πάντοτε ἄρειον, καὶ τὰς ἀσεβεῖς αὐτοῦ δόξας, καὶ τοὺς τὰ αὐτοῦ φρονοῦντας πάντας. καὶ τοὺς βλασφημοῦντας, κατά τε τοῦ πατρὸς, κατά τε τοῦ υἱοῦ, καὶ κατὰ τοῦ ἁγίου πνεύματος. ὁ γὰρ τὸν υἱὸν μὴ ἔχων, οὐδὲ τὸν πατέρα ἔχει. καὶ ὁ εἰς τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον βλασφημήσας, εἰς τὸν πατέρα ἐβλασφήμησε· καθικετεύω τὴν ὑμετέραν ἱερὰν γερουσίαν, βοηθῆσαί μοι, διὰ τὸν ὑπὲρ ἐμοῦ πατέρα τὸν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ ἱκεσιῶν ὑμῶν; ἀκολουθεῖν τι μάλιστα τοῖς δι' ὑμῶν ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκλεχθεῖσι καὶ ὁριζομένοις· καὶ ὁμολογῶ ταῦτα ἀληθῆ εἶναι καὶ βέβαια. τοῦτο γὰρ πιστεύω εἶναι, ὅπερ ὁ ἱεροφάντης εἶπε παῦλος. τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων. καὶ ἀπὸ γενεῶν. ὃ νῦν ἀπεκαλύφθη, καθὼς εἴρηται τοῖς ἁγίοις αὐτοῦ ἀποστόλοις καὶ προφήταις, καὶ ὑμῖν ἐν πνεύματι ἀεὶ ὄντα καὶ συνυπάρχοντα. καὶ συνδιαιωνίζοντα τῷ θεῷ καὶ πατρί, τὸν υἱὸν αὐτοῦ, καὶ τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον:-

ὦ
ἧς

προσάγοντες οἱ ἅγιοι πατέρες εἶπον πρὸς τὸν φιλόσοφον, περὶ πηγῆς, καὶ ποταμοῦ, καὶ ὕδατος. διὰ τοῦ αὐτοῦ λεοντίου ἐπισκόπου.

Κἀκεῖνο δὲ νουνεχὲς ὦ φίλε λοιπὸν τῆς ἀληθείας φιλόσοφε πηγὴν νοήσωμεν γεννῶσαν ποταμὸν ὕδατος. πᾶς γὰρ ποταμὸς ὡς οἶδας, πηγὴν ἔχει γεννήτορα. εἶτα προέρχεται μὲν ὁ ποταμὸς τοῦ ὕδατος. ἀλλ' οὐδεὶς καλεῖ τὸν ποταμὸν πηγὴν, ἢ τὴν πηγὴν ποταμόν. ἀλλ' ἡ πηγὴ, πηγὴ καλεῖται. καὶ ὁ ποταμὸς, ποταμός, καὶ ἀμφότερα

ἐν ὕδωρ. ἐπὰν δὲ τις ἐθέλη ἀρρύσασθαι ἐκ τοῦ ποταμοῦ ἢ τῆς πηγῆς ὕδωρ,
μεταβάλλει τὴν προσηγορίαν. οὐκ ἐρεῖ γάρ, ἄπελθε, πορευθεὶς ἄντλησον
καὶ φέρε μοι, τὴν πηγήν, ἢ τὸν ποταμόν, ἀλλ' ὕδωρ. καὶ μία μὲν ἡ φύ
σις. τρία δὲ πρόσωπα λεκτέα. πηγὴ ποταμός. ὕδωρ. ἀλλὰ καὶ ἡ θεία
γραφὴ ταῦτα φράζουσα δείκνυται. οὐ γὰρ ἀλλότρια ταύτης ἡμεῖς οὐ
φθεγγόμεθα, γνήσιον λοιπὸν τέκνον, εἰ καὶ ὡς ἐν ὑποδείγμασι καὶ τύ
ποις, καὶ εἰκόσι τῆς ἀληθείας, τὸν λόγον εἰσηγησάμεθα. λέγει οὖν περὶ
τοῦ υἱοῦ ἡ θεία γραφή, κλινῶ φησὶν ἐπ' αὐτούς, ὡς ποταμὸς εἰρήνης
ἐκπορευόμενος. δηλονότι, ἐκ τῆς ἀληθοῦς πηγῆς τῆς ζωῆς, τῆς τοῦ
πατρὸς θεότητος. καθὰ φησὶν αὐτὸς ὁ χριστὸς ἐν εὐαγγελίοις βοᾷ. ἐγὼ
ἐκ τοῦ πατρὸς ἐξῆλθον, καὶ ἥκω. κἀκεῖνο δὲ ὅπερ ἔφη λευκότατον,
ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. καὶ τό, ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί.
καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὅτι ἐξ αὐτοῦ λαμβάνομεν ἅπαντες οἱ πιστοί,
τῆς αὐτῆς ὂν οὐσίας, ἧς ὁ πατὴρ καὶ ὁ υἱός. ἐκπορευόμενον μὲν ἐκ τοῦ
πατρός, ἴδιον δὲ ὂν τοῦ υἱοῦ. καθάπερ ἀνωτέρω ἀπεδείξαμεν. ὅτι δὲ
ἐξ αὐτοῦ ἀναβλύζον ἡμῖν ἐστί, σαφέστατα ἐν εὐαγγελίοις ἐδίδαξεν
αὐτὸς ὁ χριστός, εἰπών. ἐάν τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω. ὁ
πιστεύων εἰς ἐμὲ καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοι
λίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. οὓς ὁ εὐαγγελιστὴς θεόθεν ἐμπ
νευσθείς, τὸ ῥηθὲν ἑρμηνεύων ἐπιφέρει λέγων. τοῦτο δὲ εἶπε περὶ
τοῦ πνεύματος, οὗ ἤμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. καὶ ὁ προφή
της δὲ Δαβίδ, ὅρα τί περὶ ταύτης τῆς πηγῆς τῆς ὄντως ζωῆς τῆς
ἁγίας τριάδος βοᾷ. ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψό
μεθα φῶς. πηγὴν ζωῆς, τὸν θεὸν καὶ πατέρα καλῶν, πρὸς τὸν υἱὸν λέγων.
ἐπείπερ ὁ πατὴρ ἐν τῷ υἱῷ, καὶ ὁ υἱὸς ἐν τῷ πατρί. φῶς δὲ τὸν υἱὸν ὀνο
μάζων. ἐν δὲ φωτί λέγει ὀψόμεθα φῶς. τὸ πνεῦμα τὸ ἅγιον. ἐν γὰρ τῷ
φωτί σου φησίν, ὀψόμεθα φῶς. πηγὴ γὰρ ὄντως τῆς ζωῆς, καὶ τοῦ
φωτός, ὁ πατήρ. φῶς καὶ ὁ υἱός, ἐκ φωτὸς τοῦ πατρός. φῶς καὶ τὸ πνεῦμα
τὸ ἅγιον, ἐξ αὐτοῦ τοῦ φωτός. ἐπείπερ ὡς πολλάκις ἡμῖν δέδεικται,
μία θεότης, τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. καθὰ αὐτὸς βοᾷ
διὰ τοῦ προφήτου λέγων. ἐγώ εἰμι θεός, καὶ οὐκ ἔστιν ἄλλος. καὶ ἐγὼ
θεὸς πρῶτος. καὶ ἐγὼ μετὰ ταῦτα. καὶ εἰς τὸν αἰῶνα ἐγώ εἰμι. καὶ
τὰ ἑξῆς. καὶ κατὰ τὰ ἀποδειχθέντα, ἀναγκαῖον γάρ οἶμαι, ἐπα
ναλαβεῖν τὰς ῥήσεις, εἰ καὶ μὴ πάσας διὰ τὸ πλῆθος, ἀλλ' οὖν

τὰς σαφεστέρας,

τὰς σαφεστέρας, πρὸς τὸ, βεβαιοτέραν τὴν σύστασιν ἔχειν τὰ εἰρημένα. τὰ οὖν ἐκ στόματος ἱερεμίου τοῦ προφήτου παραθήσομεν· ὁ κατασκευάσας τὴν γῆν φησὶν εἰς τὸν αἰῶνα χρόνον. ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπόδων. ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται. ἐκάλεσεν αὐτὸ, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ. οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν, καὶ ηὐφράνθησαν. ἐκάλεσεν αὐτοὺς καὶ εἶπαν πάρεσμεν. ἔλαμψαν μετ' εὐφροσύνης τῷ ποιήσαντι αὐτούς. οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. καὶ τὰ ἑξῆς. ἀναγκαίως οὖν ὦ θεοφιλέστατε φιλόσοφε, ἐπιστῆσαι ὧδε τὸν νοῦν, καὶ ἀναπτύξαι τῆς γραφῆς τὴν διάνοιαν.* ἔδειξε γὰρ καθὰ καὶ αὐτὸς συνωμολόγησας, ὅτι περὶ τοῦ υἱοῦ ταῦτα προείρηται. μετὰ ταῦτα γάρ φησιν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. εἰ οὖν κατὰ τὴν ἀσεβῆ μοχθηρίαν τοῦ ἀρείου, ἄλλη τίς οὐσία κτιστή ἐστι τοῦ υἱοῦ, καὶ μεταγενέστερος τοῦ πατρὸς θεοῦ. λέγει δὲ περὶ αὐτοῦ ἡ γραφή. οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν, οὐ θεὸς ὁ πῶς κατὰ τὴν ἀρείου ἀσέβειαν. ἐπείπερ λέγει περὶ τοῦ υἱοῦ, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· καὶ ἐλέγχονται οἱ ἀσεβεῖς ἀρειομανῖται, σὺν τῷ τῆς βλασφημίας αὐτῶν αὐθέντῃ, πρὸ τῆς περὶ τοῦ υἱοῦ ἀρνήσεως, αὐτὸν τὸν πατέρα ἐκβάλλοντες τῆς θεότητος, καὶ ἄθεοι παντελῶς εὑρίσκονται, οἱ τῆς ἀληθείας πολέμιοι. ὁ γὰρ τὸν υἱὸν μὴ ἔχων κατὰ φησὶν ἐν καθολικαῖς, οὐδὲ τὸν πατέρα ἔχει. ἡ δὲ καθολικὴ πίστις, μίαν θεότητα οἶδε. καὶ ταύτην πρεσβεύει. τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. παρ' ἣν οὐ λογισθήσεται ἑτέρα. τὸ δὲ μυστήριον τοῦτο τῆς ἁγίας, καὶ προσκυνητῆς, καὶ ὁμοουσίου τριάδος, ἀπερινόητον, καὶ ἀνέκφραστον, καὶ πάντῃ ἀκατάληπτον ὑπάρχει. πίστει μόνῃ, νοεῖσθαι δυνάμενον.•

[δείξει]

καὶ ὁ φιλόσοφος.

Θεῖον, ὡς ἀληθῶς, καὶ φωτὸς ἔμπλεα, τὰ παρὰ τοῦ ἁγίου πνεύματος δι' ὑμᾶς ἐκφωνηθέντα. δέομαι δὲ ὑμῶν, ἐρασμίων μοι ὄντων τῶν ἱερῶν τῆς διδασκαλίας ὑμῶν λόγων, ὑπόσχετέ μοι τὰς ἐναργεῖς ὑμῶν ἀκοάς. καὶ πρὸς ἃ ἐπερωτῶ διδάξατε. ἵνα πληρεστάτην λήψησθε παρὰ τοῦ θεοῦ, τὴν ὑπὲρ τῆς ἐμῆς σωτηρίας ἀμοιβήν.

ἀποκρίσεις, τῶν ἁγιωτάτων πατέρων, διὰ τοῦ αὐτοῦ ἐπισκόπου λεοντίου.

Εἰπὲ ὃ θέλει. ἐπιθυμητὸν γάρ ἡμῖν, πληροφορῆσαί σε ἐν πᾶσιν, ἐρωτηματολογημένου σου νῦν μάλιστα λέγεσθαι, τὰς ἀποδείξεις τῶν ζητήσεων, ἐλλαμφθέντες σου, ὑπὸ τοῦ ἁγίου πνεύματος.

εὐχαριστία τοῦ φιλοσόφου, καὶ ἐπερώτησις, περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως.

Χάρις ὑμῶν τῇ ἱερᾷ κεφαλῇ. φατὲ δέ μοι ὦ ἱερώτατοι, πῶς νοητέον, τὸ, τὸν θεὸν λόγον τὸν τοῦ θεοῦ υἱὸν ἐπὶ τῆς γῆς ὦφθαι, καὶ τοῖς ἀνθρώποις συνανεστράφθαι. ἀθέατον ὄντα πάσῃ κτιστῇ φύσει· ὁρωμένῃ τε καὶ νοουμένῃ. καὶ τίς ἡ αἰτία, δι᾽ ἣν ταῦτα ἐπραγματεύσατο, διδάξατέ παρακαλῶ.

ἀπόκρισις τῶν ἀρχιερέων, πρὸς τὸν φιλόσοφον, διὰ τοῦ ἐπισκόπου Λεοντίου:

Ἡ μὲν αἰτία τῆς αὐτοῦ παρουσίας, ᾠκονομήθη ὑπ᾽ αὐτοῦ, διὰ τὴν ἐν τῷ παραδείσῳ τῶν πρωτοπλάστων ἀνθρώπων, τοῦ τε Ἀδὰμ, καὶ τῆς Εὔας γεγεννημένην ἀπόπτωσιν. ἥτις ἅπαν τὸ ἀνθρώπινον ἐπενέμετο γένος. ἐπεὶ οὖν παραβάντες τὴν ἐντολὴν, τοῦ θείου χαρίσματος ἐστερήθησαν, τοῦτο ἀποδοῦναι ἠθέλησεν ὁ δημιουργὸς τῷ τῶν ἀνθρώπων γένει. καὶ νοητέον ἐνταῦθα, ὅτι ὥσπερ εἶπεν ὁ θεὸς ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον κατὰ τὰς προῤῥηθείσας ἀποδείξεις, ὁ αὐτὸς πάλιν εἶπε, σώσωμεν τὸν ἀπολωλότα ἄνθρωπον, ὃν κατ᾽ εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν ἐποιήσαμεν. καὶ ὥσπερ ὁ θεὸς καὶ πατὴρ εἶπε τὸ ποιήσωμεν. καὶ ὁ υἱὸς ἐδημιούργησε, θεὸς ὢν ἐκ θεοῦ, ὁ αὐτὸς πάλιν βουλῇ πατρικῇ, ἀνασῶσαι ἐν ἑαυτῷ ἠβουλήθη τὸν ἄνθρωπον.

ἐπερώτησις τοῦ φιλοσόφου περὶ τοῦ αὐτοῦ:

Καὶ πῶς ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη ὡς ἄνθρωπος τοῖς ἀνθρώποις, θεὸς ὢν ἀναλλοίωτος.

ἀπόκρισις παρὰ τῶν ἀρχιερέων, διὰ Μακαρίου ἐπισκόπου Ἱεροσολύμων.

Κατὰ τὴν φωνὴν τοῦ θεσπεσίου Παύλου, μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. ὃς ἐφανερώθη ἐν σαρκί. τουτέστιν ὁ τοῦ θεοῦ υἱός. τότε αὐτὸς ὤφθη καὶ ἀγγέλοις. οὐδὲ γὰρ ἀγγέλοις, ἢ ἀρχαγγέλοις, ἤ τισι τῶν ἐπουρανίων δυνάμεων θεατὸς ὁ μονογενής. ἐπείπερ θεὸν οὐδεὶς ἑώρακε πώποτε. εἴπερ τὴν ἐξ οὐρανῶν καταφοίτησιν ἀκούων, μὴ τοπικὴν μετάστασιν τῆς *ἀχωρίστου αὐτοῦ ἀποπληρώσεως θεότητος. οἰκονομίαν δὲ νόει τὸ ὅλον τοῦτο, τὸ μέγα ὡς ἀληθῶς τῆς εὐσεβείας μυστήριον, ἐν ᾧ ἀνεκαινίσθημεν. ἀνακαίνησις γὰρ γέγονε, καὶ νεότητος ἐπανάληψις.

ἀχωρήτου

διὰ δὲ

Διὰ δὴ τοῦτο ἀποδιδοὺς ἡμῖν τὴν πρὸς ἑαυτὸν ὁμοίωσιν ὁ αὐτὸς τοῦ θεοῦ
λόγος, εἰς ὁμοίωσιν ἡμῶν κατῆλθεν. ἀδύνατον δὲ ἦν θεὸν ὁμοιωθῆναι
ἡμῖν, μὴ σαρκωθέντα. οὐ γὰρ ἀσώματον εἶδος αὐτῷ, ἀσωμάτου οὐσίας
προσῆκεν ὅπερ ἦν αὐτός, ἀλλὰ τὸ σωματικόν. σωματικὴ δὲ οὐσία
ἄνευ προσλήψεως* οὐκ ἐγίνετο. διὰ τοῦτο σῶμα ἀληθῶς προσέλαβεν. οὐκ ἂν
ἵνα οἱ τῆς ἐξ ἀρχῆς ἀδελφότητος ἐκπεσόντες, διὰ τὴν τοῦ ἀσωμάτου
εἴδους ἀλλαγήν. τουτέστι, τῆς τοῦ πυρὸς χάριτος, ἧς διὰ τῶν πρωτοπλάστων ἀνθρώπων,
τοῦ τε Ἀδὰμ καὶ τῆς Εὔας ἀπωλέσαμεν, εἰς ἀδελφότητα εἰσαχθῶ-
μεν, διὰ τῆς σωματικῆς προσλήψεως. καὶ πάλιν τὸ ἀσώματον
εἶδος, τὸ θεῖον ἀπολάβωμεν. λαμβάνει δὲ σῶμα ἐκ γυναικός. οὕτω
γὰρ καὶ* ὁμογενὴς ἡμῖν καθίσταται. ἵνα καὶ ὡς ὁμογενέσιν ἡμῖν ὁμογενής
μεταδῷ τῆς δόξης τῆς ἑαυτοῦ. ἵνα καὶ τὴν γυναῖκα διὰ τῆς γεν-
νήσεως* ἀνασωθήσεται γάρ φησιν ἡ γυνή, διὰ τῆς τεκνογο- ἀνασώσῃ. γρ. ἀνασωθ.
νίας. σάρξ δὲ προσείληπται, τὸ κατὰ φύσιν ἔχουσα ζωτικόν. οὐδὲ
μία γὰρ σάρξ, ἄνευ τοῦ ζωτικοῦ. ὃ καὶ ψυχὴν ἰδίως ἡ γραφὴ κα-
λεῖ. ὁ φιλόσοφος. Τίς οὐκ ἂν ἐκπλαγῇ, ἐπὶ τοῖς μεγαλείοις
τοῦ θεοῦ τούτοις* ὡς ἔφατε. πλὴν πῶς λαμβάνει σάρκα ἐκ γυναι- οἷς
κὸς καθὼς ἀρτίως εἰρήκατε:

ἀπὸ κοινοῦ τῶν ἁγίων πατέρων, διὰ τοῦ αὐτοῦ Ματθαίου ἐπισκόπου Ἱεροσολύμων.

Ἤδη εἰρήκαμέν σοι ὦ βέλτιστε, μηδαμῶς ἐπὶ τῶν τοῦ θεοῦ μυστηρί-
ων λέγειν τὸ,* ὅπως. ἀπόρρητα γάρ εἰσι, καὶ ἀνεπιλόγιστα. ὡς δὲ ἐκ πῶς.
τῶν ἱερῶν λογίων ἐδιδάχθημεν, ἐροῦμεν ὅσον ὁ λόγος παραστῆσαι
δυνήσεται. τὸ γὰρ παντελῶς καταληπτικὸν τοῦ μυστηρίου ἐκείνου
τῆς τοῦ Χριστοῦ ἐνσάρκου οἰκονομίας πῶς γέγονεν, οἶδεν ἀνθρώπων οὐδὲ
ἀγγέλων οὐδείς. οὐδὲ αὐτὸς Γαβριήλ, ὁ διακονησάμενος τῷ μυστη-
ρίῳ ἐκείνῳ. οὐδὲ ἡ πάναγνος καὶ καθαρὰ καὶ ἁγία παρθένος
Μαρία παραστῆσαι δυνήσεται, τὴν ὅλην τῆς αὐτῆς τοῦ θεοῦ λόγου
σαρκώσεως κατάληψιν. αὐτὸς γὰρ μόνος ὁ μονογενὴς τοῦ θεοῦ
υἱός, τὸ ἀκριβὲς οἶδε, τῆς ἑαυτοῦ δι' ἡμᾶς ἐνανθρωπήσεως.
εἰ γὰρ καὶ παρέδωσαν ἡμῖν, οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται
γενόμενοι τοῦ λόγου καθά φησιν ὁ Λουκᾶς, περὶ τῆς ἐνσάρκου αὐ-
τοῦ οἰκονομίας. ὅτι ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραὰμ τὸ κατὰ σάρκα,
καὶ τὸ, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς. τουτέστιν ἐκ τῆς παρθένου, ὁ λεγόμενος
Χριστός. καὶ ὅτι, ὧν οἱ πατέρες. καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα. καὶ ὅτι
οὐκ ἀγγέλων, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπελάβετο. καὶ ὅτι κατὰ

πάντα ὡμοιώθη ἡμῖν πλὴν τῆς ἁμαρτίας, ταῦτα ἴσμεν. ὁ δὲ τρόπος πῶς ταῦτα γεγέννηται, πάσης λογικῆς φύσεως ὑπερβαίνει διάνοιαν. λέγει γὰρ καὶ περὶ τούτου ἱερεμίας ὁ προφήτης. καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν. θαυμάζοντος δὲ τοῦ φιλοσόφου, καὶ παντὸς τοῦ συναθροισθέντος πλήθους εἰς τὴν ἀκρόασιν, προσθέντες οἱ ἄλλοι πατέρες διὰ μακαρίου, ἐπισκόπου ἱεροσολύμων, εἶπον:

Ἤδη διὰ πλείστων ὅσων ἀπεδείξαμεν, ὅτι θεὸς ἦν ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ. καὶ γέγονεν ἄνθρωπος, διὰ φιλανθρωπίαν σαρκωθεὶς καὶ γεννηθεὶς ἐκ τῆς παρθένου μαρίας, ἀπορρήτῳ γεννήσει. ἐπειδὴ γὰρ ἠβουλήθη ὡς προαπέδειξεν ὁ λόγος ἀνακαινίσαι τὰ διὰ τὴν ἀπόπτωσιν τῶν πρωτοπλάστων λυθέντα, γέγονεν ἐν τοῖς ἡμετέροις, ἵνα ἡμᾶς ποιήσῃ ἐν τοῖς ἑαυτοῦ, συγκαταβὰς ὡς ἰατρὸς ἄριστος, τῇ ἀσθενείᾳ ἡμῶν. πάλιν ἐροῦμεν τὸ συγκαταβάν, καὶ τὸ κατελθεῖν, καὶ τὸ ἀπεστάλθαι, κατὰ τὸν τῆς ἐνανθρωπήσεως αὐτοῦ τρόπον. διαλαμπλέον ὡς προαπεδείξαμεν. τῇ γὰρ θεότητι αὐτοῦ, τὰ πάντα σὺν τῷ πατρὶ πληροῖ ἀεί, κατὰ τὰς προαποδοθείσας ἐννοίας. ἄγε τοίνυν. γεννώμεθα
καὶ ἡμ. ἐκ γυναικός; ἦλθε διὰ φιλανθρωπίαν εἰς τοῦτο.* εἰ ἡμεῖς μὲν ἐξ ἡδονῆς ὕπνου καὶ σπέρματος ἀνδρός. αὐτὸς δὲ μόνος, ἐκ πνεύματος ἁγίου, καὶ μαρίας τῆς παρθένου. γαλακτοτρεφόμεθα; ἦλθε καὶ εἰς τοῦτο σαρκί, ὁ τῇ θεότητι αὐτοῦ διδοὺς τροφὴν πάσῃ σαρκί. γινόμεθα εἰς προκοπὴν καὶ αὔξησιν ἡλικίας; οὐκ ἀπηξίωσε γενέσθαι καὶ αὐτὸς σωματικῶς καθὼς γέγραπται. ὅτι ἰησοῦς προέκοπτε σοφίᾳ, καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ θεῷ καὶ ἀνθρώποις, καὶ ἕως τριακοστοῦ τοῦ χρόνου διανύσας, ἵνα πᾶσαν ἡλικίαν εὐλογήσῃ. τότε ἐπὶ τὸ βάπτισμα ἔρχεται, κηρύσσοντος ἰωάννου υἱοῦ ζαχαρίου τῷ λαῷ βάπτισμα μετανοίας. οὐκ ἀφέσεως ἁμαρτιῶν, οὐχ υἱοθεσίας δωρεὰν διδόντος. οὐ γὰρ ἦν ἰωάννου ταῦτα δοῦναι. ἀλλ' οὔτε ἀγγέλου, ἀλλ' αὐτοῦ τοῦ σαρκωθέντος, καὶ ἐνανθρωπήσαντος θεοῦ λόγου. καὶ ἀνέχεται τὸ ὑπὲρ ἡμῶν βάπτισμα. καὶ θεὸς ὢν ἀναμάρτητος, ἐβαπτίσθη σωματικῶς ὡς ἄνθρωπος, οὐκ αὐτὸς δεόμενος βαπτίσματος, ἀλλ' ἵνα τὸ ἡμέτερον βάπτισμα δοξάσῃ. ἵνα πιστεύσωμεν ὅτι ὥσπερ ἐπ' αὐτὸν κατῆλθε τὸ πνεῦμα τὸ ἅγιον, οὕτω καὶ ἐφ' ἡμᾶς τοὺς εἰς αὐτὸν βαπτιζομένους. εἶτα συναναστραφεὶς τοῖς ἀνθρώποις, τάς τε τῶν θείων αὐτοῦ ἐντολῶν παραδοὺς ἐκδόσεις,

τάς τε τῶν

τάς τε τῶν σημείων ἐργασάμενος θαυματουργίας ἐπὶ τρίτου χρόνου
καὶ τέταρτον ἀρξάμενος, οὕτως ἐπὶ τὸ ὑπὲρ ἡμῶν ἑκούσιον αὐτοῦ σωματι-
κὸν ἔρχεται πάθος. ἡμῖν γὰρ κεχρεώστητο, τιμωρία σταυροῦ. ἀλλ' εἰ
πάντες ἐστερήθημεν, οὔτε ἑαυτοὺς ἐκ τοῦ θανάτου ἁρπάσαι ἰσχύσαμεν. ἐβα-
σίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως. καὶ ἐπὶ τοὺς μὴ
ἁμαρτήσαντας. πολλοὶ ἅγιοι· πολλοὶ προφῆται· πολλοὶ δίκαιοι· καὶ
οὐδεὶς αὐτῶν, τῆς τοῦ θανάτου ἐξουσίας, ἑαυτὸν ἠδυνήθη λυτρώ-
σασθαι. ἀλλὰ ἦλθεν αὐτὸς ὁ τῶν πάντων σωτήρ, καὶ τὰς ἡμῖν χρεω-
στουμένας τιμωρίας, εἰς τὴν ἐξ ἡμῶν, ἀνθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἀνα-
μάρτητον αὐτοῦ ὑπεδέξατο σάρκα. κατεφερόμεθα μετὰ τὸν ~~θά~~
θάνατον εἰς τὸν ᾅδην. ἀνεδέξατο καὶ τοῦτο, καὶ κατῆλθεν ἑκούσιος
εἰς αὐτόν. οὐ κατηνέχθη καθάπερ ἡμεῖς, ἀλλὰ κατῆλθεν. οὐ γὰρ ἦν
ὑποκείμενος τῷ θανάτῳ, ἀλλ' ἐξουσιαστὴς τοῦ θανάτου. καὶ μόνος κα-
τελθών, μετὰ πλήθους ἀνελήλυθεν. αὐτὸς γὰρ ἦν ὁ νοερὸς κόκκος
τοῦ σίτου. ὁ ὑπὲρ ἡμῶν πεσὼν εἰς τὴν γῆν, καὶ ἀποθανὼν σαρκί. ὃς τῇ
τῆς θεότητος αὐτοῦ δυνάμει, ἀνέστησε τὸν σωματικὸν αὐτοῦ ναὸν
κατὰ τὰς γραφάς. καρποφορήσαντα τὴν τοῦ παντὸς ἀνθρωπίνου
γένους ἀνάστασιν. καὶ ἐμφανίσας τοῖς μαθηταῖς μετὰ τὴν τρι-
ήμερον ταφήν, καὶ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ἐπέδειξεν αὐτοῖς
τὰ ἐν τῷ σταυρῷ τοῦ σώματος αὐτοῦ πάθη. εἰπών, ψηλαφήσατέ με
καὶ ἴδετε, ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ θαυματουργῶν. ὁ καὶ τὰ ὑπὲρ τοῦ
ὑμετέρου γένους ἐν τῇ σαρκί μου καταδεξάμενος πάθη. εἶτα
ἐπὶ τεσσαράκοντα ἡμέρας συναυλιζόμενος αὐτοῖς, σωτηριώδεις ἐντολὰς
ὑποθήκας. ἀνελήλυθεν εἰς τοὺς οὐρανοὺς βλεπόντων αὐτῶν. ἐν δεξιᾷ
τε τοῦ πατρὸς κεκαθικέναι αὐτόν. οἱ ἱεροὶ ἐδίδαξαν λόγοι. ὅθεν καὶ
ἥξειν προσδοκῶμεν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, κρῖναι ζῶντας
καὶ νεκρούς, ἀϊδίως, ὡς ἀεὶ συμβασιλεύοντα τῷ πατρί, εἰς τοὺς ἀπείρους
αἰῶνας. αὕτη ἡ τῆς ἐκκλησίας ἀποστολικὴ καὶ ἀμώμητος πίστις. ἣν τὴν
ἄνωθεν παρ' αὐτοῦ τοῦ κυρίου διὰ τῶν ἀποστόλων ἐκ προγόνων εἰς ἐκγόνους
παραδοθεῖσαν, ἡ ἐκκλησία πρεσβεύει. καὶ ἀεὶ καὶ νῦν, καὶ εἰς ἀεὶ
ταύτην κρατεῖ. εἰπόντος τοῦ κυρίου τοῖς μαθηταῖς, πορευθέντες μα-
θητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτούς, εἰς τὸ ὄνομα τοῦ
πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

## περὶ τῆς τῶν πάντων ὁμοφωνίας, τῆς εἰς τὸ ὁμοούσιον.

Τούτων οὕτως ὑπὸ τοῦ ἁγίου πνεύματος διὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν ἐκείνῃ τῇ ἁγίᾳ συνόδῳ συνειλεγμένων ἐκφωνηθέντων, ἐμεγάλυνε τὸν θεὸν ἅπαν τὸ πλῆθος ἐκεῖνο, τὸ εἰς τὴν ἀκρόασιν ἐκείνην συνελθόν. ἐπὶ κεφαλῆς δὲ καὶ αὐτὸς ὁ θεοφιλέστατος βασιλεὺς συμπαρὼν καὶ αὐτὸς, τὰ πλεῖστα τῇ συνόδῳ. καὶ ὑπεραγασθεὶς, ἐδόξασε τὸν θεόν, τοιούτων ἐπακούσας θείων δογμάτων. χαρᾷ δὲ λοιπὸν ἐπὶ τῇ τῶν ἡμετέρων ἐπισκόπων συμφωνίᾳ, ἠγαλλιᾶτο τῷ πνεύματι. ἐσπούδαζε γὰρ μηδένα, μὴ μέγαν μὴ μικρόν, διαφωνῆσαι ταύτης τῆς σωτηρίου ὁμολογίας. μετὰ γοῦν τὴν πολλὴν ταύτην καὶ χρονίαν τῆς προσηκούσης σκέψεως ἐκπλήρωσιν, ἔδοξε πᾶσιν ὁμοῦ τοῖς ἡμετέροις, τὸ ὁμοούσιον δεῖν ὁρίσασθαι, ἐπὶ τῆς ἐκκλησιαστικῆς πίστεως, ὃν τρόπον, καὶ οἱ μετὰ τοὺς ἀποστόλους ἅγιοι ἡμῶν πατέρες, ταύτην παρέδωσαν τὴν πίστιν. ἥν τινα πίστιν, πάντες οἱ ἐν τῇ Νικαέων συναθροισθέντες ἅγιοι ἐπίσκοποι ἐβεβαίωσαν. τότε τῶν ἱερατικῶν, καὶ ὁμολογητῶν ἀνδρῶν πλῆθος. αὐτός τε ὁ πανεύφημος, καὶ θεοφιλέστατος βασιλεύς, καὶ ἅπαν τὸ ἐκεῖσε τῶν πιστῶν συνεληλυθὸς πλῆθος, χαίροντες ἀπεδέξαντο τὴν ὁμολογίαν τῆς πίστεως. παρεκτὸς ἑπτακαίδεκα ἐπισκόπων τὸν ἀριθμόν, περὶ ὧν καὶ ἀνωτέρω εἰρήκαμεν. οἷς ὁ Ἄρειος ἐπιστηρίζεσθαι δοκῶν, σὺν αὐτοῖς ἔλεγε, συμφώνοις αὐτῆς οὔ. λεγόντων αὐτῶν σὺν αὐτῷ ἔξωθεν τὸν υἱὸν δεδημιουργῆσθαι τοῦ θεοῦ, ἐκ μὴ ὄντων τῶν ὑποστάσεων, καὶ οὐκ ἀπ' αὐτῆς τῆς τοῦ πατρὸς θεότητος γεγεννῆσθαι.

## ὅπως ὑπὸ τῆς κοινῆς τῆς συνόδου, ἐκκηρύττεται ὁ ἀσεβὴς Ἄρειος, καὶ οἱ σὺν αὐτῷ.

Διό, ἐκκηρύξαντες αὐτοὺς, καὶ αὖθις γενέσθαι σὺν Ἀρείῳ, τῆς καθολικῆς ἐκκλησίας, παμψηφεὶ πάντες οἱ ἅγιοι ἡμῶν πατέρες ὡρίσαντο. ἀναθεματίσαντες αὐτούς, τε καὶ τὴν ἀσεβῆ αὐτῶν δόξαν, καὶ τὰ ῥήματα, καὶ τὰ νοήματα αὐτῶν τὰ βλάσφημα, οἷς ἐκέχρηντο κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ. λέγοντες, ἐξ οὐκ ὄντων αὐτὸν εἶναι. καὶ ὅτι ἦν ποτέ, ὅτε οὐκ ἦν. καὶ αὐτεξουσιότητι κακίας καὶ ἀρετῆς, δεκτικὸν αὐτὸν εἶναι τὸν υἱὸν τοῦ θεοῦ. κτίσμα λέγοντες αὐτὸν εἶναι καὶ ποίημα. ἀνεθεμάτισεν πάντα ταῦτα καὶ αὐτούς, ἡ ἁγία σύνοδος. οὐδὲ ὅσον ἀκοῦσαι τῆς ἀσεβοῦς δόξης αὐτῶν, καὶ ἀπονοίας, καὶ τῶν βλασφήμων αὐτῶν ῥημάτων ἀνασχομένη. ἀλλὰ καὶ τὸ πιττάκιον δὲ αὐτῶν, ὅπερ γνώμονα τῆς ἀσεβείας αὐτῶν ἐπιδοῦναι ἐτόλμησαν,

ἐτόλμησαν, παραχρῆμα διέῤῥηξαν. καὶ τὰ μὲν κατ' ἐκείνους, τοιοῦτον εἴληφε παρὰ τῆς ἁγίας συνόδου τέλος· τὰ δὲ περὶ τῆς ὀρθοδόξου πίστεως συμφώνως ἅπαντες οἱ ἐπίσκοποι ἐν ὀλίγοις ῥήμασι, διὰ τὴν τοῦ πιστοῦ πλήθους τῶν λαῶν ἁπλότητα τὸ ὅλον περιλαβόντες, ὧδέ πως ἐγγράφως ἐξέθεντο, τὸ τῆς καθολικῆς πίστεως σύμβολον.

Ἔκθεσις, τῆς καθολικῆς, καὶ ἀποστολικῆς πίστεως, ἐκτεθείσης, ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου, ἐπὶ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου, ἐν ὑπατείᾳ Παυλίνου, καὶ Ἰουλιανοῦ, τῶν λαμπροτάτων· ἔτους ἀπὸ Ἀλεξάνδρου χλϛʹ· ἐν μηνὶ Δεσίῳ· τῇ πρὸ δεκατριῶν καλανδῶν Ἰουλίων, ἰνδ. ιγʹ· ἐν Νικαίᾳ μητροπόλει τῆς Βιθυνίας.

Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα, ὁρατῶν τε πάντων καὶ ἀοράτων ποιητήν. Καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ· τουτέστιν, ἐκ τῆς οὐσίας τοῦ πατρός· θεὸν ἐκ θεοῦ· φῶς ἐκ φωτός· θεὸν ἀληθινόν, ἐκ θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ, καὶ τὰ ἐν τῇ γῇ. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα· παθόντα· ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ. καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον, ἐν δεξιᾷ τοῦ πατρός. καὶ πάλιν ἐρχόμενον, κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ ἅγιον πνεῦμα· τοὺς δὲ λέγοντας, ἦν ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας φάσκοντας εἶναι, ἢ κτιστόν, ἢ τρεπτόν, ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει, ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. αὕτη ἐστὶν ἡ πίστις, ἣν ἐξέθεντο, οἱ ἐν Νικαίᾳ ἅγιοι ἡμῶν πατέρες, οἱ ὀρθόδοξοι ἐπίσκοποι· πρῶτον μὲν κατὰ Ἀρείου βλασφημοῦντος, καὶ λέγοντος κτίσμα τὸν υἱὸν τοῦ θεοῦ. καὶ κατὰ Σαβελλίου τε καὶ Φωτεινοῦ, καὶ Παύλου τοῦ Σαμοσατέως, καὶ Μανιχαίου, καὶ Οὐαλεντίνου, καὶ Μαρκίωνος· καὶ κατὰ πάσης δὲ αἱρέσεως, ἥτις ἐπανέστη, τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ. οὓς κατέκρινεν, ἡ ἐν τῇ Νικαέων πόλει συνηγμένη τῶν ἁγίων ὀρθοδόξων σύνοδος. ὧν τὰ ὀνόματα καὶ τῶν ἐπαρχιῶν αὐτῶν ἐστὶν ὑποτεταγμένα. ἀναφέρεται τοίνυν ἐπὶ τὸν εὐσεβῆ καὶ πανεύφημον βασιλέα, τὰ ὑπὸ τῆς συνόδου κεκριμένα. ἥτε κατὰ τῶν θεομάχων ἀπόφασις

προσενεχθεῖσαν

καὶ ἡ τῆς ὀρθοδόξου πίστεως ἔκθεσις· ἣν ὡς θεόθεν * προσενεχθεῖσαν, ἀσμένως προσεδέξατο, μετὰ πλείστης ὅσης σεβασμιότητος. τοὺς δὲ ταύτης πολεμίους, ἐξορίαν ὑποστῆναι ψηφίζεται. ἐξ τούτων ἐκ τῶν μετὰ ἀρείου ἐπισκόπων, σὺν αὐτῷ ἀρείῳ καὶ τοῖς περὶ αὐτόν, συναπωσθῆναι ἠνέχοντο. οἱ δὲ γὰρ ἕνδεκα δείσαντες τοῦ, τε θεοσεβοῦς βασιλέως τὴν παρρησίαν, καὶ τῆς συνόδου τῶν ἐπισκόπων τὸ πλῆθος μὴ ἐξοστρακισθῆναι, ὑποκρινάμενοι, ὑπογράφουσιν ἐν τῷ ὁμοούσιον, χειρὶ, οὐ προθέσει. ταύτης τῆς ὑπουλίας ἔξαρχος, ὁ νικομηδείας εὐσέβιος. ὃς καὶ μέχρι τέλους δείκνυται τῇ ἐφ' ἑκάτερα κεχρημένος γνώμῃ. καθὰ εὐστάθιός τε ὁ τῆς ἀντιοχείας, καὶ εὐσέβιος ὁ παμφίλου. ἀθανάσιός τε ὁ μέγας, καὶ πάντες οἱ τὰ τῆς συνόδου συγγραψάμενοι δηλοῦσιν, τῷ τε πρὸς ἡμᾶς δι' ὑποκρίσεως τὸν ἄνδρα τοῦ δοκεῖν εἶναι. καὶ * τῆς τῶν ἐναντίων συμμορίας, γενναίως ὑπερμαχοῦντες:—

τῇ τῶν ἐναντίων, τοῦ.

## καὶ τῆς πίστεως ὑπογραφαὶ τῶν ἐπισκόπων.

ἴσως

Ὅσιος ἐπίσκοπος πόλεως κουδρούβης, * τῆς κατὰ ῥώμην καὶ σπανίαν καὶ ἰταλίαν πᾶσαν, καὶ ταῖς ἐν τοῖς λοιποῖς ἔθνεσι τοῖς ἐπέκεινα κατ' ἐμὲ οὖσιν ἕως τοῦ ὠκεανοῦ ἁγίαις ἐκκλησίαις, διὰ τῶν σὺν αὐτῷ πρεσβυτέρων ῥώμης, βίτωνος, καὶ βικεντίου.

Ἀλέξανδρος ἀλεξανδρείας σὺν ἀθανασίῳ, τῷ τότε ἀρχιδιακόνῳ ὄντι ταῖς κατ' αἴγυπτον πᾶσαν, καὶ λιβύην, καὶ πεντάπολιν, καὶ τὰ ὅμορα τούτων, ἕως τῶν * ἰνδικῶν ἐπαρχιῶν.

νομιδίας

Εὐστάθιος ἀντιοχείας τῆς μεγάλης τῆς κατὰ συρίαν κοίλην, καὶ μεσοποταμίαν πᾶσαν, καὶ κιλικίαν ἑκατέραν.

Ἰωάννης πέρσης, τῆς ἐν περσίδι πάσῃ, καὶ τῇ μεγάλῃ ἰνδίᾳ.

Λεόντιος καισαρείας καππαδοκίας, τὸ τῆς ἐκκλησίας τοῦ θεοῦ καλλώπισμα, ταῖς κατ' αὐτὴν καππαδοκίαν. γαλατίαν. πόντον, διοσπόντου, παφλαγονίαν, * πόντου πολεμαϊκοῦ. ἀρμενίαν μικρὰν καὶ μεγάλην.

πόντον πτολεμαϊκόν.

Θεωνᾶς κυζίκου. ταῖς κατὰ τὴν ἀσίαν καὶ ἑλλήσποντον. λυδίαν τε καὶ καρίαν. διὰ τῶν ὑπ' αὐτὸν ἐπισκόπων. εὐτυχίου σμύρνης, καὶ μαρίνου τρωάδος.

Μακάριος, ἱεροσολύμων, σὺν εὐσεβίῳ τῷ παμφίλου ἐπισκόπῳ καισαρείας τῆς κατὰ παλαιστίνην, καὶ ἀραβίαν, καὶ φοινίκην.

Ἀλέξανδρος θεσσαλονίκης, διὰ τῶν ὑπ' αὐτὸν τελούντων ταῖς

κατὰ μακε-

κατὰ μακεδονίαν πρώτην καὶ δευτέραν σὺν τῇ ἑλλάδι· τήν τε εὐρώπην πᾶσαν, σκυθίαν ἑκατέραν, καὶ ταῖς κατὰ τὸ ἰλλυρικὸν ἁπάσαις· θεσσαλίαν τε καὶ ἀχαΐαν.

Νουνέχιος λαοδικείας, ταῖς κατὰ τὴν φρυγίαν πρώτην, καὶ δευτέραν.

Πρωτογένης ὁ θαυμάσιος, πόλεως σαρδικῆς τῆς ἐν δακίᾳ· κατὰ δακίαν· δαρδανίᾳ, καὶ ταῖς ὁμόροις τούτοις.

Καικιλιανὸς καρθαγένης, ταῖς κατὰ πάσας τὰς ἐπαρχίας, τάς τε ἀφρικάς, καὶ τὰς νουμιδίας, καὶ μαυριτανίας ἀμφοτέρας οὔσαις ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις.

Πιστός, μαρκιανουπόλεως, ταῖς κατὰ μυσίαν καὶ τὰ τῶν γοτθῶν καὶ ἄλλων ἔθνη, καὶ ταῖς πλησιοχώροις τούτων πόλεσιν.

Ἀλέξανδρος κωνσταντινουπόλεως· τότε πρεσβύτερος ἔτι ὤν. ἐν ὑστέρῳ δέ, καὶ τῆς ἐπισκοπικῆς ἱερατείας τῆς αὐτόθι ἐκκλησίας λαχὼν σὺν παύλῳ· ἔτι τότε ἀναγνώστῃ ὄντι καὶ νοταρίῳ αὐτοῦ, ταῖς ἐν ταῖς νήσοις πάσαις κυκλάσιν.

Οὗτοι πάντες οἱ ἅγιοι καὶ ἀποστολικοὶ ἄνδρες, πάσαις ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, τὰ ἐν τῇ νικαέων ἁγίᾳ μεγάλῃ καὶ οἰκουμενικῇ συνόδῳ κεκριμένα διαπορθμευσάντων, πανταχοῦ νῦν παρέδωκαν.

## ὅπως ὁ βασιλεὺς ἀναστὰς ἐκ τοῦ θρόνου, εὐχαριστηρίους φωνὰς ἀναπέμπει τῷ θεῷ:

Ὁ δὲ βασιλεὺς κωνσταντῖνος, ἐπὶ τῇ ἐκθέσει τῆς ὀρθῆς, καὶ ἀποστολικῆς πίστεως τῆς ἐκ τῶν ἁγίων, διὰ τῶν τριακοσίων ἁγίων πατέρων ἡμῶν ἐκφωνηθείσης, ὥσπερ δι' ἑνὸς στόματος, καὶ κυρωθείσης παρὰ πάντων τῶν συνδραμόντων εἰς τὴν ἁγίαν ἐκείνην τῆς πίστεως ἀκρόασιν· καὶ τὰς χεῖρας ἁπλώσας, καὶ τὸ ὄμμα τείνας εἰς τὸν οὐρανὸν πρὸς τὸν θεόν, εὐφήμοις ῥήμασιν ἀνύμνησε, τὸν τῶν ὅλων σωτῆρα καὶ εὐεργέτην θεόν· ὅτι τὴν ποθουμένην αὐτῷ τῶν ἐπισκόπων ὁμόνοιαν, καὶ περὶ τῆς ὀρθῆς καὶ σωτηριώδους πίστεως αὐτῶν ὁμοφωνίαν, αὐτῷ ἐπρυτάνευσε· τοσοῦτος ἦν ὁ πάντα ἄριστος ἐκεῖνος καὶ θεοφιλὴς βασιλεύς, περὶ τὴν τῶν θεοῦ ἐκκλησιῶν φροντίδα, καὶ τὴν τῶν ποιμένων εἰρηνικωτάτην ὁμόνοιαν. οὐκ ἄτοπον δὲ ἡγοῦμαι, καὶ τὰ εὐσεβίου τοῦ παμφίλου ἅπερ περὶ τούτων τῶν ἐν τῇ συνόδῳ πραγματευθέντων λέγων ποιεῖται τὸν λόγον. ἀρχόμενος καλῶς διελάβετο ἐν τῷ τρίτῳ αὐτοῦ βιβλίῳ· τῷ εἰς τὸν βίον κωνσταντίνου τοῦ θεοφιλοῦς βασιλέως, ἐντάξαι τῇ δε τῇ συγγραφῇ. ἔστι δέ

ταῦτα. πλείστων δ' ὄντα ἐφ' ἑκατέρου τάγματος προτεινομένων, πολλῆς τε ἀμφιβολίας τὰ πρῶτα παρὰ τὴν ζήτησιν γινομένης, ἐπηκροᾶτο πάντων ὁ βασιλεὺς ὁ πανεύφημος. σχολῇ τε εὐτονωτάτῃ τὰς προτάσεις θατέρου τῶν μερῶν ὑπεδέχετο. ἐν μέρει τε ἀντιλαμβανόμενος τῶν παρ' ἑκατέρου τάγματος λεγομένων, ἠρέμα τε συνῆγε τοὺς φιλονείκως ἐνισταμένους. πράως τε ποιούμενος τὰς πρὸς ἕκαστον ὁμιλίας. ἑλληνίζων τε τῇ φωνῇ, ἐπειδὴ μηδὲ ταύτης ἀμαθῶς εἶχε, γλυκερός τις ἦν καὶ ἡδύς. τοὺς μὲν συμπείθων, τοὺς δὲ καταδυσωπῶν τῷ λόγῳ. τοὺς δὲ εὖ λέγοντας ἐπαινῶν. πάντας τε εἰς ὁμόνοιαν ἀνελαύνων. ἕως ὅτε, ὁμογνώμονας, καὶ ὁμοδόξους ἐπ' αὐτῷ κατεστήσατο. ὡς ὁμοφρόνως μὲν κρατῆσαι τὴν εὐσεβῆ ἀξιολογίαν, κρατυνθῆναί τε τὴν ἀληθῶς ἐκ τῆς αὐτῆς, παρὰ πάντων τῶν προεδρευθέντων αὐτῶν ἡμῶν πρώην ἐκφωνηθεῖσαν σωτήριον πίστιν. ἐν ταυτῷ δὲ, καὶ περὶ τῆς σωτηρίου ἑορτῆς τοῦ πάσχα, ἕνα παρὰ πᾶσιν ὁμολογηθῆναι καιρὸν ἐνομοθέτησε. τότε δὴ καὶ ἐγγράφως δι' ὑποσημειώσεως ἑκάστου τὰ κοινῇ δεδογμένα κυρωθῆναι ὡρίσατο. καὶ περὶ τῶν καθ' ἕκαστον ἐκκλησιαστικῶν διατυπώσεων καὶ κανόνων ἐγγράφως ἐκθεῖναι τοὺς ἐπισκόπους παρεγγυᾷ:

Margin notes:
ἀμφιλογίας δὲ πρ. συνισταμένης, ἀνεξικάκως ἐπ. τῶν πάντων
μὲν γοῦν πείθων
ἐλαύνων, εἶθ' ὅτε
αὐτοὺς ἐπὶ τοῖς ἀμφισβητουμένοις ἅπασι κατέστησεν· ὡς ὁμοφώνως μὲν κρατῆσαι τὴν πίστιν, τὸν σωτήριον δ' ἑορτῆς τὸν αὐτὸν παρὰ τοῖς πᾶσιν ὁμολογηθῆναι καιρόν.

### περὶ Ἀκεσίου ἐπισκόπου, τῶν Ναυατιανῶν, καὶ τῶν σὺν αὐτῷ.

Κινεῖ δὲ ἡμᾶς ἡ τοῦ βασιλέως πίστις, καὶ ἑτέρου πράγματος ἐπιμνησθῆναι. ὃς τὴν σπουδὴν καὶ πρόνοιαν, τῆς ἐκκλησιαστικῆς εἰρήνης ἐποιεῖτο, ὡς μηδὲ τὰ ἐλάχιστα αὐτὸν παραλιπεῖν. καὶ Ἀκέσιον γὰρ τῆς τῶν Ναυατιανῶν θρησκείας ἐπίσκοπον καὶ τοὺς σὺν αὐτῷ κέκληκεν εἰς τὴν σύνοδον, ὡς καὶ αὐτοὺς τὸ ὁμοούσιον καὶ τὴν τριάδα δοξάζοντας. μετὰ οὖν τὸ ἐκτεθῆναι, καὶ ὑπογραφῆναι παρά τε τῆς συνόδου καὶ τοῦ βασιλέως τὸν ὅρον τῆς πίστεως, ἠρώτα τὸν Ἀκέσιον Κωνσταντῖνος ὁ βασιλεύς, εἰ καὶ αὐτὸς τῇ πίστει συντίθεται καὶ τῷ ὁρισμῷ τῆς περὶ τοῦ πάσχα ἑορτῆς. ὁ δὲ Ἀκέσιος πρὸς αὐτόν. οὐδὲν καινὸν ἔφη ὦ βασιλεῦ ἡ σύνοδος ὥρισεν. οὕτω γὰρ ἄνωθεν ἅπαντες ἐκ τῶν ἀποστολικῶν χρόνων παρειλήφαμεν. καὶ τὸν ὅρον τῆς πίστεως, καὶ τὸν χρόνον τῆς τοῦ πάσχα ἑορτῆς. καὶ ὁ βασιλεὺς πρὸς αὐτόν. τί οὖν τῆς κοινωνίας ἡμῶν χωρίζῃ; ὁ δὲ Ἀκέσιος, τὰ ἐπὶ Δεκίου κατὰ τὸν διωγμὸν γενόμενα περὶ τῶν ἐν τῷ μαρτυρίῳ μὴ δυνηθέντων ἀγωνίσασθαι, ἀλλὰ ἀρνησαμένων διηγεῖτο, καὶ ἀκρίβειαν αὐστηροῦ κανόνος προεβάλλετο. λέγων, ὡς ἄρα οὐ χρὴ, τοὺς μετὰ τὸ βάπτισμα

ἡμαρτηκότας,

ἢ μαρτυρηθείσας, δέχεσθαι μετανοοῦντας· ἢ τῆς κοινωνίας τοῦ μυστηρίου, τοῦ λοιποῦ ἀξιοῦσθαι· ταῦτα εἰπόντες τοῦ ἀκεσίου, ἔφη πρὸς αὐτὸν ὁ βασιλεύς· θὲς ὦ ἀκέσιε κλίμακα μόνος, καὶ ἀνάβηθι εἰς τὸν οὐρανόν. μετὰ ταῦτα πάντες οἱ ἐπίσκοποι, διατυπώσεις ἐκκλησιαστικὰς διαφόρους ἐκτεθείκασι:

περὶ τῶν ἐκκλησιαστικῶν διατυπώσεων, λόγος διδασκαλικός:

Ὁμιλήσωμεν τῷ φωτί, ὅ ἐστιν ὁ Χριστός, ὡς πλησίον αὐτοῦ ἑστῶτες, ὡς ὁρῶντες αὐτόν· οὕτω πολιτευσόμεθα ταῖς εὐχαῖς ταῖς ἀνιαξούσαις· εὐχαὶ γὰρ ἀνιάξουσιν, ἐὰν λόγῳ θείῳ προσευχώμεθα. λόγος δὲ θεῖος πάρεστιν, ἔνθα καρδία καὶ πολιτεία καθαρά, ἐν ταπεινοφροσύνῃ φυλάττεται. ἔκαμνεν ὁ Ἰσραὴλ τὰς θυσίας ἐπιτελῶν· ἔκραζον οἱ προφῆται πρὸς τὸν θεόν, ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου· ἐκεῖνοι ἔκραζον· καὶ ἡμεῖς ἐλάβομεν· ἄλλοι κεκοπιάκασι καθὼς εἶπεν ὁ κύριος, καὶ ἡμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθαμεν. ἦλθε καὶ πρὸς ἡμᾶς αὐτὸς ὁ Ἰησοῦς· λέγων, ἐγώ εἰμι τὸ φῶς. ἐγώ εἰμι ἡ ἀλήθεια. ἀκαμάτως ἐλάβομεν τὴν χάριν, ἀλλὰ διὰ καμάτου δεῖ ἡμᾶς φυλάξαι τὴν χάριν:

περὶ τῶν λεγόντων, μὴ δεῖν χριστιανοὺς ἐργάζεσθαι.

Ἐπείπερ τινὲς οὐκ ἐργάζεσθαι βουλόμενοι, ἀλλὰ περιεργάζεσθαι, ἐκλαμβάνουσι κακῶς τὰς τοῦ κυρίου ἱερὰς φωνάς, εἰπόντες, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε· ὡς οὐ χρῆναι λέγοντες, ἀκολουθοῦντας τῇ φωνῇ ταύτῃ ἐργάζεσθαι εἰς τὴν γῆν χριστιανούς, ἀποδεικτέον ἡμῖν, μὴ οὕτως εἰρηκέναι τὸν κύριον· ἐγχωρεῖ γὰρ καὶ ἐργάζεσθαι, καὶ μὴ μεριμνᾶν. εἰδότας ἡμᾶς καὶ πιστεύοντας, ὅτι τῶν ἔργων ἡμῶν τὴν αὔξησιν καὶ τοὺς καρπούς, αὐτὸς ὁ κύριος δίδωσιν· εἰπών, οὕτως ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ,* ὁ ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον ὡς
αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ καθεύδῃ. καὶ ἐγείρεται νύκτα καὶ ἡμέραν καὶ ὁ σπόρος βλαστάνει. καὶ μηκύνεται ὡς οὐκ οἶδεν αὐτός:

περὶ τῶν ἱερωμένων

Τοὺς ἱερωμένους, εἰς τύπον καὶ εἰκόνα χρὴ εἶναι τῶν ἐπουρανίων. καὶ τὸν μὲν ἐπίσκοπον, ἐπέχειν αὐτοῦ τοῦ κυρίου ὡς κεφαλὴν μετ' αὐτὸν ὄντα τῆς ἐκκλησίας ἧς παρείληφε. τὸν δὲ πρεσβύτερον, τὸν σεραφικὸν ἐπέχειν θρόνον. τὸν δὲ διάκονον, τὸν χερουβικόν. τὸν ὑπηρέτην εἰς διακονίαν εἶναι τοῦτον προσήκει.

περὶ τοῦ μὴ δεῖν λαϊκούς, ἀνιέναι ἐν τῷ ἄμβωνι.

Μὴ δεῖν λαϊκοὺς ἀνιέναι ἐν τῷ ἄμβωνι, πλὴν τῶν τεταγμένων ἀναγνωστῶν, ἢ ψάλλειν, ἐν ταῖς διφθέραις:

περὶ τοῦ ἁγίου βαπτίσματος.

Τὸ βάπτισμα ἡμῶν, οὐ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς κατανοητέον, ἀλλὰ τοῖς νοεροῖς. ὕδωρ ὁρᾷς, νόησον τὴν ἐν τοῖς ὕδασι κεκρυμμένην τοῦ θεοῦ δύναμιν. ἐν γὰρ πνεύματι ἁγίῳ καὶ πυρὶ βαπτίζεσθαι ἡμᾶς οἱ ἱεροὶ διδάσκουσι λόγοι. ἐν γὰρ πίστει τοῦ βαπτίζοντος, καὶ ἐν πίστει τοῦ βαπτιζομένου διὰ τῆς ἱερᾶς ἐπικλήσεως, πλήρη τοῦ ἁγιασμοῦ τοῦ πνεύματος καὶ τοῦ θείου πυρός, νόει τὰ ὕδατα. αὐτὸς γάρ φησι βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. κατέρχεται μὲν οὖν ὁ βαπτιζόμενος ὑπεύθυνος ἁμαρτήματι. καὶ τῆς φθορᾶς δουλείᾳ ἐνεχόμενος. ἀνέρχεται δέ, ἐλευθερωθείς, τῆς τε τοιαύτης δουλείας, καὶ τῆς ἁμαρτίας. υἱὸς τοῦ θεοῦ, καὶ κληρονόμος, χάριτι αὐτοῦ γενόμενος, συγκληρονόμος δὲ Χριστοῦ, αὐτὸν ἐνδυσάμενος τὸν Χριστόν. καθὼς γέγραπται. ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε:

*Πέτρ. α. κεφ. γ'.* — *Παύλου πρὸς τοὺς Ῥωμαίους κεφ. 5.*

περὶ τῆς θείας τραπέζης, καὶ τοῦ ἐπ' αὐτῆς μυστηρίου, τοῦ σώματος, καὶ τοῦ αἵματος τοῦ Χριστοῦ:

Ἐπὶ τῆς θείας τραπέζης, πάλιν κἀνταῦθα, μὴ τῷ προκειμένῳ ἄρτῳ, καὶ τῷ ποτηρίῳ, ταπεινῶς προσέχωμεν. ἀλλ' ὑψώσαντες ἡμῶν τὴν διάνοιαν, πίστει νοήσωμεν κεῖσθαι ἐπὶ τῆς ἱερᾶς ἐκείνης τραπέζης, τὸν ἀμνὸν τοῦ θεοῦ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀθύτως ὑπὸ τῶν ἱερέων θυόμενον, καὶ τὸ τίμιον αὐτοῦ σῶμα καὶ αἷμα ἀληθῶς λαμβάνοντας ἡμᾶς, πιστεύειν ταῦτα εἶναι, τὰ τῆς ἡμετέρας ἀναστάσεως σύμβολα. διὰ τοῦτο γὰρ οὔτε πολὺ λαμβάνομεν, ἀλλ' ὀλίγον. ἵνα γνῶμεν, ὅτι οὐκ εἰς πλησμονήν, ἀλλ' εἰς ἁγιασμόν.

*ἀθύτως ἀθύτοις θυσίαις φίλων. περὶ ...*

περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως.

Οὐχ ἁπλῶς ὁ κύριος τὴν ἑαυτοῦ σάρκα ὑπὲρ ἡμῶν παρέδωκεν εἰς πάθος καὶ θάνατον. ἀλλ' ἵνα τὴν ἡμετέραν σωτηρίαν πραγματεύσηται, καίπερ ἐλεύθερος ὢν τοῦ θανάτου, καθὼς ἀνωτέρω ὁ λόγος ἀπέδειξεν. βοᾷ ὁ προφήτης ὡς ἐκ προσώπου αὐτοῦ, προαναφωνῶν τὸ μέλλον τῆς κατὰ σάρκα αὐτοῦ οἰκονομίας μυστήριον. "ἐγενήθην φησὶν ὡσεὶ "ἄνθρωπος ἀβοήθητος. ἐν νεκροῖς ἐλεύθερος. τίς δὲ ἐλεύθερος θανάτου, εἰ μὴ θεός. ἀλλὰ κατὰ τὰς ἀποδεχθείσας ἀποδείξεις, σαρκωθεὶς διὰ φιλανθρωπίαν, γέγονεν ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ταπεινώσας τὴν ἑαυτοῦ σάρκα μέχρι θανάτου. θανάτου δὲ σταυροῦ.* ἣ καὶ ἐγηγέρθαι κηρύττεται, ἵνα ἡμᾶς ἀπαθανατίσας, πρυτανεύσῃ ἡμῖν τοῖς ἀπιστουμένοις δι' αὐτῆς τῆς ἡμετέρας ἀπαρχῆς, τὴν τῆς ἀναστάσεως ἡμῶν ἐλπίδα.

ὅπως μικρέτι.

*ψαλμ. πζ'.* — ** ἢ καὶ* — *Ματθ. κβ.* — *Μαρκ. ιβ'. περὶ Σαδδουκαίων καὶ τῆς τοῦ θεοῦ δυνάμεως.*

*ὅσοι ἐν τῷ σκήνει ... θέλομεν ἐπενδύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. Παυλ. πρὸς Κορ. β. κεφ. ε.*

*Ἐπιφάνιος περὶ τῆς δυνάμεως τοῦ θεοῦ καὶ λόγου.*

*Ἰησοῦς τοῖς Σαδδουκαίοις· οὐ διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰς γραφάς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ.*

Ἀππιανὸς ἐν τῇ κελτικῇ περὶ τῶν Γερμανῶν, οἱ τὸ ἦθος ἄγριοι, καὶ τὴν τόλμαν θρασύτατοι καὶ θανάτου καταφρονοῦσι διὰ ἐλπίδα ἀναβιώσεως.

ὅπως μηκέτι ὦμεν δοῦλοι τοῦ αἰωνίου θανάτου, ἀλλ' ἐλεύθεροι καθάπερ καὶ ἡ ἀπαρχὴ ἡμῶν Χριστός. καθά φησιν, ὁ μακάριος ἀπόστολος παῦλος ἀπαρχὴ Χριστός. ἔπειτα οἱ τοῦ Χριστοῦ, ἐν τῇ παρουσίᾳ αὐτοῦ. οὗ καὶ σωτῆρα αὐτὸν δὴ τοῦτον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν τοῦ θεοῦ καὶ πατρὸς υἱὸν μονογενῆ, ἀπεκδέξεσθαι ἡμᾶς ἐξ οὐρανῶν. ἀναστήσοντα ἡμῶν ἐκ τῶν τάφων τὰ σώματα, ἐπιμαρτυρεῖται λέγων· ἡμῶν τὸ πολίτευμα φησὶν, ἐν οὐρανοῖς ὑπάρχει. ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα, κύριον Ἰησοῦν Χριστόν. ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. οὕτω γὰρ δεῖ τὸ σῶμα ἡμῶν δοξασθῆναι, ὡς τὸ τοῦδε ἀπὸ τοῦ ἀνεπίδεκτον κακίας. καὶ πάντων τῶν νῦν παθῶν, ἐλεύθερον τοῦ θανάτου, καὶ τῆς ἁμαρτίας. ἅγιον. ἵνα ἐν καινότητι ζωῆς, σὺν αὐτῷ περιπατῆσαι δυνηθῶμεν. ἐν φωτὶ ἐπουρανίῳ συμβασιλεύοντες ἀεὶ αὐτῷ τῷ Χριστῷ. ἐν ταύτῃ γὰρ τῇ ἐλπίδι, καὶ τὸ ἅγιον εἰλήφαμεν βάπτισμα. καὶ τὴν σωτήριον τῶν ἁγίων αὐτοῦ μελῶν μετουσίαν ὑποδεχόμεθα. ταῦτα τῆς καθολικῆς ἐκκλησίας τὰ δόγματα:

πρὸς τοὺς Κορινθ. α. κεφ. ιε.

Παῦλος πρὸς Φιλιππησ. γ.

Μέλλουσα τῶν ἁγίων Χριστοῦ μελῶν.

## ὅτι μία ἡ ἐκκλησία τοῦ θεοῦ.

Μία ἡ ἐκκλησία ἐν οὐρανοῖς. ἡ αὐτὴ καὶ ἐπὶ γῆς. ἐν ταύτῃ τὸ πνεῦμα τὸ ἅγιον ἐπαναπαύεται. αἱ ἔξω ταύτης ὅσαι αἱρέσεις ἃς ἔχουσιν οἱ ἄνθρωποι, οὐκ εἰσὶ διδασκαλίαι τοῦ σωτῆρος ἡμῶν, οὐδὲ τῶν ἀποστόλων, ἀλλὰ τοῦ σατανᾶ, καὶ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου. τὰ γὰρ ἰουδαίων καὶ ἑλλήνων, ἑτέρῳ σχήματι ἐκδιδάσκουσιν. ἵνα ἀφέλωνται τῶν ἀνθρώπων τὴν ὄντως ζωήν.

## περὶ τῆς τοῦ θεοῦ προγνώσεως, καὶ τοῦ κόσμου.

Μικρότερος ὁ κόσμος ἐγένετο διὰ τὴν πρόγνωσιν. προέγνω γὰρ ὁ θεὸς ὅτι ἁμαρτήσει ὁ ἄνθρωπος. διὰ τοῦτο καινοὺς οὐρανούς, καὶ καινὴν γῆν προσδοκῶμεν κατὰ τὰ ἱερὰ γράμματα. φαινομένης ἡμῖν τῆς ἐπιφανείας, καὶ βασιλείας τοῦ μεγάλου θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ παραλήψονται τότε καθά φησι Δανιὴλ τὴν βασιλείαν, ἅγιοι ὑψίστου. καὶ ἔσται ἡ γῆ, καθαρά. ἁγία. γῆ ζώντων καὶ οὐ νεκρῶν. ἣν προεωρακὼς δαβὶδ τῷ τῆς πίστεως ὀφθαλμῷ βοᾷ. πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων. γῆ πραέων καὶ ταπεινῶν. μακάριοι γάρ φησιν οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. καὶ ὁ προφήτης. καὶ πατήσουσιν αὐτὴν φησί, πόδες πραέων, καὶ ταπεινῶν. ταῦτα ἐκ τῶν παραδοθέντων τοῖς ἁγίοις ἡμῶν πατράσιν, ἐκκλησιαστικῶν διατυπώσεων. μικρὰ ἐκ πολλῶν τῇδε τῇ συγγραφῇ συνετάξαμεν. ἐξέθεντο δὲ καὶ ἐκκλησιαστικοὺς κανόνας εἴκοσιν, ἐν αὐτῇ τῇ ἐν νικαίᾳ συνόδῳ. οὓς καὶ αὐτοὺς ἀναγκαῖον ᾠήθην ἐντάξαι τῷ γράμματι.

Δανιὴλ κεφ. ζ. στιχ. κβ.

Ματθ. κεφ. ε.

Ἠσαΐας κεφ. κς. στιχ. ϛ.

Ὅροι ἐκκλησιαστικοὶ συναχθείσης τῆς μεγάλης καὶ ἁγίας συνόδου ἐν Νικαίᾳ, ὡρίσθη τὰ ὑποτεταγμένα:-

περὶ εὐνούχων, ἀποκοπτόντων ἑαυτούς:

Περὶ τῶν ἀποκοπτόντων, καὶ εὐνουχιζόντων ἑαυτούς. εἴ τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, ἢ ὑπὸ βαρβάρων ἐξετμήθη, οὗτος μενέτω ἐν τῷ κλήρῳ. εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέταμεν, τοῦτον καὶ ἐν τῷ κλήρῳ ἐξεταζόμενον πεπαῦσθαι προσήκει. καὶ ἐκ τοῦ δεῦρο, μηδένα τῶν τοιούτων χρῆναι προάγεσθαι. ὥσπερ δὲ τοῦτο πρόδηλον, ὅτι περὶ τῶν ἐπιτηδευόντων τὸ πρᾶγμα, καὶ τολμώντων ἑαυτοὺς ἐκτέμνειν εἴρηται. οὕτως. εἴ τινες ὑπὸ βαρβάρων ἢ δεσποτῶν εὐνουχίσθησαν, εὑρίσκοιντο δὲ ἄλλως ἄξιοι, τούτους εἰς κλῆρον προσίεται ὁ κανών.

περὶ τῶν ἀπὸ ἐθνικῶν εἰς χειροτονίαν προαχθέντων

Ἐπειδὴ πολλά, ἤτοι ὑπὸ ἀνάγκης, ἢ ἄλλως πως ἐπειγομένων τῶν ἀνθρώπων ἐγένετο παρὰ τὸν κανόνα τὸν ἐκκλησιαστικόν, ὥστε ἀνθρώπους ἀπὸ ἐθνικοῦ βίου ἄρτι προσελθόντας τῇ πίστει, καὶ ἐν ὀλίγῳ χρόνῳ κατηχηθέντας, εὐθὺς ἐπὶ τὸ πνευματικὸν λουτρὸν ἄγειν, καὶ ἅμα τῷ βαπτισθῆναι προάγειν εἰς ἐπίσκοπον, ἢ πρεσβύτερον, καλῶς ἔχειν ἔδοξε, τοῦ λοιποῦ μηδὲν τοιοῦτον γίνεσθαι. καὶ γὰρ καὶ χρόνου δεῖ τῷ κατηχουμένῳ. καὶ μετὰ τὸ βάπτισμα δοκιμασίας πλείονος. σαφὲς γὰρ τὸ ἀποστολικὸν γράμμα τὸ λέγον, μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ, καὶ παγίδα τοῦ διαβόλου. εἰ δὲ προϊόντος τοῦ χρόνου, ψυχικόν τι ἁμάρτημα εὑρεθείη περὶ τὸ πρόσωπον, ἢ ἐλέγχοιτο ὑπὸ δύο καὶ τριῶν μαρτύρων, παύσεται ὁ τοιοῦτος τοῦ κλήρου.

περὶ τῶν τὰς συνεισάκτους ἐχόντων.

Περὶ τῶν συνεισάκτων, ἀπηγόρευσε καθόλου ἡ μεγάλη σύνοδος, μὴ ἐπισκόπῳ. μὴ δὲ πρεσβυτέρῳ. μήτε διακόνῳ, μήτε ὅλως τῶν ἐν τῷ κλήρῳ τινί, ἐξεῖναι συνείσακτον ἔχειν. πλὴν εἰ μὴ ἄρα μητέρα, ἢ ἀδελφήν, ἢ θείαν. ἢ ἃ μόνα πρόσωπα διαπέφευγε πᾶσαν ὑποψίαν. ὁ δὲ παρὰ ταῦτα ποιῶν, κινδυνεύσει περὶ τὴν ἑαυτοῦ ἀξίαν:

περὶ καταστάσεως, ἐπισκόπων.

Περὶ καταστάσεως: Ἐπίσκοπον προσήκει, μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων καθίστασθαι. εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξάπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι. τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι εἰς ἑκάστην ἐπαρχίαν, τῷ μητροπολίτῃ ἐπισκόπῳ:

περὶ τῶν

περὶ τῶν ἀκοινωνήτων γενομένων:

Περὶ τῶν ἀκοινωνήτων γενομένων, εἴτε τῶν ἐν τῷ λαϊκῷ τάγματι, ὑπὸ — ἐν τῷ κλήρῳ, εἴτε τῶν
τῶν καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπων, κρατείτω ἡ γνώμη κατὰ τὸν
κανόνα, τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας, ὑφ' ἑτέρων μὴ προσίεσθαι. ἐξεταζέσθω δέ, μὴ μικροψυχίᾳ, ἢ φιλονεικίᾳ, ἢ τινι τοιαύτῃ ἀηδίᾳ τοῦ ἐπισκόπου, ἀποσυνάγωγοι γεγένηνται. ἵνα οὖν τοῦτο τὴν πρέπουσαν ἐξέτασιν λαμβάνῃ, καλῶς ἔχειν ἔδοξεν, ἑκάστου ἐνιαυτοῦ, καθ' ἑκάστην ἐπαρχίαν, δὶς τοῦ ἔτους συνόδους γίνεσθαι, ἵνα κοινῇ πάντων τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἐπὶ τὸ αὐτὸ συναγομένων, τὰ τοιαῦτα ζητήματα ἐξετάζοιτο. καὶ οὕτως οἱ ὁμολογουμένως προσκεκρουκότες τῷ ἐπισκόπῳ, κατὰ λόγον ἀκοινώνητοι παρὰ πάντων εἶναι δοκῶσι, μέχρις ἂν τῷ κοινῷ, ἢ τῷ ἐπισκόπῳ δόξῃ, τὴν φιλανθρωποτέραν περὶ αὐτῶν ἐκθέσθαι ψῆφον. αἱ δὲ σύνοδοι γινέσθωσαν, μία μὲν πρὸ τῆς τεσσαρακοστῆς, ἵνα πάσης μικροψυχίας ἀναιρουμένης, τὸ δῶρον καθαρὸν προσφέρηται τῷ θεῷ. δευτέρα δέ, περὶ τὸν τοῦ μετοπώρου καιρόν.

περὶ τῶν ἐξαιρέτων τιμῶν, αἳ πρὸς τοὺς μείζονας κυβερνώντων ἐπισκόπους, ἐκκλησιαστικῶς ἐκανονίσθησαν.

Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύαις, καὶ Πενταπόλει. ὥστε τὸν ἐν Ἀλεξανδρείᾳ ἐπίσκοπον, πάντων ἔχειν τὴν ἐξουσίαν. ἐπειδὴ καὶ τῷ ἐν Ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν. ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀντιόχειαν, καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις, τὰ πρεσβεῖα σώζεσθαι ταῖς ἐκκλησίαις. καθόλου δέ, πρόδηλον ἐκεῖνο. ὅτι εἴ τις χωρὶς γνώμης τοῦ μητροπολίτου γένοιτο ἐπίσκοπος, τὸν τοιοῦτον ἡ σύνοδος ἡ μεγάλη, ὥρισε μὴ δεῖν εἶναι ἐπίσκοπον. ἐὰν μέντοι τῇ κοινῇ πάντων ψήφῳ εὐλόγῳ οὔσῃ, καὶ κατὰ τὸν κανόνα τὸν ἐκκλησιαστικόν, δύο ἢ τρεῖς δι' οἰκείαν φιλονεικίαν ἀντιλέγωσι, κρατείτω ἡ τῶν πλειόνων ψῆφος:

περὶ τοῦ ἐν Αἰλίᾳ ἐπισκόπου.

Ἐπειδὴ συνήθεια κεκράτηκε, καὶ παράδοσις ἀρχαία, ὥστε τὸν ἐν Αἰλίᾳ ἐπίσκοπον τιμᾶσθαι, ἐχέτω τὴν ἀκολουθίαν τῆς τιμῆς τῇ μητροπόλει, σωζομένου τοῦ οἰκείου ἀξιώματος:

περὶ τῶν ὀνομαζομένων καθαρῶν.

Περὶ τῶν ἑαυτοὺς μὲν ὀνομαζόντων καθαρούς ποτε. προσερχομένων δὲ τῇ ἁγιωτάτῃ, ἀποστολικῇ, καὶ καθολικῇ ἐκκλησίᾳ, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε χειροτονουμένους αὐτούς, οὕτως μένειν ἐν τῷ κλήρῳ. πρὸ πάντων δὲ τοῦτο, ὁμολογῆσαι αὐτοὺς ἐγγράφως προσήκει, ὅτι συνθήσονται, καὶ ἀκολουθήσουσι, τοῖς τῆς καθολικῆς,

καὶ ἀποστολικῆς ἐκκλησίας δόγμασι. τουτέστι, διγάμοις κοινωνεῖν. καὶ τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσιν, ἐφ' ὧν καὶ χρόνος τέτακται. *καιρὸς ὥρισται, ὥστε αὐτοὺς ἀκολουθεῖν ἐν πᾶσι τοῖς δόγμασι τῆς καθολικῆς ἐκκλησίας. ἔνθα μὲν οὖν πάντες, εἴτε ἐν κώμαις, εἴτε ἐν πόλεσιν, αὐτοὶ μόνοι εὑρίσκοιντο χειροτονηθέντες, οἱ εὑρισκόμενοι ἐν τῷ κλήρῳ, ἔσονται ἐν τῷ αὐτῷ σχήματι. ὅσοι δὲ τοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόπου, ἢ πρεσβυτέρου ὄντος προσέρχονται, πρόδηλον ὡς ὁ μὲν ἐπίσκοπος, τῆς ἐκκλησίας ἕξει τὸ ἀξίωμα τοῦ ἐπισκόπου. ὁ δὲ ὀνομαζόμενος παρὰ τοῖς καθαροῖς ἐπίσκοπος, τὴν τοῦ πρεσβυτέρου τιμὴν ἕξει. πλὴν εἰ μὴ ἄρα δοκοίη τῷ ἐπισκόπῳ τῆς τιμῆς τοῦ ὀνόματος αὐτὸν μετέχειν. εἰ δὲ μὴ τοῦτο αὐτῷ ἀρέσκοι, ἐπινοήσει τόπον, ἢ χωρεπισκοπῆς, ἢ πρεσβυτέρου, ὑπὲρ τοῦ ἐν τῷ κλήρῳ ὅλως δοκεῖν εἶναι. ἵνα μὴ ἐν τῇ πόλει δύο ἐπίσκοποι ὦσιν.

*καὶ καιρὸς

Quidam impostores mutarunt verbum ωσιν & ex ultima praecedentis syllaba finxerunt ποιωσιν

περὶ χειροτονίας, πρεσβυτέρων.

Εἴ τινες ἀνεξετάστως προήχθησαν πρεσβύτεροι, ἢ ἀνακρινόμενοι ὡμολόγησαν τὰ ἡμαρτημένα αὐτοῖς, καὶ ὁμολογησάντων παρὰ κανόνα κινούμενοι ἄνθρωποι χεῖρας ἐπιτεθείκασι, τοὺς τοιούτους ὁ κανὼν οὐ προσίεται. τὸ γὰρ ἀνεπίληπτον, ἐκδικήσει ἡ καθολικὴ ἐκκλησία.

περὶ τῶν *πασόντων, καὶ πρὸ χειρῶν ἐκ τῶν κατὰ ἄγνοιαν.

*πεσόντων, εἴτε πρὸ χειρ(οτονίας), εἴτε κατὰ ἄγνοιαν χειροτονηθέντων.

Ὅσοι προεχειρίσθησαν τῶν παραπεπτωκότων κατὰ ἄγνοιαν, ἢ καὶ προειδότων τῶν προχειρισαμένων, τοῦτο οὐ προκρίνει τῷ κανόνι τῷ ἐκκλησιαστικῷ. γνωσθέντες γάρ, καθαιροῦνται:

περὶ τῶν παραβάντων, χωρὶς ἀνάγκης.

Περὶ τῶν παραβάντων χωρὶς ἀνάγκης, ἢ ἀφαιρέσεως ὑπαρχόντων, ἢ χωρὶς κινδύνου, ἤ τινος τοιούτου, ὃ γέγονεν ἐπὶ τῆς τυραννίδος Λικινίου, ἔδοξε τῇ συνόδῳ, εἰ καὶ ἀνάξιοι ἦσαν φιλανθρωπίας, ὅμως χρηστεύσασθαι εἰς αὐτούς. ὅσοι οὖν γνησίως μεταμέλονται, τρία ἔτη ἐν ἀκροωμένοις ποιήσουσι. καὶ ἑπτὰ ἔτη ὑποπεσοῦνται. δύο ἔτη χωρὶς προσφορᾶς κοινωνήσουσι τῷ λαῷ τῶν εὐχῶν:

περὶ τῶν ἀποταξαμένων, καὶ πάλιν εἰς κόσμον ἀναδραμόντων.

Οἱ προσκληθέντες ὑπὸ τῆς χάριτος, καὶ τὴν πρώτην ὁρμὴν ἐνδειξάμενοι καὶ ἀποθέμενοι τὰς ζώνας. μετὰ δὲ ταῦτα, ἐπὶ τὸν οἰκεῖον ἔμετον ἀναδραμόντες, ὡς τινὰς καὶ ἀργύρια προέσθαι, καὶ βενεφικίοις κατορθῶσαι τὸ στρατεύεσθαι, οὗτοι δέκα ἔτη ὑποπιπτέτωσαν, μετὰ τὸν τῆς τριετοῦς ἀκροάσεως χρόνον. ἐφ' ἅπασι δὲ τούτοις, προσήκει ἐξετάζειν τὴν προαίρεσιν, καὶ τὸ εἶδος τῆς μετανοίας. ὅσοι

μὲν γὰρ καὶ

μὲν γὰρ καὶ φόβῳ καὶ δάκρυσι, καὶ ὑπομονῇ, καὶ ἀγαθοεργίαις τὴν ἐπιστροφὴν, ἔργῳ οὐ σχήματι ἐπιδείκνυνται, οὗτοι πληρώσαντες τὸν χρόνον τὸν ὡρισμένον τῆς ἀκροάσεως, τῶν εὐχῶν κοινωνήσουσι. μετὰ τοῦ ἐξεῖναι τοῦ ἐπισκόπου, φιλανθρωπότερόν τι περὶ αὐτῶν βουλεύσασθαι. ὅσοι δὲ *διαφόρως ἤνεγκαν, καὶ τὸ σχῆμα τοῦ εἰσιέναι εἰς τὴν ἐκκλησίαν, ἀρκεῖν ἑαυτοῖς ἡγήσαντο. πρὸς τὴν ἐπιστροφὴν, ἐξ ἅπαντος πληρούτωσαν τὸν χρόνον. ἀδιαφόρως

περὶ τῶν ἐξοδευόντων, ἐν τῷ ἀποθνήσκειν, κοινωνίαν ἐπιζητούντων.

Περὶ τῶν ἐξοδευόντων, ὁ παλαιὸς καὶ ὁ κανονικὸς νόμος, φυλαχθήσεται καὶ νῦν. ὥστε εἴ τις ἐξοδεύοι, τοῦ δεσποτικοῦ ἐφοδίου μὴ ἀποστερείσθω. εἰ δὲ ἀπογνωσθεὶς καὶ κοινωνίας τυχὼν, καὶ προσφορᾶς μεταλαβὼν, πάλιν ἐν τοῖς ζῶσιν ἐξετασθείη, ἔστω μετὰ τῶν κοινωνούντων τῆς εὐχῆς μόνης. καθόλου δὲ καὶ περὶ παντὸς οὑτινοσοῦν ἐξοδεύοντος, αἰτοῦντος μετασχεῖν εὐχαριστίας. ὁ ἐπίσκοπος μετὰ δοκιμασίας μεταδιδότω τῆς προσφορᾶς.

περὶ τῶν κατηχουμένων παραπεσόντων δέ.

Περὶ τῶν κατηχουμένων, καὶ παραπεσόντων ἐν τῇ κατηχήσει, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε τριῶν ἐτῶν αὐτοὺς ἀκροασαμένους μόνον, μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων.

περὶ τοῦ μὴ δεῖν μετατίθεσθαι ἀπὸ ἑτέρας πόλεως, εἰς ἑτέραν.

Διὰ τὸν πολὺν τάραχον, καὶ στάσεις τὰς γινομένας, ἔδοξε παντάπασι περιαιρεθῆναι τὴν συνήθειαν, τὴν παρὰ τὸν κανόνα εὑρεθεῖσαν ἔν τισι μέρεσιν. ὥστε ἀπὸ πόλεως εἰς πόλιν, μὴ μεταβαίνειν, μήτε πρεσβύτερον μήτε ἐπίσκοπον, μήτε διάκονον. εἰ δέ τις μετὰ τὸν τῆς ἁγίας συνόδου ὅρον, τοιούτῳ τινὶ ἐπιχειρήσειεν, ἢ ἐπιδῷ ἑαυτὸν πράγματι, ἀκυρωθήσεται ἐξ ἅπαντος τὸ κατασκεύασμα. καὶ ἀποκατασταθήσεται τῇ ἐκκλησίᾳ, ἧς ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος ἐχειροτονήθη.

περὶ τῶν ἐν αἷς προεβλήθησαν ἐκκλησίαις, οὐκ ἐμμενόντων.

Ὅσοι ῥιψοκινδύνως, μήτε τὸν φόβον τοῦ θεοῦ, πρὸ ὀφθαλμῶν ἔχοντες, μήτε τὸν ἐκκλησιαστικὸν κανόνα εἰδότες ἀναχωροῦσι τῆς ἐκκλησίας πρεσβύτεροι, ἢ διάκονοι, ἢ ὅλως ἐν τῷ κλήρῳ ἐξεταζόμενοι, οὗτοι οὐδαμῶς δεκτοὶ ὀφείλουσιν εἶναι ἐν ἑτέρᾳ ἐκκλησίᾳ. ἀλλὰ πᾶσαν αὐτοῖς ἀνάγκην ἐπάγεσθαι χρὴ, ἀναστρέφειν εἰς τὰς ἑαυτῶν παροικίας. ἐπιμένοντας δὲ, ἀκοινωνήτους εἶναι προσήκει. εἰ δὲ καὶ τολμήσειέ τις ὑφαρπάσαι τὸν τῷ ἑτέρῳ διαφέροντα, καὶ χειροτονῆσαι ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, μὴ συγκατατιθεμένου τοῦ ἐπισκόπου, οὗ ἀνεχώρησεν ὁ ἐν τῷ κανόνι ἐξεταζόμενος, ἄκυρος ἔστω ἡ χειροτονία.

περὶ κληρικῶν τοκιζόντων.

Ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξεταζόμενοι τὴν πλεονεξίαν, καὶ τὴν αἰσχροκέρδειαν διώκοντες, ἐπελάθοντο τοῦ θείου γράμματος, λέγοντος· τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δανείζοντες ἑκατοστὰς ἀπαιτοῦσιν, ἐδικαίωσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος, ὡς εἴ τις εὑρεθείη μετὰ τὸν ὅρον τοῦτον τόκους λαμβάνων ἐκ μεταχειρήσεως, ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα, ἢ ἡμιολίας ἀπαιτῶν, ἢ ὅλως ἕτερόν τι ἐπινοῶν αἰσχροῦ κέρδους ἕνεκεν, καθαιρεθήσεται τοῦ κλήρου, καὶ ἀλλότριος τοῦ κανόνος ἔσται· περὶ πρεσβυτέρων λαμβανόντων παρὰ διακόνων τὴν εὐχαριστίαν.

Ἦλθεν εἰς τὴν ἁγίαν καὶ μεγάλην σύνοδον, ὅτι ἔν τισι τόποις, ἢ πόλεσι τὴν εὐχαριστίαν οἱ διάκονοι διδόασιν· ὅπερ οὔτε ὁ κανὼν, οὔτε ἡ συνήθεια παρέδωκε, τοὺς ἐξουσίαν μὴ ἔχοντας προσφέρειν, τούτους, τοῖς προσφέρουσι διδόναι τὸ σῶμα τοῦ Χυ· κἀκεῖνο δὲ ἐγνωρίσθη, ὅτι ἤδη τινὲς τῶν διακόνων, καὶ πρὸ τῶν ἐπισκόπων, τῆς εὐχαριστίας ἅπτονται· ταῦτα οὖν πάντα περιῃρήσθω· καὶ μενέτωσαν οἱ διάκονοι, τοῖς ἰδίοις μέτροις εἰδότες ὅτι τοῦ μὲν ἐπισκόπου ὑπηρέται εἰσί· τῶν δὲ πρεσβυτέρων ἐλάττους τυγχάνουσι. λαμβανέτωσαν δὲ κατὰ τάξιν τὴν εὐχαριστίαν, μετὰ τοὺς πρεσβυτέρους, ἢ τοῦ ἐπισκόπου αὐτοῖς διδόντος, ἢ τοῦ πρεσβυτέρου· ἀλλὰ μήτε καθῆσθαι ἐν μέσῳ τῶν πρεσβυτέρων ἐξέστω τοῖς διακόνοις· παρὰ κανόνα γὰρ καὶ παρὰ τάξιν ἐστὶ τὸ γινόμενον. εἰ δέ τις μὴ θέλοι πειθαρχεῖν, καὶ μετὰ τοὺς ὅρους, πεπαύσθω τῆς διακονίας· περὶ τῶν ἐκ τοῦ Παύλου τοῦ Σαμωσατέως προσελθόντων, ἢ προσιόντων τῇ καθολικῇ ἐκκλησίᾳ.

κανὼν,

Περὶ τῶν Παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθολικῇ ἐκκλησίᾳ, ὅρος ἐκτέθειται ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος. εἰ δέ τινες ἐν τῷ παρεληλυθότι χρόνῳ ἐν τῷ κλήρῳ ἐξητάσθησαν, εἰ μὲν ἄμεμπτοι, καὶ ἀνεπίληπτοι φανεῖεν, ἀναβαπτισθέντες, χειροτονείσθωσαν ὑπὸ τοῦ τῆς ἐκκλησίας ἐπισκόπου· εἰ δὲ ἀνακριθέντες ἀνεπιτήδειοι εὑρίσκονται, καθαιρεῖσθαι αὐτοὺς προσήκει· ὡσαύτως δὲ καὶ περὶ τῶν διακόνων, καὶ ὅλως περὶ τῶν τῷ αὐτῷ κανόνι ἐξεταζομένων· ὁ αὐτὸς τύπος φυλαχθήσεται· ἐμνήσθημεν δὲ, καὶ τῶν διακονισσῶν, τῶν ἐν αὐτοῖς, τῶν ἐν τῷ σχήματι ἐξετασθεισῶν· ἐπεὶ, μήτε χειροθεσίαν τινὰ ἔχουσιν, ὡς ἐξάπαντος ἐν τοῖς λαϊκοῖς αὐτὰς ἐξετάζεσθαι· περὶ τῶν ἐν κυριακῇ γονυκλινόντων.

Κυριακῇ· τοῦ τὸ φυλάττεσθαι

Ἐπειδή εἰσί τινες ἐν τῇ κυριακῇ γόνυ κλίνοντες, καὶ ἐν ταῖς τῆς πεντηκοστῆς ἡμέραις, ὑπὲρ* τοῦ πάντα ὁμοίως ἐν πάσῃ παροικίᾳ, ὁμοφρόνως *φυλάττεται, ἑστῶτας ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, τὰς εὐχὰς ἀποδιδόναι τῷ θῷ. | τούτους τοὺς εἴκοσι νόμους, τὸ αὐτὸ

ἴδιον αὐτοῦ

ἄξιον αὐτῶν συνέδριον, ἐπὶ παρουσίᾳ τοῦ θεοφιλεστάτου, καὶ πανσόφου βα-
σιλέως κωνσταντίνου, περὶ τῆς ἐκκλησιαστικῆς πολιτείας ἐγράψαντο·
ἐβούλοντο δὲ καὶ ἕτερον νόμον ἐκθεῖναι* τῶν ἐπισκόπων, ὃν ὁ θεῖος ἐκώ- *οἱ ἐπίσκοποι*
λυσε παφνούτιος. περὶ οὗ, ἀναγκαῖον ἐστὶν ἤδη διηγήσασθαι. μικροῦ θαυ-
μαστὸς, ἄξιον διήγημα. ἐδόκει τοῖς τῶν ἐπισκόπων, νόμον νεαρὸν εἰς τὴν
ἐκκλησίαν εἰσαγαγεῖν ἐν τῇ συνόδῳ, ὡς περὶ τῶν ἄλλων τῆς ἐκκλη-
σίας, οὕτω καὶ τοῦτον ὁρίσαι.

## περὶ τοῦ μὴ δεῖν, τοὺς ἱερωμένους, ἕκαστον τὴν ἑαυτοῦ γαμετὴν ἐκβάλλειν:

Ἔγγραφον δὲ, περὶ τοῦ μὴ δεῖν τοὺς ἱερωμένους, εἴτε ἐπίσκοποι, εἴτε
πρεσβύτεροι, εἴτε διάκονοι, εἴτε ὑποδιάκονοι, εἴτε τις τοῦ ἱερατικοῦ
καταλόγου, συγκαθεύδειν ταῖς γαμεταῖς, ἃς ἔτι λαϊκοὶ ὄντες
ἠγάγοντο. τούτου δὲ οὕτω διατυπουμένου, ἀναστὰς ἐν μέσῳ τοῦ ὄχλου *vide Gratian. 31. distinct. c. Nicena.*
τῶν ἐπισκόπων ὁ θεῖος παφνούτιος, μεγάλῃ τῇ φωνῇ ἐβόησε λέγων,
μὴ βαρύνετε τὸν ζυγὸν τῶν ἱερωμένων. τίμιος γάρ φησιν
ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. μὴ τῇ ὑπερβολῇ τῆς ἀκρι-
βείας, τὴν ἐκκλησίαν μᾶλλον προσβλάψητε. οὐ γάρ φησι πάντας
δύνασθαι φέρειν τῆς ἀπαθείας τὴν ἄσκησιν. οὐδὲ ἴσως οἶμαι φυλαχ-
θήσεται ἐν τῇ σωφροσύνῃ, τῆς ἑκάστου γαμετῆς, τοῦ ἀνδρὸς στε-
ρουμένης. σωφροσύνην δὲ καλεῖ, καὶ τῆς νομίμου γαμετῆς ἑκάστου τὴν
συνέλευσιν λέγων. μὴ μὴν ἀποζεύγνυσθαι ταύτης, ἣν ὁ θεὸς ἔζευξε·
καὶ ἣν ἅπαξ ἀναγνώστης, ἢ ψάλτης, ἢ λαϊκὸς ὢν ἠγάγετο. καὶ ταῦ-
τα ἔλεγεν ὁ μέγας παφνούτιος, ἄπειρος ὢν γάμου, διὰ τὸ νηπιόθεν,
ἐν ἀσκητηρίοις ἀνατεθράφθαι αὐτόν. διὸ πεισθεὶς ὁ πᾶς τῶν ἐπισκό-
πων σύλλογος, τῇ τοῦ ἀνδρὸς* συμβουλίᾳ, ἀπεσίγησε περὶ τοῦ ζητή- *συμβουλία*
ματος τούτου, τῇ γνώμῃ καταλείψαντες τῶν βουλομένων, κατὰ συμ-
φωνίαν, ἀπέχεσθαι τῆς ἰδίας γαμετῆς. ταῦτα ἐπράχθησαν, ἐπὶ
τῆς ἁγίας καὶ μεγάλης συνόδου καὶ οἰκουμενικῆς, τῆς ἐν νικαίᾳ
τῆς βιθυνίας ἀθροισθείσης. εὐσέβιος δὲ καὶ θέογνιος, καὶ οἱ σὺν αὐτοῖς
ἀρειανοί, οὐκ ἐγκρίνοντες τὴν τῆς ἀληθοῦς πίστεως κρατυνθεῖσαν
βεβαίωσιν, ἔτι μὴν καὶ τὸν ἄρειον ἀναθεματίσαι μὴ ἀνεχόμενοι,
φωραθέντες καὶ αὐτοὶ, ἐπὶ τούτῳ, ἐξορίᾳ ὑπέπεσον, ψήφῳ τοῦ
θεοφιλεστάτου βασιλέως, καὶ κρίσει τῆς ἁγίας τῶν ἐπισκόπων συν-
όδου. ἄλλων ἀντ' αὐτῶν ἐν ταῖς αὐτῶν παροικίαις κατασταθέντων,
ψήφῳ τῆς αὐτῆς συνόδου. καὶ τοῦ τῆς ἑκάστου παροικίας κλήρου

καὶ λαοῦ. καὶ ἀμφίων μὲν τὴν τῆς νικομηδέων ἐκκλησίας ἡγεμονίαν παρέλαβε. Χρῆστος δὲ, τὴν τῆς νικαίας, καὶ ἄλλοι τὰς τῶν ὁμαιρέτων αὐτῶν. ἀλλὰ καὶ πάλιν, ταῖς ἐξ ἔθους χρησάμενος μηχαναῖς, εὐσέβιος, καὶ θεόγνιος, καὶ τὴν βασιλέως φιλανθρωπίαν ἐφόδιον ἐξαπάτης εὑρόντες, ἀναπαλαῖσαι πάλιν καὶ τὴν προτέραν δυναστείαν ἀπολαβεῖν ἐπειρῶντο. καὶ τὰ μὲν τούτων κάκιστα μηχανήματα πάμπολλα ὄντα, καὶ πάσης ἀσεβείας ἔμπλεα τυγχάνοντα, πρὸς τὴν θεοδωρήτου καὶ τῶν λοιπῶν συγγραφέων ἐκκλησιαστικὴν ἱστορίαν, τοὺς βουλομένους καταμαθεῖν, παραπέμψομαι. βαδιοῦμαι δὲ ἐγὼ ἐντεῦθεν τῷ λόγῳ ἐπὶ τὰ ἑξῆς. περὶ ὧν ἡ τῶν ἀθροισθέντων ἀπέστειλε σύνοδος τοῖς ἀπολειφθεῖσιν ἐπισκόποις, καὶ ταῖς ἑαυτῶν παροικίαις. οὐ μὴν δὲ, ἀλλὰ καὶ ὁ νικηφόρος καὶ πιστότατος βασιλεύς, εἰς σύστασιν τῆς τε ἐκτεθείσης ἁγιωτάτης πίστεως, καὶ τῆς ἁγίας ἑορτῆς τοῦ πάσχα. εἰς ἔλεγχον δὲ τῶν τῆς ἀσεβείας πρωτοστατῶν. ἐπὶ τούτοις γὰρ πᾶσι μεγαλοφυῶς συγκροτηθείσης τῆς συνόδου, καὶ θεοπρεπῶς ἐκφωνηθείσης τῆς πίστεως, τά, τε κατὰ τὴν ἐκκλησιαστικὴν εὐταξίαν τυπώσαντες ἅπαντα οἱ ἅγιοι πατέρες, δηλῶσαι πάντα τὰ ὁρισμένα διὰ γραμμάτων πάσαις ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, ἐσπούδασαν, συνάψαντες καὶ τὰ κατὰ μελίτιον.

περὶ τῆς ἀνόδου μελιτίου.

Ἐπεὶ δὲ καὶ μελίτιος, τῆς ἐπισκοπῆς λυκοπολίας ἡγούμενος, οὐ πρὸ πολλοῦ τῆς ἀρείου μανίας διελεγχθεὶς ὑπὸ τοῦ θειοτάτου πέτρου τοῦ τῆς ἀλεξανδρέων ἐπισκόπου, τοῦ, καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀναδησαμένου. καθαιρεθεὶς ὁ αὐτὸς μελίτιος, οὐκ ἔστερξε τὴν τῆς καθαιρέσεως ψῆφον, ἀλλὰ τήν τε θηβαΐδα καὶ τὴν πελάζουσαν αἴγυπτον, θορύβων καὶ ζάλης ἐνέπλησε τυραννίδος. κατὰ τῆς ἀλεξανδρέων τοῦ ἐπισκόπου χρώμενος προεδρίας. ἔγρα-
ση ψε* δὲ τὸ κοινὸν τῆς συνόδου, πρὸς τὴν τῶν ἀλεξανδρέων ἐκκλησίαν, ἅπερ περὶ τῆς τοιαύτης νεωτερίας, ἐνομοθέτησε.

συνοδικὴ ἐπιστολή, γραφεῖσα ταῖς κατὰ ἀλεξάνδρειαν καὶ αἴγυπτον, καὶ πεντάπολιν, καὶ λιβύην. καὶ ταῖς κατὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις. κλήρῳ τε καὶ λαοῖς τῆς ὀρθοδόξου πίστεως, παρὰ τῆς ἐν νικαίᾳ ἁγίας συνόδου, τῶν. τιη. ἐπισκόπων.

Ἡ ἁγία καὶ μεγάλη σύνοδος, τῇ ἁγίᾳ καὶ μεγάλῃ θεοῦ χάριτι

ἀλεξανδρέων

ἀλεξανδρέων ἐκκλησίᾳ, καὶ τοῖς κατὰ τὴν αἴγυπτον, καὶ πεντά
πολιν, καὶ λιβύην, καὶ τοῖς κατὰ τὴν ὑπ' οὐρανὸν ἀγαπητοῖς ἀδελ
φοῖς, κληρικοῖς τε καὶ λαοῖς ὀρθοδόξοις, οἱ ἐν νικαίᾳ συναχθέντες,
καὶ τὴν ἁγίαν καὶ μεγάλην σύνοδον συγκροτήσαντες ἐπίσκοποι, ἐν
κυρίῳ χαίρειν.

Ἐπειδὴ τῆς τοῦ θεοῦ χάριτος καὶ τοῦ θεοφιλεστάτου βασιλέως κωνσταντίνου
συναγαγόντος ἡμᾶς ἐκ διαφόρων* ἐπαρχιῶν καὶ πόλεων, ἡ μεγάλη καὶ ἁγία — πόλεων τε καὶ ἐπαρχιῶν
σύνοδος ἡ ἐν νικαίᾳ* συγκροτηθεῖσα, τὰ περὶ τῆς ἐκκλησιαστικῆς — συνεκροτήθη.
πίστεως διείληφεν.* ἅτινα ἀναγκαῖον ἡμῖν ἐφάνη ἀποσταλῆναι — ἐξ ἅπαντος
παρ' ἡμῶν πρὸς ὑμᾶς διὰ γραμμάτων. ἵνα εἰδέναι ἔχοιτε, τίνα μὲν
ἐκινήθη, καὶ ἐξητάσθη. τίνα δὲ ἔδοξε καὶ ἐκρατύνθη. πρῶτον μὲν
οὖν* ἁπάντων ἐξητάσθη, τὰ κατὰ τὴν ἀσέβειαν καὶ παρανομίαν ἀρείου, — ἐξ ἅπ.
καὶ τῶν σὺν αὐτῷ, ἐπὶ παρουσίᾳ τοῦ θεοφιλεστάτου βασιλέως ἡμῶν
κωνσταντίνου. καὶ παμψηφεὶ ἔδοξεν ἀναθεματισθῆναι αὐτόν, καὶ τὴν
ἀσεβῆ αὐτοῦ δόξαν. καὶ τὰ ῥήματα. καὶ τὰ νοήματα αὐτοῦ τὰ βλάσφημα.
οἷς ἐκέχρητο βλασφημῶν τὸν υἱὸν τοῦ θεοῦ. λέγων ἐξ οὐκ ὄντων εἶναι, καὶ πρὶν
γεννηθῆναι μὴ εἶναι. καὶ ἦν ποτὲ ὅτε οὐκ ἦν. καὶ αὐτεξουσιότητι κακίας
καὶ ἀρετῆς δεκτικὸν τὸν υἱὸν τοῦ θεοῦ λέγοντος. καὶ κτίσμα ὀνομάζοντος
καὶ ποίημα. ταῦτα πάντα ἀνεθεμάτισεν ἡ ἁγία σύνοδος. οὐδὲ ὅσον
ἀκοῦσαι τῆς ἀσεβοῦς δόξης καὶ τῆς ἀπονοίας, καὶ τῶν βλασφήμων ῥημάτων
αὐτοῦ ἀνασχομένη. καὶ τὰ μὲν κατ' ἐκεῖνον οἵου τέλους τετύχηκεν, πάντως
ἢ ἀκηκόατε, ἢ ἀκούσεσθε. ἵνα μὴ δόξωμεν ἐπεμβαίνειν ἀνδρί, δι' οἰκεί
αν ἁμαρτίαν ἄξια τὰ ἐπίχειρα κομισαμένῳ. τοσοῦτον δὲ ἴσχυσεν αὐτοῦ
ἡ ἀσέβεια, ὡς καὶ παραπολέσαι θεωνᾶν τὸν ἀπὸ *βαρβαρικῆς. καὶ σε — μαρμαρικῆς
κοῦνδον τὸν ἀπὸ πτολεμαΐδος. τῶν γὰρ αὐτῶν κἀκεῖνοι σὺν τοῖς ἄλλοις
τετυχήκασιν. ἀλλ' ἐπειδὴ ἡ τοῦ θεοῦ χάρις, τῆς μὲν κακοδοξίας ἐκείνης,
καὶ βλασφημίας. καὶ τῶν προσώπων τῶν τολμησάντων διαίρεσιν καὶ διάστα
σιν ποιήσασθαι τοῦ εἰρηνευομένου ἄνωθεν λαοῦ,* ἠλευθέρωσε τὴν αἴγυ — ἠλευθέρωσεν ἡμᾶς
πτον. ἐλείπετο δὲ τὸ κατὰ τὴν προπέτειαν μελιτίου, καὶ τῶν ὑπ' αὐτοῦ
χειροτονηθέντων. καὶ περὶ τούτου τοῦ μέρους, ἃ ἔδοξε τῇ συνόδῳ ἐμφα
νίζομεν ὑμῖν ἀγαπητοὶ ἀδελφοί. ἔδοξεν οὖν *βέλτιον μέν, φιλανθρω — μελίτιον
πότερον κινηθείσης τῆς συνόδου (κατὰ γὰρ τὸν ἀκριβῆ λόγον, οὐδε
μιᾶς συγγνώμης ἄξιος ἦν)* μέλειν ἐν τῇ αὐτοῦ πόλει, καὶ μηδεμίαν — μένειν ἐν τῇ ἑαυτοῦ
ἐξουσίαν ἔχειν, μήτε χειροθετεῖν, μήτε *χειρίζειν, μηδὲ χειροθετεῖν, μήτε — προχειρίζεσθαι
ἐν χώρᾳ, μήτε ἐν πόλει ἑτέρᾳ φαίνεσθαι ταύτης τῆς προφάσεως
ἕνεκα. ψιλὸν δὲ τὸ ὄνομα τῆς τιμῆς κεκτῆσθαι. τοὺς δὲ ὑπ' αὐτοῦ κατα

κατασταθέντας κοινωνηθῆναι

σταθέντας, μυστικωτέρᾳ χειροτονίᾳ* βεβαιωθέντας, κοινωνηθῆναι ἐπὶ
τούτοις· ἐφ' ᾧτε ἔχειν μὲν αὐτοὺς τὴν τιμὴν, καὶ λειτουργίαν· δευτέρους
δὲ εἶναι ἐξάπαντος, πάντων τῶν ἐν ἑκάστῃ παροικίᾳ, καὶ ἐκκλησίᾳ ἐξεταζομένων·

τοῦ τιμιωτάτου καὶ συλλειτουργοῦ ἡμῶν Ἀλεξάνδρου προκεχειρισμένων. ὡς πρὸς τούτοις μὲν μηδεμίαν ἐξουσίαν

τῶν ὑπὸ* τοῦ τιμιωτάτου, καὶ συλλειτουργοῦ ἡμῶν Ἀλεξάνδρου
προκεχαρισμένων· ὡς τούτοις μὲν, μηδεμίαν εἶναι, τοὺς ἀρέσκοντας αὐτοῖς
προχειρίζεσθαι, ἢ ὑποβάλλειν ὀνόματα· ἢ ὅλως ποιεῖν τι, χωρὶς
γνώμης, τῷ τῆς καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας ἐπισκόπῳ,
τῶν ὑπὸ Ἀλέξανδρον τελούντων, τοῦ ὁσιωτάτου συλλειτουργοῦ ἡμῶν.

σχίσματι

τοὺς δὲ χάριτι θεοῦ, καὶ εὐχαῖς ὑμετέραις ἐν μηδενὶ* δόγματι εὑρεθέντας,
ἀλλὰ καὶ ἀκηλιδώτους, ἐν τῇ καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ
ὄντας, ἐξουσίαν ἔχειν καὶ προχειρίζεσθαι, καὶ ὀνόματα ἐπιλέγεσθαι,
τῶν ἀξίων τοῦ κλήρου· καὶ ὅλως πάντα ποιεῖν· καὶ κατὰ νόμον, καὶ θεσμὸν
τὸν ἐκκλησιαστικόν. εἰ δέ τινα συμβαίη ἀναπαύσασθαι τῶν ἐν τῇ ἐκκλησίᾳ,
τηνικαῦτα προσαναβαίνειν εἰς τὴν τιμὴν τοῦ τετελευτηκότος,
τοὺς ἄρτι προσληφθέντας· μόνον εἰ ἄξιοι φαίνοιντο, καὶ ὁ λαὸς αἱροῖτο.
συνεπιψηφίζοντος αὐτῷ, καὶ ἐπισφραγίζοντος, τοῦ τῆς Ἀλεξανδρείας
ἐπισκόπου. τοῦτο δὲ τοῖς μὲν ἄλλοις ἅπασι, συνεχωρήθη. ἐπὶ δὲ τοῦ
Μελιτίου προσώπου, οὐκέτι τὰ αὐτὰ ἔδοξε, διὰ τὴν ἀνέκαθεν αὐτοῦ

αὐτοῦ καὶ

ἀταξίαν, καὶ διὰ τὸ πρόχειρον* καὶ προπετὲς τῆς γνώμης· ἵνα μηδεμία
ἐξουσία, ἢ αὐθεντία αὐτῷ δοθείη, ἀνθρώπῳ δυναμένῳ πάλιν, τὰς
αὐτὰς ἀταξίας ἐμποιῆσαι. ταῦτα ἐστὶ τὰ ἐξαίρετα, καὶ διαφέροντα
Αἰγύπτῳ, καὶ τῇ ἁγιωτάτῃ Ἀλεξανδρέων ἐκκλησίᾳ. εἰ δέ τι ἄλλο, ἢ

κυρίου

ἐκανονίσθη, ἢ ἐδογματίσθη, συμπαρόντος τοῦ* κυρίου καὶ τιμιωτάτου
συλλειτουργοῦ καὶ ἀδελφοῦ ἡμῶν Ἀλεξάνδρου, αὐτὸς παρὼν, ἀκριβέστερον
ἀνοίσει ταῦτα πρὸς ὑμᾶς· ἅτε δὴ καὶ κύριος, καὶ κοινωνὸς τῶν

ὑμῖν περὶ

γεγενημένων τυγχάνων. εὐαγγελιζόμεθα δὲ* ὑμᾶς, καὶ περὶ τῆς κοινωνίας
τοῦ ἁγίου πάσχα· ὅτι ὑμετέραις εὐχαῖς κατωρθώθη καὶ τοῦτο
τὸ μέρος· ὥστε πάντας τοὺς ἐν τῇ ἕῳ ἀδελφοὺς τοὺς μετὰ τῶν Ἰουδαίων
τὸ πρότερον ποιοῦντας, συμφώνως Ῥωμαίοις καὶ ὑμῖν καὶ πᾶσιν
ἡμῖν τοῖς ἐξ ἀρχαίου μεθ' ὑμῶν φυλάττουσι τὸ πάσχα, ἐκ τοῦ δεῦρο
ἄγειν τὴν αὐτὴν ἁγιωτάτην ἑορτὴν τοῦ πάσχα. χαίροντες οὖν
ἐπὶ τοῖς κατορθώμασι, καὶ ἐπὶ τῇ κοινῇ εἰρήνῃ, καὶ συμφωνίᾳ, καὶ
ἐπὶ τῷ πᾶσαν αἵρεσιν ἐκκοπῆναι, ἀποδέξασθε μὲν μετὰ μείζονος
τιμῆς, καὶ πλείονος ἀγάπης, τὸν συλλειτουργὸν ἡμῶν, ὑμῶν δὲ
ἐπίσκοπον Ἀλέξανδρον, τὸν εὐφράναντα ἡμᾶς τῇ αὐτοῦ

παρουσίᾳ. καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ, τοσοῦτον πόνον ὑποστάντα, ὑπὲρ
τῆς εἰρήνης γενέσθαι παρά τε ἡμῖν, καὶ πᾶσιν. εὔχεσθε δὲ καὶ περὶ
ἡμῶν ἁπάντων. ἵνα τὰ καλῶς ἔχειν δόξαντα, ταῦτα βέβαια
μένοι. κατ' εὐδοκίαν γεγεννημένα ὡς πιστεύομεν, παρὰ τοῦ παντο-
κράτορος θεοῦ, καὶ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
καὶ τοῦ ἁγίου πνεύματος. ᾧ ἡ δόξα, εἰς τοὺς αἰῶνας, ἀμήν.

Ἐγκύκλιος ἐπιστολὴ γραφεῖσα παρὰ Εὐσεβίου, ἐπισκόπου Καισαρείας, τῆς ἐν Παλαιστίνῃ:~

Τὰ περὶ τῆς ἐκκλησιαστικῆς πίστεως πραγματευθέντα κατὰ τὴν
μεγάλην σύνοδον τὴν ἐν Νικαίᾳ συγκροτηθεῖσαν, εἰκὸς μὲν ὑμᾶς
ἀναπαυθεὶ, καὶ ἄλλοθεν μεμαθηκέναι. τῆς φήμης προτρέχειν εἰωθυίας,
τὸν περὶ τῶν πραττομένων πραγμάτων ἀκριβῆ λόγον. ἀλλ' ἵνα μὴ ἐκ τοι-
αύτης ἀκοῆς τὰ τῆς ἀληθείας ἑτεροίως ὑμῖν * ἀπαγγέλλεται, ἀναγ- — ἀπαγγέλλωνται
καίως διεπεμψάμεθα ὑμῖν. πρῶτον μὲν, τὴν ὑφ' ἡμῶν προταθεῖσαν
περὶ τῆς πίστεως γραφήν. ἔπειτα δὲ, τὴν δευτέραν, ἣν ταῖς ἡμε-
τέραις φωναῖς προσθήκας ἐπιβαλόντες ἐκδεδώκασι. τὸ μὲν οὖν
παρ' ἡμῶν γράμμα, ἐπὶ παρουσίᾳ τοῦ θεοφιλεστάτου ἡμῶν βασιλέ-
ως ἀναγνωσθὲν, εὖ τε ἔχειν καὶ δοκίμως ἀποφανθὲν, τοῦτον * ἔχειν τὸν — ἔχει
τρόπον. ἡ ὑφ' ἡμῶν ἐκτεθεῖσα πίστις. καθὼς παρελάβομεν, παρὰ τῶν
πρὸ ἡμῶν ἐπισκόπων, καὶ ἐν τῇ πρώτῃ κατηχήσει. καὶ ὅτε τὸ λουτρὸν
ἐλαμβάνομεν, καὶ καθὼς ἀπὸ τῶν θείων γραφῶν μεμαθήκαμεν. καὶ ὡς ἐν — αὐτῷ
τῷ πρεσβυτερίῳ * ἐν αὐτῇ τῇ ἐπισκοπῇ, ἐπιστεύομέν τε καὶ ἐδιδάσκομεν, — καὶ ἐν
οὕτω καὶ νῦν πιστεύοντες, τὴν ἡμετέραν πίστιν ὑμῖν προσαναφέρομεν. ἔστι
δὲ αὕτη. Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα. τὸν τῶν ἁπ-
άντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν. Καὶ εἰς ἕνα, κύριον Ἰησοῦν Χριστόν. τὸν τοῦ
θεοῦ λόγον. θεὸν ἐκ θεοῦ. φῶς ἐκ φωτός. ζωὴν ἐκ ζωῆς. υἱὸν μονογενῆ
πρωτότοκον πάσης κτίσεως. πρὸ πάντων τῶν αἰώνων, ἐκ τοῦ πατρὸς γεγεν-
νημένον. δι' οὗ καὶ ἐγένετο τὰ πάντα. τὸν διὰ τὴν ἡμετέραν σωτη-
ρίαν σαρκωθέντα, καὶ ἐν ἀνθρώποις πολιτευσάμενον. καὶ παθόντα. καὶ ἀνα-
στάντα τῇ τρίτῃ ἡμέρᾳ. καὶ ἀνελθόντα πρὸς τὸν πατέρα. καὶ ἥξοντα
πάλιν ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς. Πιστεύομεν καὶ εἰς ἓν
πνεῦμα ἅγιον. * ἀληθῶς πνεῦμα ἅγιον. καθὼς καὶ ὁ κύριος ἡμῶν ἀποστέλλων
εἰς τὸ κήρυγμα τοὺς ἑαυτοῦ μαθητὰς εἶπε. πορευθέντες μαθη-
τεύσατε πάντα τὰ ἔθνη. βαπτίζοντες αὐτούς, εἰς τὸ ὄνομα τοῦ
πατρὸς καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. περὶ ὧν καὶ διαβεβαιούμεθα

[margin:] τούτων ἕκαστον εἶναι καὶ ὑπάρχειν πιστεύοντες πατέρα, ἀληθινῶς πατέρα, καὶ υἱὸν ἀληθινῶς υἱόν, πνεῦμά τε ἅγιον ἀληθινῶς πν. ἅ. καθὼς

[πάλαι] οὕτως ἔχειν. καὶ οὕτω φρονεῖν. καὶ *πάλιν οὕτως ἐσχηκέναι καὶ μέχρι
[συνίστασθαι] θανάτου, ὑπὲρ ταύτης *ἐνίστασθαι τῆς πίστεως. ἀναθεματίζοντες πᾶσαν
ἄθεον αἵρεσιν. ταῦτα ἀπὸ καρδίας καὶ ψυχῆς, πάντοτε πεφρονηκέναι
ἐξ οὗπερ ἴσμεν ἑαυτούς. καὶ νῦν φρονεῖν, τε καὶ λέγειν ἐξ ἀληθείας
ἐπὶ τοῦ θεοῦ τοῦ παντοκράτορος, καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαρτυρό-
μεθα, δεικνύναι ἔχοντες καὶ δι' ἀποδείξεων, καὶ πείθειν ὑμᾶς, ὅτι
καὶ τοὺς παρεληλυθότας χρόνους, οὕτως ἐπιστεύομέν τε, καὶ ἐκηρύσσομεν.
[οὐδεὶς] Ταύτης ἐφ' ἡμῶν ἐκτεθείσης τῆς πίστεως, *οὐδενὶ παρῆν ἀντιλογίας
τόπος. ἀλλ' αὐτός τε πρῶτος ὁ θεοφιλέστατος ἡμῶν βασιλεύς, ὀρ-
θότατα περιέχειν αὐτὴν ἐμαρτύρησεν. οὕτω, τε καὶ ἑαυτὸν φρονεῖν
συνωμολόγησε. καὶ ταύτῃ τοὺς πάντας συγκατατίθεσθαι, ὑπογράφειν
τε τοῖς δόγμασι, καὶ συμφωνεῖν τούτοις αὐτοῖς παρεκελεύετο. ἑνὸς
μόνου προσεγγραφέντος ῥήματος τοῦ ὁμοουσίου. ὃ καὶ αὐτὸ ἡρμήνευσε
λέγων, ὅτι μὴ κατὰ τὰ τῶν σωμάτων πάθη λέγοιτο τὸ περὶ ὁμοουσίου.
οὔτε κατὰ διαίρεσιν, οὔτε κατά, τινα ἀποτομὴν ἐκ τοῦ πατρὸς ὑποστῆναι.
μὴ δὲ γὰρ δύνασθαι τὴν ἄυλον, καὶ νοερὰν, καὶ ἀσώματον φύσιν, σω-
ματικόν, τι πάθος ὑφίστασθαι. θείοις δὲ καὶ ἀπορρήτοις λόγοις, προσήκειν
τὰ τοιαῦτα νοεῖν. καὶ ὁ μὲν σοφώτατος ἡμῶν καὶ εὐσεβέστατος βασιλεύς,
[τοιάδε διεφιλοσόφει] τὰ *τοιάδε ἐφιλοσόφει. οἱ δέ, προφάσει τῆς τοῦ ὁμοουσίου προσθήκης,
[γραφὴν πεποιήκασιν.] τὴν δὲ τὴν *γραφήν. ἡ ἐν τῇ συνόδῳ, ὑπαγορευθεῖσα πίστις.

Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα. πάντων ὁρατῶν τε, καὶ
ἀοράτων ποιητήν. Καὶ εἰς ἕνα κύριον, Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ. γεννηθέν-
τα ἐκ τοῦ πατρὸς μονογενῆ. τουτέστιν, ἐκ τῆς οὐσίας τοῦ πατρός. θεὸν ἐκ θεοῦ.
φῶς ἐκ φωτός. θεὸν ἀληθινόν, ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποι-
ηθέντα, ὁμοούσιον τῷ πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. τά, τε ἐν τῷ
οὐρανῷ, καὶ τὰ ἐν τῇ γῇ. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμε-
τέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπή-
σαντα. παθόντα. ταφέντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ. ἀνελ-
θόντα εἰς τοὺς οὐρανούς. ἐρχόμενον, κρῖναι ζῶντας καὶ νεκρούς. Καὶ
εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας ἦν ποτέ, ὅτε οὐκ ἦν,
[γεννηθῆναι] καὶ πρὶν *γενέσθαι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέ-
ρας ὑποστάσεως, ἢ οὐσίας φάσκοντας εἶναι, ἢ κτιστόν, ἢ τρεπτόν.
[ἡ ἁγία καθολικὴ καὶ ἀποστο-] ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, ἀναθεματίζει *ἡ ἀποστολική, καὶ
[λικὴ ἐκκλησία.] καθολικὴ ἐκκλησία. καὶ δὴ ταύτης τῆς γραφῆς ὑφ' αὐτῶν

ὑπαγορευ-

ὑπαγορευθείσης, ὅπως εἴρηται αὐτοῖς τό, ἐκ τῆς οὐσίας τοῦ
πατρὸς, καὶ τό, τῷ πατρὶ ὁμοούσιον, οὐκ ἀνεξέταστον αὐτοῖς καταλιμ-
πάνομεν.* ἐπερωτήσασι τοιγαροῦν, καὶ ἀποκρίσεις ἐντεῦθεν ἀνε- ἐρωτήσεσι
κινοῦντο.* ἐβασάνιζέ τε ὁ λόγος τὴν διάνοιαν τῶν εἰρημένων. ἐβασανίζετο ὁ λόγος τῇ διανοίᾳ τῶν εἰρ.
καὶ δὴ τὸ ἐκ τῆς οὐσίας τοῦ πατρὸς,* ὡμολογεῖτο πρὸς αὐτῶν. δηλω- ὡμολόγητο
τικὸν εἶναι, τοῦ ἐκ μὲν τοῦ πατρὸς εἶναι, οὐ μὴν ὡς μέρος ὑπάρχειν τοῦ
πατρός. ταύτῃ δὲ καὶ ἡμῖν ἐδόκει καλῶς ἔχειν συγκατατίθεσθαι τῇ
διανοίᾳ τῆς εὐσεβοῦς διδασκαλίας. ὑπαγορευούσης ἐκ τοῦ πατρὸς εἶναι
τὸν υἱόν. οὐ μὴν μέρος αὐτοῦ τῆς οὐσίας τυγχάνειν. διόπερ τῇ διανοίᾳ,
καὶ αὐτοὶ συντιθέμεθα. οὐδὲ τὴν φωνὴν* παραιτούμενοι, τοῦ τῆς εἰρή- παραιτούμεθα
νης σκοποῦ, πρὸ ὀφθαλμῶν ἡμῖν κειμένου, καὶ τοῦ μὴ τῆς ὀρθῆς
ἐκπεσεῖν διανοίας. κατὰ* ταὐτὰ δὲ καὶ τὸ γεννηθέντα, καὶ οὐ ποι- τοῦτο
ηθέντα κατεδεξάμεθα. ἐπειδὴ τὸ* ποιηθὲν, κοινὸν ἔφασκον εἶναι ποιηθέντα
πρόσρημα τῶν λοιπῶν κτισμάτων, τῶν διὰ τοῦ υἱοῦ γενομένων. ὧν οὐδὲν
ὅμοιον ἔχειν τὸν υἱόν. διὸ δὴ μὴ εἶναι αὐτὸν ποίημα, τοῖς δι' αὐτοῦ
γενομένοις ἐμφερές. κρείττονος δὲ, ἢ κατὰ πᾶν ποίημα τυγ-
χάνειν οὐσίας. ἣν ἐκ πατρὸς γεγεννῆσθαι, τὰ θεῖα διδάσκει λόγια.
τοῦ τρόπου τῆς γεννήσεως ἀνεκφράστου, καὶ ἀνεπιλογίστου πάσῃ γεν-
νητῇ φύσει τυγχάνοντος. οὕτω δὲ καὶ τὸ ὁμοούσιον εἶναι τοῦ πατρὸς τὸν
υἱόν, ἐξεταζόμενος ὁ λόγος* συνίστη, οὐ κατὰ τὸν τῶν σωμάτων τρόπον. συνίστησιν
οὐδὲ τοῖς θνητοῖς ζώοις παραπλησίως. οὔτε γὰρ κατὰ διαίρεσιν
τῆς οὐσίας, οὔτε κατὰ ἀποτομήν. ἀλλ' οὐδὲ κατά, τι πάθος, ἢ τροπήν,
ἢ ἀλλοίωσιν τῆς τοῦ πατρὸς δυνάμεως. τούτων γὰρ πάντων ἀλλοτρίαν
εἶναι, τὴν* ἀγέννητον τοῦ πατρὸς φύσιν. παραστατικὸν δὲ εἶναι τὸ τοῦ ἀγεννήτου π.
ὁμοούσιον τῷ πατρί.* τὸ μηδεμίαν ἐμφέρειαν πρὸς τὰ γεννητὰ τοῦ
κτίσματα τὸν υἱὸν τοῦ θεοῦ φέρειν. μόνῳ δὲ τῷ πατρὶ τῷ γεγεν-
νηκότι κατὰ πάντα τρόπον* ἀφωμοιῶσθαι. καὶ μὴ εἶναι ἐξ ἑτέρας ὅμοιον
τινὸς ὑποστάσεώς τε καὶ οὐσίας, ἀλλ' ἐκ τοῦ πατρός. ᾧ καὶ αὐτῷ τοῦτον
ἑρμηνευθέντι τὸν τρόπον, καλῶς ἔχειν ἐφάνη* συγκαταθέσθαι. ἐπεὶ συγκατατίθεσθαι.
καὶ τῶν παλαιῶν τινὰς λογίους καὶ ἐπιφανεῖς ἐπισκόπους, καὶ συγ-
γραφέας ἔγνωμεν, ἐπὶ τῆς τοῦ πατρὸς καὶ υἱοῦ θεολογίας, τῷ τοῦ
ὁμοουσίου χρησαμένους ὀνόματι. ταῦτα μὲν οὖν, περὶ τῆς ἐκτε-
θείσης εἰρήσθω πίστεως.* ἀλλὰ κατὰ τὰς ἀποδοθείσας διανοίας, ᾗ συνεφωνήσαμεν οἱ πάντες, οὐκ ἀνεξετάστως, ἀλλ'.
ἐπ' αὐτοῦ τοῦ θεοφιλεστάτου βασιλέως ἐξετασθείσας, καὶ τοῖς εἰ-
ρημένοις λογισμοῖς συνομολογηθείσας. καὶ τὸν ἀναθεματισμὸν
δὲ τὸν μετὰ τὴν πίστιν πρὸς* αὐτῶν ἐκτεθέντα, ἄλυπον ἀυτὸν τεθέντα δεκτὸν εἶν.

εἶναι ἡγησάμεθα. διὰ τὸ ἀπείργειν ἀγράφους* χρῆσθαι φωναῖς. δι' ἃς σχεδὸν, ἡ πᾶσα γέγονε σύγχυσις, καὶ ἀκαταστασία τῆς ἐκκλησίας. μηδεμιᾶς γοῦν θεοπνεύστου γραφῆς, τὸ ἐξ οὐκ ὄντων, καὶ τὸ ἦν ποτε ὅτε οὐκ ἦν, καὶ τοῖς ἑξῆς ἐπιλεγομένοις κεχρημένης, οὐκ εὔλογον ἐφάνη ταῦτα λέγειν καὶ διδάσκειν. ᾧ καὶ αὐτῷ καλῶς δόξαντι, συνεθέμεθα. ἐπεὶ μηδὲ ἐν τῷ πρὸ τούτου χρόνῳ τούτοις εἰώθαμεν *χρῆσθαι τοῖς ῥήμασιν. ἔτι μὴν τὸ ἀναθεματίζεσθαι τὸ πρὸ τοῦ γεννηθῆναι οὐκ ἦν, οὐκ ἄτοπον ἐνομίσθη, τῷ παρὰ πᾶσιν ὁμολογεῖσθαι εἶναι αὐτὸν υἱὸν τοῦ θεοῦ,* πρὸ τῆς κατὰ σάρκα γεννήσεως. ἤδη δὲ ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς, καὶ αὐτὸς τῷ λόγῳ κατεσκεύαζεν, ὡς καὶ κατὰ τὴν ἔνθεον αὐτοῦ γέννησιν τὴν πρὸ πάντων αἰώνων, εἶναι αὐτόν. ἐπεὶ καὶ πρὶν ἐνεργείᾳ γεννηθῆναι, δυνάμει ἦν ἐν τῷ πατρὶ ἀγεννήτως. ὄντος τοῦ πατρὸς ἀεὶ πατρός. ὡς καὶ βασιλέως ἀεὶ καὶ σωτῆρος,* ἀεὶ δυνάμει πάντα ὄντος. ἀεί τε κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος. ταῦτα ὑμῖν ἀναγκαίως διεπεμψάμεθα ἀγαπητοί,* τὸ κεκριμένον τῆς ἡμετέρας ἐξετάσεώς τε καὶ συγκαταθέσεως,* φανερὸν ὑμῖν καθιστῶντες. καὶ ὡς εὐλόγως τότε μὲν καὶ μέχρις ὑστάτης ὥρας ἐνιστάμεθα,* ὅτε ὑμῖν εὐγνωμόνως τῶν λόγων ἐξετάζουσι τὴν διάνοιαν, ἐφάνη συντρέχειν τοῖς ὑφ' ἡμῶν αὐτῶν ἐν τῇ προεκτεθείσῃ πίστει ὡμολογημένοις. ἀσπαζόμεθα ὑμᾶς, σὺν τῇ παρ' ὑμῖν ἀδελφότητι. ἐρρῶσθαι ὑμᾶς ἐν κυρίῳ εὐχόμεθα, ἀδελφοὶ τιμιώτατοι.

εἴρχθαι

συγκεχρῆσθαι

καὶ πρὸ τ.

καί

τὰ κεκριμένα

φανερὰ

ὅθ' ἡμῖν τὰ ἑτεροίως γραφέντα προσέκοπτε. τότε δὲ ἀφιλονείκως τὰ μὴ λυποῦντα κατεδεξάμεθα, ὅθ' ἡμῖν σύζην.

Νικητὴς κωνσταντῖνος, μέγιστος σεβαστὸς, ἐπισκόποις καὶ λαοῖς.

Τοὺς πονηροὺς καὶ ἀσεβεῖς μιμησάμενος ἄρειος, δίκαιός ἐστι τὴν αὐτὴν ἐκείνοις ὑπέχειν ἀτιμίαν. ὥσπερ τοίνυν πορφύριος ὁ τῆς θεοσεβείας ἐχθρὸς, συντάγματα ἄττα παράνομα κατὰ τῆς θρησκείας συστησάμενος, ἄξιον εὕρατο μισθόν. καὶ τοιοῦτον ὡς ἐπονείδιστον μὲν αὐτὸν πρὸς τὸν ἑξῆς γενέσθαι χρόνον, καὶ πλείστης ἀναπλησθῆναι κακοδοξίας. ἀφανισθῆναι δὲ τὰ ἀσεβῆ αὐτοῦ συγγράμματα, οὕτω καὶ νῦν ἔδοξεν ἄρειόν τε καὶ τοὺς ἀρείου ὁμογνώμονας, πορφυριανοὺς μὲν καλεῖσθαι. ἵν' ὧνπερ τοὺς τρόπους μεμίμηνται, τούτων ἔχωσι καὶ τὴν προσηγορίαν. πρὸς δὲ τούτοις, καὶ εἴ τι σύγγραμμα ὑπὸ ἀρείου συντεταγμένον εὑρίσκοιτο, τοῦτο πυρὶ παραδίδοσθαι. ἵνα μὴ μόνον τὰ φαῦλα αὐτοῦ τῆς διδασκαλίας ἀφανισθείη, ἀλλὰ μηδὲ ὑπόμνημα αὐτοῦ ὅλως ὑπολείποιτο. ἐκεῖνο μέντοι προαγορεύω. ὡς εἴ τις σύγγραμμα

ὑπὸ ἀρείου

ὑπὸ ἀρείου συνταγὲν φωραθείη κρύψας, καὶ μὴ εὐθέως προσενεγκὼν
καὶ πυρὶ καταναλώσῃ, τούτῳ θάνατος ἔσται ζημία· παραχρῆμα γὰρ
ἁλοὺς ἐπὶ τούτῳ, κεφαλικὴν ὑποστήσεται τιμωρίαν. ὁ θεὸς ὑμᾶς φυ-
λάξει ἀδελφοὶ ἀγαπητοί: καὶ ἄλλας δὲ ἐπιστολὰς ὁ βασιλεὺς κατὰ
ἀρείου, καὶ τῶν ὁμοδόξων αὐτοῦ πανηγυρικώτερον γράψας, παν-
ταχοῦ κατὰ πόλιν προέθηκεν.

## Ἐπιστολὴ τοῦ βασιλέως κωνσταντίνου, πρὸς ἀλεξανδρεῖς κατὰ ἀρείου· καὶ πρὸς πάντας ὀρθοδόξους:

Κωνσταντῖνος σεβαστός, τῇ καθολικῇ ἀλεξανδρέων, καὶ παντὶ τῶν ὀρθο-
δόξων ἐκκλησίᾳ· χαίρετε ἀγαπητοὶ ἀδελφοί. τελείαν παρὰ τῆς θείας
προνοίας εἰλήφαμεν χάριν. ἵνα πάσης πλάνης ἀπαλλαγέντες, μίαν
καὶ τὴν αὐτὴν ἐπιγινώσκωμεν πίστιν. οὐδὲν λοιπὸν τῷ διαβόλῳ ἔξ-
εστι καθ' ἡμῶν· πᾶν ὅ,τι δ' ἂν κακοτεχνησάμενος ἐπεχείρησεν, ἐκ
βάθρων ἀνῄρηται· τὰς διχονοίας· τὰ σχίσματα· τοὺς θορύβους
ἐκείνους· καὶ τὰ τῶν διαφωνιῶν, ἵν' οὕτως εἴπω θανάσιμα φάρμα-
κα, ἡ τῆς ἀληθείας κατὰ θεοῦ κέλευσιν ἐνίκησε λαμπρότης. ἕνα
τοιγαροῦν ἅπαντες, καὶ τῷ ὀνόματι προσκυνοῦμεν, καὶ εἶναι πεπιστεύ-
καμεν. ἵνα δὲ τοῦτο γένηται θελήσει θεοῦ, συνεκάλεσα εἰς τὴν
νικαέων πόλιν, τοὺς πλείστους τῶν ἐπισκόπων· μεθ' ὧν καὶ αὐτὸς εἷς,
καθάπερ εἷς τις ἐξ ὑμῶν συνθεράπων ὑμέτερος, καθ' ὑπερβολὴν
εἶναι χαίρων, καὶ αὐτὸς τὴν τῆς ἀληθείας ἐξέτασιν ἀνεδεξάμην.
ἠλέγχθη γοῦν ἅπαντα, καὶ ἀκριβῶς ἐξήτασται, ὅσα ἀμφιβολίας
καὶ διχονοίας πρόφασιν ἐδόκει γεννᾶν. καὶ φεισάσθω ἡ θεία μεγα-
λειότης, ἡλίκα καὶ ὡς δεινὰ περὶ τοῦ ἡμετέρου σωτῆρος, περὶ τῆς ἐλπί-
δος καὶ ζωῆς ἡμῶν, ἀπρεπῶς ἐβλασφήμουν τινές, τἀναντία ταῖς
θεοπνεύστοις γραφαῖς καὶ τῇ ἁγίᾳ πίστει φθεγγόμενοί τε, καὶ πιστεύειν
ὁμολογοῦντες. τριακοσίων γοῦν καὶ πρὸς, ἐπισκόπων, ἐπὶ σωφροσύνῃ τε
καὶ ἀγχινοίᾳ θαυμαζομένων, μίαν καὶ τὴν αὐτὴν πίστιν, ἣ καὶ ταῖς
ἀληθείαις ἀκριβὴς τοῦ θείου νόμου πέφυκε πίστις, εἶναι βεβαιούντων,
μόνος ἄρειος ἐφωράθη, τῆς διαβολικῆς ἐνεργείας ἡττημένος·
καὶ τὸ κακὸν τοῦτο, πρῶτον μὲν παρ' ὑμῖν· ἔπειτα δὲ καὶ παρ' ἑτέ-
ροις, ἀσεβεῖ γνώμῃ διασπείρας. ἀναδεξώμεθα τοιγαροῦν, ἣν ὁ
παντοκράτωρ θεὸς παρέσχε πίστιν. ἐπανέλθωμεν ἐπὶ τοὺς ἀγαπη-
τοὺς ἡμῶν ἀδελφούς· ὧν ἡμᾶς ὁ τοῦ διαβόλου ἀναιδής τις ὑπη-
ρέτης ἐχώρισεν. ἐπανίωμεν ἐπὶ τὸ κοινὸν ἡμῶν σῶμα. καὶ

τὰ γνήσια ἡμῶν μέλη. πάσῃ σπουδῇ ἐπανήκωμεν. τοῦτο γὰρ καὶ ἀγχινοίᾳ, καὶ τῇ πίστει, καὶ τῇ ὁσιότητι τῇ ὑμετέρᾳ πρέπει. ἵνα τῆς πλάνης ἐλευθερώσεις ἔχοντες, ὃν καὶ τῆς ἀληθείας ἐχθρὸν εἶναι συνέγνωκε, πρὸς τὴν θείαν ἐπανέλθητε χάριν. ὃ γὰρ τοῖς τριακοσίοις ἁγίοις ἤρεσεν ἐπισκόποις, οὐδέν ἐστιν ἕτερον, ἢ μόνη τοῦ υἱοῦ τοῦ θεοῦ γνώμη μάλιστα. ὅπου γε καὶ τὸ ἅγιον πνεῦμα, τοιούτων καὶ τηλικούτων ἀνδρῶν ταῖς διανοίαις ἐγκείμενον, τὴν θείαν βούλησιν ἐξεφώτισε. διὸ μηδεὶς ἀμφιβαλλέτω. μηδεὶς ὑπερτιθέσθω· ἀλλὰ προθύμως πάντες, εἰς τὴν ἀληθεστάτην ὁδὸν ἐπάνιτε. ἵν' ἐπειδὰν ὅσον οὐδέπω πρὸς ὑμᾶς ἀφίκωμαι, τὰς ὀφειλομένας τῷ παντεφόρῳ θεῷ μεθ' ὑμῶν, ὁμολογήσω χάριτας. ὅτι πρὸς τὴν εἰλικρινῆ πίστιν ἐπιδείξας, τὴν εὐκταίαν ὑμῖν ἀγάπην ἀποδέδωκεν. ὁ θεὸς ὑμᾶς διαφυλάξοι, ἀδελφοὶ ἀγαπητοί.

## Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου· ἣν ἀπὸ τῆς Νικαέων ἀπέστειλε τοῖς ἀπολειφθεῖσι τῇ συνόδῳ ἐπισκόποις:

Κωνσταντῖνος, σεβαστός, ἐκκλησίαις, καὶ ἐπισκόποις τοῖς τῆς ἁγίας καὶ μεγάλης ἐν Νικαίᾳ συνόδου ἀπολειφθεῖσι, χαίρειν· πεῖραν λαβὼν ἐκ τῆς τῶν κοινῶν εὐπραγίας, ὅση τῆς θείας δυνάμεως πέφυκε χάρις, τοῦτον* καὶ πρὸ πάντων, ἔκρινα εἶναί μοι σκοπὸν προσήκειν· ὅπως παρὰ τοῖς μακαριωτάτοις τῆς καθολικῆς ἐκκλησίας πλήθεσι, πίστις μία, καὶ εἰλικρινὴς ἀγάπη, ὁμογνώμων τε ἡ εὐσέβεια, περὶ τὸν* παντοκράτορα θεὸν τηρῆται. ἀλλ' ἐπειδὴ τοῦτο ἑτέρως οὐχ οἷόν τε ἦν, ἀκλινῆ καὶ βεβαίαν τάξιν λαβεῖν, εἰ μὴ εἰς* ταυτὸν πάντων ὁμοῦ, ἢ γοῦν τῶν πλειόνων ἐπισκόπων συνελθόντων, *ἑκάστου τῶν προσηκόντων, τῇ ἁγιωτάτῃ θρησκείᾳ διάκρισις γένοιτο, τούτου* ἕνεκα πλείστων ὅσων συναθροισθέντων ἐν ταύτῃ τῇ Νικαέων πόλει, θεοφιλεστάτων ἐπισκόπων, καὶ αὐτὸς δὲ ἐγώ, καθάπερ εἷς ἐξ ὑμῶν* τυγχάνων, συμπαρών· οὐ γὰρ ἀρνησαίμην ἂν ἐφ' ᾧ μάλιστα χαίρω, συνθεράπων ὑμέτερος πεφυκέναι, ἄχρι τοσούτου ἅπαντα τῆς προσηκούσης τετύχηκεν ἐξετάσεως. ἄχρις οὗ ἡ τῷ* πανεπόπτῃ θεῷ ἀρέσκουσα γνώμη, πρὸς τὴν τῆς *ἑνότητος συμφωνίαν εἰς φῶς προήχθη, ὡς μηδὲν ἔτι πρὸς διχόνοιαν, ἢ πίστεως ἀμφισβήτησιν, τι ὑπολείπεσθαι. ἔνθα καὶ περὶ τοῦ πάσχα ἁγιωτάτης ἡμέρας γενομένης ζητήσεως, ἔδοξε

κοινῇ

πρό γε π. al. πρὸ π.

παντοκρατ

τωτό

ἑκάστου τε τ.

ἕνεκεν

ἐτύγχανον

πάντων ἐφόρῳ

θεότητος

κοινῇ γνώμῃ, καλῶς ἔχειν ἐπὶ μιᾶς ἡμέρας, ἅπαντας τοὺς *ἁπαν [ἁπανταχοῦ]
ταχόσε Χριστιανοὺς, τὴν σωτήριον ἑορτὴν ἐπιτελεῖν τοῦ ἁγιωτάτου
πάσχα. τί γὰρ ἡμῖν κάλλιον. τί δὲ σεμνότερον ὑπάρξαι δυνήσεται,
τοῦ τὴν ἑορτὴν ταύτην, παρ' ἧς τὴν τῆς *ἀληθείας εἰλήφαμεν ἐλ [ἀθανασίας]
πίδα, μιᾷ τάξει καὶ φανερῷ λόγῳ παρὰ πᾶσιν ἀδιαπτώτως φυ
λάττεσθαι; καὶ πρῶτον μὲν, ἀνάξιον ἔδοξεν εἶναι, τὸ τὴν ἁγιωτά
την ἑορτὴν ἐκείνην, τῇ τῶν Ἰουδαίων ἑπομένους συνηθείᾳ πληροῦν.
οἳ τὰς ἑαυτῶν χεῖρας ἀθεμίτῳ πλημμελήματι χράναντες, εἰκότως
τὰς ψυχὰς οἱ μιαροὶ τυφλώττουσιν. ἔξεστι γὰρ τοῦ ἐκείνων ἔθους
ἀποβληθέντος, ἀληθεστέρᾳ τάξει, ἣν *ἐκ πρώτης τοῦ πάθους ἡμέρας [ἐν καιρῷ τ<οῦ> τοῦ π]
μέχρι τοῦ παρόντος ἐφυλάξαμεν, καὶ ἐπὶ τοὺς μέλλοντας αἰῶνας τὴν
τῆς ἐπιτηρήσεως ταύτης συμπλήρωσιν *ἐξυνέσθαι. μηδὲν τοίνυν [ἐκτείνεσθαι.]
ἔστω ἡμῖν *μετὰ τοῦ ἐχθίστου τῶν Ἰουδαίων ὄχλου. εἰλήφαμεν *παρὰ [κοινὸν μ. | γὰρ π]
τοῦ σωτῆρος ἑτέραν ὁδόν. πρόκειται δρόμος τῇ ἱερωτάτῃ ἡμῶν
θρησκείᾳ, καὶ *νόμος πρέπων. τούτου συμφώνως ἀντιλαμβανόμε [νόμιμος καὶ πρ.]
νοι, τῆς αἰσχρᾶς ἐκείνης συνειδήσεως ἑαυτοὺς ἀποσπάσωμεν ἀδε
λφοὶ τιμιώτατοι. ἔστι γὰρ *ἀληθῶς ἀτοπώτατον, ἐκείνους αὐχεῖν [ὡς ἀλ.]
καθ' ἡμῶν, ὡς ἄρα παρεκτὸς τῆς αὐτῶν διδασκαλίας, ταῦτα
[ἡμεῖς] φυλάττειν οὐκ *εἴημεν ἱκανοί. τί δὲ φρονεῖν *ὀρθῶς ἐκεῖνοι δυνή [ὀρθὸν]
σονται, οἳ μετὰ τὴν *κυριοκτονίαν ἐκείνην ἐκστάντες τῶν φρενῶν. [κυριοκτονίαν τε καὶ πατροκτονίαν ἐκστάντες τῶν φρενῶν ἄγονται οὐ λογ.]
ἄγονται οὐ, οὐ λογισμῷ τινὶ, ἀλλ' ὁρμῇ ἀκατασχέτῳ, *ὅπῃ ἂν αὐτοὺς [ὅποι δ' ἂν]
ἡ ἔμφυτος αὐτῶν ἀγάγοι μανία; ἐκεῖθεν τοίνυν καὶ ἐν τούτῳ τῷ
μέρει, τὴν ἀλήθειαν οὐχ ὁρῶσιν, ὡς *ἀεὶ κατὰ τὸ πλεῖστον αὐτοὺς [δὴ καθ.]
πλανωμένους, ἀντὶ τῆς προσηκούσης ἐπανορθώσεως ἐν τῷ αὐτῷ
ἔτει, δεύτερον αὐτοὺς τὸ πάσχα ἐπιτελεῖν. τίνος οὖν χάριν τούτοις
ἑπόμεθα, *τοῖς δεινὴν πλάνην ὡμολογημένως ἔχουσι; δεύτερον γὰρ [οἳ δεινὴν πλάνην νοσεῖν ὡμολόγηνται; al. ὡμολόγηνται.]
τὸ πάσχα ἐν ἑνὶ ἐνιαυτῷ, οὐκ ἄν ποτε ποιεῖν ἀνεξόμεθα. ἀλλ'
εἰ καὶ ταῦτα μὴ προὔκειτο, *τὴν ὑμετέραν ἀγχίνοιαν ἐχρῆν, πάν [δηλαδὴ τὴν ἀγχίνοιαν ἐχρῆν καὶ διὰ σπουδῆς καὶ δι' εὐχῆς ἔχειν πάντοτε ἐν μηδεμιᾷ τῷ καθ.]
[ὁμοιώμασι τὸ κ.] τοτε, ἐν μηδενὸς *ὁμοιότητι ἐκείνων, τὸ καθαρὸν τῆς ἡμετέρας
ψυχῆς κοινωνεῖν δοκεῖν, ἀνθρώπων *ἤθεσι παγκάκων. πρὸς τούτοις κἀ [ἤθεσι παγκάκων. τοῦ ρις κἀκεῖνο π.]
κεῖνο πάρεστι συνορᾶν. ὡς ἐν τηλικούτῳ πράγματι, καὶ *τοιαύτης [τοιαύτῃ]
θρησκείας ἑορτῇ, διαφωνίαν *ὑπάρχειν, ἐστὶν ἀθέμιτον. μίαν γὰρ [ἀρχὴν] [ἑορτῶν]
*ἡμῖν τὴν τῆς ἡμετέρας ἐλευθερίας ἡμέραν, τουτέστι τοῦ ἁγιω
τάτου πάθους, ὁ ἡμέτερος παρέδωκε σωτήρ. *μίαν εἶναι [καὶ μίαν]

τὴν καθολικὴν αὐτοῦ ἐκκλησίαν βεβούληται. *εἰ καὶ τὰ μάλιστα
ἐν πολλοῖς τε καὶ διαφόροις τόποις τὰ* μέλη συνάγοιτο, ἀλλ' ὅμως ἐν
ἑνὶ πνεύματι, τουτέστι,* βουλήματι θάλπεται. λογισάσθω* δὲ, ἡ τῆς ὑμε-
τέρας ὁσιότητος ἀγχίνοια, ὅπως ἐστὶ δεινόν τε καὶ ἀπρεπές, κατὰ
τὰς αὐτὰς ἡμέρας, ἑτέρους μὲν ταῖς νηστείαις σχολάζειν, ἑτέρους* συμ-
πόσια ἐπιτελεῖν. καὶ μετὰ τὰς τοῦ πάσχα ἡμέρας, ἄλλους μὲν ἐν ἑορ-
ταῖς καὶ ἀνέσεσιν, ἐξετάζεσθαι, ἄλλους δὲ, ταῖς ὡρισμέναις* ἐκδίδοσθαι
νηστείαις. διὰ τοῦτο γοῦν τῆς προσηκούσης ἐπανορθώσεως τυχεῖν.
καὶ πρὸς μίαν διατύπωσιν ἄγεσθαι τοῦτο ἡ θεία πρόνοια βούλεται.
ὡς ἔγωγε ἅπαντας ἡγοῦμαι συνορᾶν. ὅθεν ἐπειδὴ τοῦτο οὕτως
ἐπανορθοῦσθαι προσῆκεν, ὡς μηδὲν μετὰ* τῶν πατροκτόνων, τε
καὶ κυριοκτόνων* ἡμῖν κοινόν. ἔστι δὲ τάξις εὐπρεπής, ἣν *ἅπα-
σαι αἱ τῶν *δυτικῶν, καὶ μεσημβρινῶν, καὶ ἀρκτῴων τῆς οἰκουμέ-
νης μερῶν *φυλάττουσιν ἐκκλησίαι.* ἣν τινὲς τῶν κατὰ τὴν ἑῴ-
αν τόπων, οὐ πείθονται.* οὗ ἕνεκεν ἐπὶ τοῦ παρόντος, καλῶς
ἔχειν ἅπαντες ἡγήσαντο, καὶ αὐτὸς δὲ τῇ ὑμετέρᾳ ἀγχινοίᾳ
*ἀρέσκειν ὑπεσχόμην. ἵν'* ὅπερ δ' ἂν κατὰ τὴν ῥωμαίων πόλιν, ἰτα-
λίαν, τε, καὶ ἀφρικὴν* πᾶσαν, σπανίαν, τε καὶ γαλλίαν, βρεττανίας.
αἴγυπτόν τε, καὶ λιβύας. ἑλλάδα τε ὅλην. ἀσιανήν τε διοίκησιν
καὶ ποντικὴν, καὶ κιλικίαν, μιᾷ καὶ τῇ αὐτῇ συμφώνῳ φυλάττε-
ται γνώμῃ, ἀσμένως τοῦτο καὶ ἡ ὑμετέρα προσδέξηται σύνεσις.
λογιζομένη, ὡς οὐ μόνον πλείων ἐστὶν ὁ τῶν κατὰ τοὺς προειρημένους
τόπους ἐκκλησιῶν ἀριθμός, ἀλλὰ καὶ ὡς τοῦτο μάλιστα κοινῇ πάντας
*ὁσιωτάτους ἐστὶ βουλεύσασθαι. ὅπερ καὶ ὁ ἀκριβὴς* λογισμὸς ἀπαιτεῖν
δοκεῖ.* τὸ μηδεμίαν μετὰ τῆς ἰουδαίων ἐπιορκίας *ἔχειν κοινω-
νίαν. ἵνα δὲ τοῦ *κεφαλαίου δεύτερον συντόμως εἴπω, κοινῇ πάν-
των ἤρεσε κρίσει, τὴν ἁγιωτάτην τοῦ πάσχα ἑορτὴν, μιᾷ καὶ
τῇ αὐτῇ ἡμέρᾳ συντελεῖσθαι. οὐδὲ γὰρ πρέπει ἐν τοσαύτῃ ἁγιό-
τητι εἶναι τινὰ διαφοράν. καὶ κάλλιον ἕπεσθαι τῇ γνώμῃ ταύ-
τῃ, ἐν ᾗ οὐδεμία ἐστὶν ἀλλοτρίας πλάνης καὶ ἁμαρτήματος ἐπι-
μιξία. *τοῦ τ' ἔτους θεία κρίσει διὰ τῶν τοσούτων καὶ τηλικούτων
ἁγίων ἐπισκόπων διατυπωθέντων, ἀσμένως δέχεσθε τὴν οὐράνιον
χάριν. καὶ θείαν ὡς ἀληθῶς ἐντολήν. πᾶν γὰρ* τοῦτο πρὸς τὴν
θείαν βούλησιν, τὴν ἀναφορὰν ἔχει. διὸ πᾶσι τοῖς ἀγαπη-
τοῖς ἡμῶν ἀδελφοῖς ἐμφανίσαντες τὰ* προγεγραμμένα,

ἤδη καὶ

Marginal notes:

ἧς εἰκ. al. ἧς καὶ.
μέρη διήρηται
τῷ θείῳ βουλ. | δὲ ἡ
δὲ συμπόσια συντελεῖν.
ἐκδεδόσθαι ταῖς νηστ.
τοῦ τῶν
ἔθνους εἶναι κοιν. al. ἐκείνων πᾶσαι | εἶναι ἡμῖν
δυτικῶν τε
παραφυλάττουσιν | καὶ τινὲς τῶν κ.τ.ε. τόπων. ὧν ἕ.
οὗ
ἀρέσειν | ὅπερ ἂν
ἅπασαν
ὁσιώτατόν ἐστι βούλεσθαι.
λόγος
καὶ μηδ. ἔχειν
κεφαλαιωδέστερον al. κεφαλαιωδέστατον
τούτων οὕτω al. τόπων οὕτω στοιχούντων, ἀσμ.
τῷ θεῷ Χ.
ὅτι δ' ἂν ἐν τοῖς ἁγίοις τῶν ἐπισκόπων συνεδρίοις πράττεται, τοῦτο π. al. ὅτι ἂν συν. ες.
πεπραγμένα

ἤδη, καὶ τὸν προειρημένον τῆς καθολικῆς πίστεως λόγον, καὶ
τὴν παρατήρησιν τῆς ἁγιωτάτης ταύτης ἡμέρας, ὑποδέξασθέ
τε καὶ *διαπράττειν ὀφείλετε· ἵν' ἐπειδὰν πρὸς τὴν πάλαι μοι ποθου- διατάττειν
μένην τῆς ὑμετέρας διαθέσεως ὄψιν ἀφίκωμαι, ἐν μιᾷ καὶ
τῇ αὐτῇ ἡμέρᾳ, τὴν ἁγίαν *μεθ' ἡμῶν ἑορτὴν ἐπιτελέσαι δυ- μεθ' ὑμῶν
νηθῶ, καὶ πάντων ἕνεκεν, μεθ' ὑμῶν *εὐδοκήσω· συνορῶν τὴν διαβο- συνδοκῆσαι,
λικὴν ὠμότητα, ὑπὸ τῆς θείας δυνάμεως διὰ τῶν ἡμετέρων
πράξεων ἀνῃρημένην. ἀκμαζούσης δὲ πανταχοῦ, τῆς ἡμετέρας
πίστεως καὶ εἰρήνης, καὶ ὁμονοίας εὐχαριστηρίους ὕμνους ἀναπέμ-
ψω, τῷ πανευεργέτῃ καὶ σωτῆρι θεῷ· ὁ θεὸς ὑμᾶς *διαφυλάξοι διαφυλάξειεν
ἀδελφοὶ ἀγαπητοί.

Ταῦτα μὲν οὖν, τοῖς ἀπολειφθεῖσι τῆς συνόδου ἐπέστειλε. τοὺς
δὲ συνεληλυθότας, ἐφιλοφρονήσατο, καὶ λόγοις. καὶ δώροις. πολ-
λὰς δὲ στιβάδας εὐτρεπισθῆναι, κελεύσας, κατὰ ταὐτὸν εἱστί-
ασεν ἅπαντας. τοὺς μὲν ἐπισημοτέρους, ὁμοτραπέζους λαβών.
τοὺς δὲ ἄλλους, διελὼν εἰς τὰς ἄλλας τραπέζας. θεασάμενος δέ
τινας τοὺς δεξιοὺς ὀφθαλμοὺς οὐκ ἔχοντας, ἀλλ' ἐξορωρυγμένους,
καὶ μαθὼν ὡς τὸ περὶ τὴν εὐσέβειαν τὴν εἰς Χν̄ ἑδραῖον, τοῦ
πάθους ἐγένετο αἴτιον, τὰ χείλη τοῖς τραύμασι προσενηνοχώς,
ἕλκουσιν ἐκεῖθεν τῷ φιλήματι τὴν εὐλογίαν ἐπίστευε. τέλος
δὲ τοῦ συμποσίου λαβόντες, ἕτερα πάλιν αὐτοῖς προσενήνοχε
δῶρα. καὶ μέντοι καὶ γράμματα πρὸς τοὺς τῶν ἐθνῶν προστατεύ-
οντας δέδωκεν ἄρχοντας, καθ' ἑκάστην πόλιν χορηγεῖσθαι πα-
ρεστιῶν ἀεὶ παρθένοις καὶ χήραις, καὶ τοῖς τῇ θείᾳ λειτουργίᾳ
ἀφιερωμένοις, ἐτήσια σιτηρέσια. φιλοτιμίᾳ μᾶλλον, ἢ χρείᾳ
ταῦτα μετρήσας. περὶ ὧν καὶ Εὐσέβιος ὁ Παμφίλου διαλαμ-
βάνων, ὧδέ πως λέγει. οὕτω δὴ τοὺς ἁγίους ἐπισκόπους μετὰ
πλείστης ὅσης εὐλαβείας διαναπαύσας ὁ πανεύφημος καὶ πι-
στότατος βασιλεὺς Κωνσταντῖνος, συνταξάμενός τε σφᾶς ἐπα-
νιέναι οἴκαδε, τοὺς πάντας ἠφίει. οἱ δὲ ἐπανήεσαν σὺν εὐ-
φροσύνῃ πολλῇ. ἐκράτει τε λοιπὸν μία γνώμη παρὰ τοῖς
πᾶσι, παρ' αὐτῷ βασιλεῖ συμφωνηθεῖσα. συναπτομένων ὥσπερ ὥσπερ εἰς ἓν
*ἓν σῶμα τῶν ἐκ μακροῦ διῃρημένων. Χαίρων δῆτα ὁ βασι- ἐφ' ἑνὶ σώματι
λεὺς ἐπὶ τῷ κατορθώματι, τοῖς μὴ παρατυχοῦσι τῇ συνόδῳ

δεδώρητο

ἐπισκόποις, καρπὸν εὐθαλῆ δι' ἐπιστολῶν* ἐδωρεῖτο. λαοῖς τε πᾶσι, τοῖς δὲ κατ' ἀγρούς, καὶ τοῖς ἀμφὶ τὰς πόλεις οἰκοῦσι, χρημάτων ἀφθόνους διαδόσεις, ποιεῖσθαι παρεκελεύετο. ὧδέ πη γεραίρων τὴν ἑορτὴν τῆς εἰκοσαετηρίδος αὐτοῦ βασιλείας. ἑκκαιδεκάτῳ μὲν ἔτει, καὶ μησὶν ἓξ τῆς βασιλείας αὐτοῦ, καθὼς καὶ ἀνωτέρω ὁ λόγος ἀπέδειξε, κατὰ τὰ παλαιὰ διηγήματα, τὴν ἁγίαν τῶν ἐπισκόπων συναθροισθῆναι σύνοδον. εἰκοστῷ δὲ ἔτει διαλυσάντων τὸ τῆς συνόδου συνέδριον, ἀνέλυσεν ἕκαστον εἰς τὰς ἰδίας παροικίας καθὼς προαναγέγραπται. ἐγὼ δὲ τὰ ἐν αὐτῇ τῇ ἁγίᾳ συνόδῳ, περὶ τῆς καθολικῆς, καὶ ὀρθοδόξου πίστεως, τῆς τε σεβασμίου ἑορτῆς τοῦ ἁγίου πάσχα, τῶν τε τῆς ἐκκλησιαστικῆς θείας λειτουργίας διατυπώσεων, τῶν τε τῆς ἐν αὐτῇ εὐταξίας κανόνων κριθέντα καὶ ὁρισθέντα, ἐντάξας κατὰ δύναμιν, τῷδε τῷ ἐκκλησιαστικῷ ἱστορήματι πρὸς πληροφορίαν ἀσφάλειαν τῶν ἐντευξομένων τῷδε τῷ γράμματι, ἐνταῦθα καταπαύσω τὸν λόγον. τὰ λοιπὰ τοῦ πανευφήμου, καὶ πιστοτάτου βασιλέως, εὐσεβῆ ὑπὲρ τῆς πίστεως ἀνδραγαθήματα ἐν τρίτῳ κατατάξαι συνιδὼν συντάγματι, εἰς δόξαν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, καὶ εἰς ἐνεργεστάτην ἀπόδειξιν, τῆς τοῦ πιστοτάτου βασιλέως εὐσεβείας. ἐκεῖνο μόνον προσθεῖναι ἐνταῦθα ἀναγκαῖον ᾠήθην. μὴ πάρεργον ἡγησάμενος, ἀλλὰ καὶ λίαν ἁρμόδιον, τὰ τῶν ἐπισκόπων ὀνόματα τῶν ὑπὸ τοῦ κοινοῦ πάντων τῶν ἐπισκόπων εἰς τὰς ἁπανταχοῦ γῆς ἐπαρχίας σταλέντων. δι' ὧν τὰ ὑπὸ τῆς συνόδου κριθέντα, διὰ συνοδικῶν ἐπιστολῶν, καὶ τῶν τοῦ πανευφήμου βασιλέως γραμμάτων, πάσαις διεπέμφθη ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, εἰς δόξαν τοῦ θεοῦ καὶ πατρός, καὶ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, τοῦ κυρίου ἡμῶν, καὶ τοῦ ἁγίου πνεύματος, ἀμήν.

συνήθροισεν

Κατάλογος τῶν ἁγίων ἐπισκόπων, δι' ὧν ἡ σὺν αὐτοῖς ἐν νικαίᾳ ἁγία καὶ μεγάλη, καὶ οἰκουμενικὴ σύνοδος* τῆς ἀνὰ τὴν οἰκουμένην* ἐκκλησίας τοῦ θεοῦ διεπέμψατο, τὰ ἐν αὐτῇ δι' αὐτῶν κεκριμένα ὑπὸ τοῦ ἁγίου πνεύματος.

ταῖς ἐκκλησίαις

ταῖς

Ὅσιος ἐπίσκοπος κορδούβης,* τῇ κατὰ ῥώμην, καὶ ἰταλίαν, καὶ σπανίαν πᾶσαν, καὶ ταῖς ἐν τοῖς λοιποῖς ἔθνεσι, τοῖς ἐπέκεινα κατ' ἐμὲ οὖσιν, ἕως τοῦ ὠκεανοῦ ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, διὰ τῶν σὺν αὐτῷ πρεσβυτέρων ῥώμης, βίτωνος, καὶ βικεντίου:

Ἀλέξανδρος

Ἀλέξανδρος, ἀλεξανδρείας, σὺν ἀθανασίῳ, τότε ἀρχιδιακόνῳ
ὄντι· ταῖς κατ' αἴγυπτον πάσαις, λιβύην καὶ πεντάπολιν, καὶ τὰ
ὅμορα τούτοις, ἕως τῶν τῆς* ἰνδίας ἐπαρχιῶν. νουμιδίας
Μακάριος, ἱεροσολύμων, σὺν εὐσεβίῳ τῷ παμφίλου. ἐπισκόπῳ
καισαρείας* τῆς κατὰ παλαιστίνην, καὶ ἀραβίαν, καὶ φοινίκην. ταῖς
Εὐστάθιος ἀντιοχείας τῆς μεγάλης,* τῆς κατὰ συρίαν κοίλης καὶ μεσο- ταῖς
ποταμίαν πᾶσαν καὶ κιλικίαν ἑκατέραν:
Ἰωάννης πέρσης,* τῆς ἐν περσίδι πάσῃ, καὶ τῇ μεγάλῃ ἰνδίᾳ: ταῖς
Λεόντιος καισαρείας καππαδοκίας, τὸ τῆς ἐκκλησίας τοῦ κυρίου καλ-
λώπισμα, ταῖς κατ' αὐτὴν καππαδοκίαν* γαλατίαν. πόντον διοσπον- γαλατίαν
του. παφλαγονίαν. πόντον πολεμαϊκόν. ἀρμενίαν μικρὰν καὶ μεγάλην.
Θεωνᾶς κυζίκου, ταῖς κατὰ τὴν ἀσίαν καὶ ἑλλήσποντον. λυ-
δίαν τε καὶ καρίαν. διὰ τῶν ὑπ' αὐτὸν ἐπισκόπων. εὐτυ-
χίου σμύρνης, καὶ μαρίνου τρωάδος:
Ἀλέξανδρος θεσσαλονίκης, διὰ τῶν ὑπ' αὐτὸν τελούντων
ταῖς κατὰ μακεδονίαν πρώτην καὶ δευτέραν, σὺν ὅλῃ
τῇ ἑλλάδι· τῆς τε εὐρώπην πᾶσαν. σκυθίαν ἑκατέραν,
καὶ ταῖς κατὰ τὸ ἰλλυρικὸν ἁπάσαις. θεσσαλίαν τε,
καὶ ἀχαΐαν:
Νουνέχιος, λαοδικείας, ταῖς κατὰ τὴν φρυγίαν, πρώτην,
καὶ δευτέραν:
Πρωτογένης ὁ θαυμάσιος, πόλεως σαρδικῆς* τῆς ἐν δακίᾳ. ταῖς
*καλαβρίαν. δαρδανίαν, καὶ τοῖς ὁμόροις τούτοις. καλαυρίᾳ, δαρδανίᾳ,
Καικιλιανός, πόλεως καρθαγένης· ταῖς κατὰ πάσας τὰς
ἐπαρχίας. ταῖς τε ἀφρικαῖς, καὶ τὰς νουμιδίας. καὶ μαυριτα-
νίας ἀμφοτέρας. οὔσαις ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις:
Πιστὸς μαρκιανουπόλεως, ταῖς κατὰ τὴν μυσίαν, καὶ τὰ τῶν
ἀθηνῶν καὶ γάλλων ἔθνη. καὶ ταῖς πλησιοχώροις τού- + Γά-λων
των πόλεων:
Ἀλέξανδρος, κωνσταντινουπόλεως. τότε πρεσβύτερος ἐπιών.
εἰς ὕστερον δέ, καὶ τῆς ἐπισκοπικῆς ἱερατείας τῆς αὐτόθι
ἐκκλησίας λαχών. σὺν παύλῳ, ἔτι τότε ἀναγνώστῃ ὄντι
καὶ νοταρίῳ αὐτοῦ, ταῖς ἐν ταῖς νήσοις πάσαις ἐκκλη-
σίαις: οὗτοι πάντες οἱ ἅγιοι, καὶ ἀποστολικοὶ ἄνδρες,

πάσαις ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, τὰ ἐν τῇ νικαέων ἁγίᾳ μεγάλῃ καὶ οἰκουμενικῇ συνόδῳ κεκριμένα διαπορθμεύσαντες, πανταχοῦ γῆς παρέδωκαν, καθὰ ἀρτίως ὁ λόγος ἀπέδειξεν. +

Ἐπληρώθη λόγος δεύτερος, τῆς ἐκκλησιαστικῆς ἱστορίας.

## Κωνσταντῖνος σεβαστός, Ἀρείῳ, καὶ Ἀρειανοῖς.

Κακὸς ἑρμηνεὺς αὐτόχρημα εἰκών τε καὶ ἀνδριάς ἐστι τοῦ διαβόλου. ὥσπερ γὰρ ἐκεῖνον οἱ δεινοὶ πλάσται πρὸς ἀπάτης δέλεαρ παρατιθέασιν, οἱονεὶ κάλλη αὐτῷ εὐπρέπειαν προσμηχανώμενοι, αἰσχίστῳ καθάπαξ ὄντι τὴν φύσιν, ὅπως ἂν τοὺς ταλαιπώρους ἀπολλύοι, πλάνην αὐτοῖς προτείνων· τὸν αὐτὸν οὕτως ἂν οἶμαι τρόπον ποιοῦσι, ᾧ μόνον σπουδῆς ἄξιον, τοῦτ' εἶναι δοκεῖ· τὸ τῆς οἰκείας ἰταμότητος δηλητήρια, ἀφειδῶς προβάλλεσθαι. τοιγάρτοι καὶ νῦν, καὶ ἀφ' οὗ γεγόνασιν αὐτοί, οὐδέποτε φανεῖσαν ἀπιστίας εἰσάγει πίστιν. διόπερ οὐδὲν τῆς ἀληθείας ἄρα ἀπᾷδον ἐκεῖνο φαίνεται τὸ πάλαι τῇ θείᾳ ῥήσει διηρθρωμένον. ὅτι πρὸς τὸ κακόν εἰσι πιστοί. τί δ' ἂν πρέποι ἐκεῖνο λέγεσθαι, τὴν τοῦ βουλεύεσθαι χάριν αὐτὸν ἀπολωλεκότα μηκέτι κουφισμοῦ τινὰ ἐπικουρίαν εὕρασθαι ἐπιθυμεῖν. τί τοίνυν φημί, Χριστέ. Χριστέ. κύριε κύριε. τί δή ποτε ἡμᾶς τὸ λῃστήριον ὁσημέραι τιτρώσκει. ἕστηκεν ἐξ ἐναντίας δεινή τις βιαία τόλμη. βρυχᾶται ἐπιτρίζουσα τοὺς ὀδόντας. δύσμορφος ὑπ' ἀτιμίας, καὶ παντοδαποῖς περιτετρωμένη ἐγκλήμασιν. αὕτη μέντοι ἐν τῷ νόμῳ καὶ τῷ περὶ σοῦ κηρύγματι, ὥσπερ τισὶ ζάλαις τρικυμίαις κακῶν διαφορουμένη, ἐξερεύγεται μὲν ἐξώλεις λόγους· γράφουσα δὲ τούτους ἐκφαίνει. οὓς οὐδέποτε ὁ τῷ ἀϊδίῳ τῆς αὐτοῦ πηγῆς τῷ πατρὶ συμπαρὼν, ταῖς περὶ σεαυτοῦ γνώσεσιν ἀφώρισας. συνάγει δὲ ὅλως, καὶ συμφορεῖ δεινὰ ἄττα καὶ ἄνομα ἀσεβήματα. νῦν μὲν τὰς γλώττας κραδαίνουσα. νῦν δ' αὖ πάλιν, ταῖς τῶν ἀθλίων σπουδαῖς ἐπαιρομένη. οὓς ἐπ' ἀδείας αὐτὴ παρθένας ἐξαπατᾷ καὶ φθείρει. βούλομαι δὲ ἤδη τοῦ προέδρου αὐτῆς τὴν φύσιν ἐξετάσαι, τί γὰρ δὴ λέγει; ἡ κατεχομένη, φησίν.* οὗ ἤδη ἐγκρατεῖς γεγόναμεν, ἢ γενέσθαι ὡς αὐτοὶ βουλόμεθα, πέπλωκε. καὶ ταῦτα πέπλωκεν ἀναιρούμενος. δόλῳ φησὶν ἢ δεινότητι πανουργίας. οὐδὲν διαφέρει. σεμνὸν μόνον ἡγεῖται, ὃ διὰ πονηρὰς ἐπινοίας ἐπ' αὐτὸν εἰσρέουσι. πλήθη φησὶν ἔχομεν. προβήσομαι δὴ μικρὸν αὐτὸς ἐπὶ τὸ πρόσθεν. ὡς ἂν τῶν τῆς μανίας πολέμων θεατὴς γένωμαι. αὐτὸς ἔφην ἐγὼ προβήσομαι, ὁ τοὺς τῶν ἀφρόνων πολέμους παύειν εἰωθώς. ἄγε δὴ Ἄρες Ἄρειε· ἀσπίδων ἡ χρεία. μὴ σύ γε τοῦτο ποιήσῃς ἱκετεύομεν. ἐπισχέτω γοῦν σε, ἡ γοῦν τῆς Ἀφροδίτης ὁμιλία. ἀλλὰ γὰρ εἴθε, ὡς τοῖς ἄλλοις ἄριστα συνεκκροτεῖσθαι δοκεῖς· οὕτω σοι τῇ περὶ τὸν Χριστὸν

*οὐκ ἤδη

εὐσεβείᾳ πειθοῖ ἀκμάζειν. ἰδοὺ δὴ πάλιν αὖ ἱκέτης ἔρχομαι.
καὶ τοῖς ὅπλοις πᾶν πλῆθος, ἰσχύων, μάχεσθαι μὲν οὐκ ἐθέλω. τῇ
δὲ τοῦ Χριστοῦ πεφραγμένος πίστει, σέ τε ἰάσασθαι, καὶ τοὺς ἄλλους
θεραπεῦσαι βούλομαι. τί οὖν φὴς ταῦτα πράττειν, ἃ μὴ τοῖς
ἤθεσι προσήκει τοῖς σοῖς. ἀλλὰ μετὰ ποίας ἡσυχίας εἰπέ μοι. ἢ
τίνα περιουσίαν περιβεβλημένος. μᾶλλον δὲ ἐφ᾽ ὅτι προπετείας ἐλη
λακώς. ὢ τόλμης ὑπὸ κεραυνῶν ἀξίας καθαιρεθῆναι. ἀκούσατε
γὰρ ἃ δεδήλωκε πρῴην, πρός με ἰών, ἀποστάζοντα γραφίῳ
τῷ καλάμῳ, οὕτω φησὶ πιστεύομεν. εἶτ᾽ οἶμαι προσθεὶς, οὐκ οἶδα
ἅττα σοβαρῶς, πῶς καὶ μάλα ἀκριβῶς, ἐξησκημένα, προϊὼν πρό
σωτέρω, οὐδὲν ὅτι τῶν δεινῶν ἀπεσιώπησεν. ἀλλ᾽ ὅλον, ὡς ἂν εἴ
ποι τις, τὸν τῆς παρανοίας ἀνέῳξε θησαυρόν. ἀπελαυνόμεθα φη
σὶν, ἐὰν ἐπὶ τῆς αὐτῆς ἐπιμένῃ γνώμης, ὁ τῆς Ἀλεξανδρείας
ἐπίσκοπος. ἄδειαν ἡμῖν τοῦ λοιποῦ δοθῆναι, κατὰ τὴν τοῦ νόμου
διάταξιν, τὰς ἐνθέσμους καὶ ἀπαραιτήτους θεραπείας τοῦ θεοῦ ἐπι
τελεῖν. ὢ δεινῆς ἀναιδείας. ἣν σπουδῇ τῆς ἀληθείας ἀπελέγ
ξαι προσῆκεν. ὃ γὰρ αὐτῷ καθ᾽ ἡδονὴν ἐτύγχανεν ὄν, τοῦτο
τῇ συντομίᾳ τῆς φράσεως ἀπετυπώσατο. τί φὴς ἄτοπε. διά
στασιν εὐπρόσωπον ἡμῖν, τὸ σαθρὸν τῆς κατ᾽ ἐμὲ ἀμελείας σου
διανοίας ἐπιτειχίζειν μηχανᾷ. καὶ τοὺς ἐπὶ κακῷ σοι προσπλα
σπουδεῖς; κέντας ἀπολέσαι* σπουδεῖς; τί οὖν φὴς πράξω, εἰ μηδεὶς ἄξ
ιον ἡγεῖταί με δέξασθαι. τοῦτο γὰρ πολλάκις ἐκ τῆς ἀνοσίας
φάρυγγος ἐκβοᾷς. ἐγὼ δέ, τοὐναντίον ἔρομαί σοι. ποῦ δὲ σαφὲς
γνώρισμα καὶ μαρτύριον τῆς σεαυτοῦ διανοίας ἐπιδείξω. ἣν ἐχρ
ῆν σε διαπτύξαντα καὶ τοῖς θείοις καὶ τοῖς ἀνθρώποις σαφῆ καταστῆ
σαι. καὶ μάλιστα ὅτι, τὰ ἰοβόλα τῶν ἑρπετῶν, τὸ τηνικαῦτα μᾶ
λλον ἀγριαίνειν πέφυκεν, ὅταν ἑαυτὰ τοῖς τῶν φωλεῶν μυ
χοῖς ἐνδυθέντα αἴσθηται. ἐκεῖνο δέ γε λίαν ἄξιον αὐτοῦ.
τὸ σπουδαίως εὖ μάλα καθάπερ ὑπό τι προσωπεῖον αἰδοῦς σι
γὴν πλάττεσθαι. τῇ μὲν τοῦ σχήματος τέχνῃ τιθασὸν σεαυτὸν
καὶ χειροήθη σύ γε παρέχεις. κακῶν δὲ μυρίων, καὶ ἐπιβουλῶν
ἔνδον γέμων, τοὺς πολλοὺς λέληθας. ἀλλ᾽ ὢ τῆς ἀθλιότητος,
ὡς ὁ πονηρὸς βέβληται. οὕτως ἄρτιον ἡμῖν, ἀνομίας ἐργαστή
ριον κατεστήσατο. λέγε δὴ νῦν μοι παρελθὼν τῆς σεαυτοῦ
πίστεως τὸ γνώρισμα διάστροφον. τὴν δὲ φύσιν ὀξύῤῥο
πον πρὸς πονηρίαν κεκτημένε. ἕνα λέγεις θεόν; σύμψηφον

ἔχεις

ἔχεις καὶ μὲ οὕτω φρονεῖ· τῆς οὐσίας αὐτοῦ ἄναρχον καὶ ἀτελεύ-
τητον λόγον, λόγον εἶναι φῄς; στέργω τοῦτο, οὕτω πιστεύω. εἴ τι
παρὰ ταῦτα ἕτερον προσπλέκεις, τοῦτ᾽ ἀναιρῶ. εἴ τι πρὸς ἀσεβῆ χω-
ρισμὸν συγκατατάττεις, τοῦτο οὔτε ὁρᾶν, οὔτε νοεῖν, ὁμολογῶ.
εἰ τὴν τοῦ σώματος ξενίαν, πρὸς οἰκονομίαν τῶν θείων ἐνεργειῶν
παραλαμβάνεις, οὐκ ἀποδοκιμάζω. εἰ τὸ πνεῦμα τῆς ἀϊδιότητος
ἐν τῷ ὑπερέχοντι λόγῳ γεγεννῆσθαι λέγεις, δέχομαι. τίς ἔγνω
τὸν πατέρα, εἰ μὴ ὁ ἐλθὼν ἀπὸ τοῦ πατρός. τίνα ἔγνω ὁ πατήρ, εἰ μὴ
ὃν ἀϊδίως καὶ ἀνάρχως ἐξ αὐτοῦ γεγέννηκε. σὺ μὲν ὑπόστασιν ξέ-
νην ὑποτάττειν οἴει δεῖν, κακῶς δή που πιστεύων. ἐγὼ δὲ τῆς
ὑπερεξοχῆς καὶ ἐπὶ πάντα διηκούσης δυνάμεως τὸ πλήρωμα πατρὸς
καὶ υἱοῦ, οὐσίαν μίαν εἶναι γινώσκω. εἰ τοίνυν σὺ ἀφαιρεῖς μὲν
ἀπ᾽ ἐκείνου, ἀφ᾽ οὗ χωρισθῆναι οὐδὲ διάνοια τῶν ἐρεσχελούντων δύ-
ναται οὐδὲ πώποτε οὐδέν, προσθήκης δὲ χαρακτῆρας ὁ δολοποιῶν,
καὶ ὅλως γνωρίσματα ζητήσεων διορίζεις, ἐκεῖνος ὦ ὁλόκληρον ζητήσεών τε
μὲν ἐξ ἑαυτοῦ τὴν ἀϊδιότητα δέδωκεν. ἀδιάφθορον δὲ τὴν
ἔννοιαν. ἀθανασίας τε δι᾽ ἑαυτοῦ καὶ ἐκκλησίας ἔνειμε πίστιν.
κατάβαλε δὴ οὖν κατάβαλε τὸ εὔηθες τοῦτο ἀνόημα, ὦ
ἀσεβὲς σὺ καὶ ἄφρων· καὶ τὰ κακὰ πρὸς ἀπιστίαν τῶν ἀνοήτων
ἐξάδων. εἰκότως ἄρας ὁ πονηρὸς τῇ ἑαυτοῦ κατεσκέψατο
κακίᾳ· καὶ τοῖς μέν, ἴσως ἢ δὴ τὸ τοιοῦτον εἶναι δοκεῖ. οὕτω
γὰρ σεαυτὸν πέπεικας. ἔστι δὲ πάντη ὀλέθριον τὸ κακόν.
φέρε δὴ τῆς ἐν τοῖς ἀτοπήμασι διατριβῆς ἀπαλλαγείς,
ἄκουε ὦ δαιμόνιε Ἄρειε, σοὶ γὰρ διαλέγομαι. τῆς ἐκκλησίας
δή που τοῦ θεοῦ ἀποκεκηρυγμένος οὐκ αἰσθάνῃ; ἀπόλωλας εὖ
ἴσθι, ἐὰν μὴ βλέψας εἰς σεαυτόν, τὴν παροῦσάν σοι κατα-
κρίνῃς ἄνοιαν. ἀλλ᾽ ἐρεῖς ὡς ὄχλοι συμπράττουσί σοι, καὶ τὰς
φροντίδας ἀπελαφρύνουσιν; ἄκουε δὴ μικρόν, ὑποχῶν τὰ
ὦτα, ὦ ἀνόσιε Ἄρειε· καὶ σώσεις τὴν σεαυτοῦ ἄνοιαν. σὺ δὲ ὦ
πάντων κηδεμὼν θεός, εὐμενὴς εἴης τῷ λεγομένῳ, εἰ πίστεως
ἔχοιτο. ἐγὼ γὰρ ὁ σὸς ἄνθρωπος ἵλεως ἔχων τὴν παροῦσαν
προθυμίαν, καὶ ἐξ ἑλληνικῆς, καὶ ἐκ ῥωμαϊκῆς γρα-
φῆς πάνυ ἀρχαιοτάτης σαφῶς ἀποδείξω τὴν Ἀρείου
μανίαν, πρὸ τρισχιλίων που ἐτῶν, ὑπὸ τῆς ἐρυθρᾶς προ- ἐρυθραίας
ρηθεῖσάν τε καὶ προθεσπισθεῖσαν. ἔφη γὰρ ἐκείνη γε,
οὐαί σοι Λιβύη ἐν παραλίοις κειμένη χώραις. ἥξει γάρ σοι

καιρὸς, ἐν ᾧ μετὰ τῶν δήμων, καὶ τῶν σαυτῆς θυγατέρων,
δεινὸν ἀγῶνα καὶ ὠμὸν, καὶ παγχάλεπον, ὑπελθεῖν ἀναγκασθή-
σῃ· ἀφ' οὗ κρατήσειν μὲν εἰς ἅπαντας. πίστεως, τε καὶ εὐσε-
ἀποκλινεῖς βείας διαλαθήσεται· οὐ δὲ πρὸς ἔσχατον* ἀποκλίνει κα-
ταστροφῆ. ὑμεῖς γὰρ τῶν οὐρανίων ἀνθῶν τὸ δεξιώτερον ἀνα-
σπάσαι τετολμήκατε καὶ δήγματι σπαράξαι. καὶ μέν τοι
σιδηρεθεὶς ἐχαράξατε τοῖς ὀδοῦσι: τί δῆτα ὦ πανάγρε·
πῶς γῆς σαυτὸν εἶναι νῦν ὁμολογεῖς; ἔχει δηλονότι. καίτοι
γάρ σοι τὰ γράμματα ἃ τῷ τῆς μανίας καλάμῳ πρός με διε-
χάραξας. ἐν οἷς φής, πάντα τὸν λίαν δῆμον συμφέρον εἶναί
σοι πρὸς σωτηρίαν δῆπου. εἰ δὲ οὐ φήσειε ταυτὶ οὕτως ἔχειν
ὑμῶν μαρτύρομαι ἤδη τὸν θεὸν* ἡμῶν ἀρχαιότατον τῆς ἐρυθρᾶς ποτε
τῶν, ἑλληνικῇ συντεταγμένον γλώττῃ, εἰς ἀλεξάνδρειαν
ἀποστέλλειν, ὡς ἂν θᾶττον ἀπόλοιο. εἶτα οὐ ἀναμάρτητος
ὦ δικαιανόφορε; εἶτα οὐ σαφῶς ἀπόλωλας ὦ ἄθλιε; τοῦ οὕτω
δεινῶς περιεσοφισμένος; ἴσμεν, ἴσμεν σου τὸ ἐνθύμημα. ποία
φροντίς. ποῖόν σε θράττει δέος. οὐ λέληθεν ἡμᾶς ὦ δύστηνε καὶ
ταλαίπωρε. ὦ τῆς ἀμβλύτητος τῶν φρενῶν. ὃς οὐδὲ τὴν νό-
σον, καὶ τὴν ἀμηχανίαν τῆς σεαυτοῦ ψυχῆς ἀναστέλλεις
ὦ ἀνόσιε. ὃς τὴν ἀλήθειαν, ποικίλοις διαστρέφεις λόγοις.
καὶ τοιοῦτος ὤν, οὐκ αἰσχύνῃ ἡμᾶς ψέγων. καὶ νῦν μὲν ἐλέγχων
ὥσπερ οἴει. νῦν δ' αὖ πάλιν νουθετῶν, ὡς πείθει, καὶ λόγους ὑπερ-
φέρων. περὶ οὗ δῆτα οἱ ἄθλιοι ἐπιχειρίαν ἑαυτοῖς πορίζεσθαι
γλίχονται. καὶ τοι οὐδὲ συγγίνεσθαι τῷ τοιούτῳ ἐχρῆν, οὐδὲ
ὅλως αὐτὸν προσφθέγγεσθαι. πλὴν εἰ μή τις ἐν τοῖς ὑστέροις
τούτου ῥήμασι, τὴν τοῦ ὀρθῶς βιοῦν ἐλπίδα, τοῖς μετέρῳ
ἀποκρίνεσθαι οἴεται. ἀλλ' οὐκ ἔστι τοῦτο. πολλοῦ γε δεῖ. τὸ δὲ
ἀληθές, ὦ τῆς ὑμετέρας ἀνοίας, ὅσοι τούτῳ συναναμίγ-
νυσθε. τίς ἄρα οἴστρος ὑμᾶς τῆς χαλεπῆς τούτου γλώττης,
καὶ τῆς ὀργῆς ἀναλέγεσθαι κατηνάγκασεν. ἀλλ' ἐπ' αὐτὸν
ἤδη σοι βαλεῖν βούλομαι τῷ λόγῳ. οὐ τὴν μὲν ψυχὴν ἄφρων σύ. τὴν
δὲ γλῶτταν στωμύλε. ἄπιστε δὲ τὰς φρένας. δὸς δή μοι τοῦ
λόγου. οὐκ ἀμφιλαφές τι λέγω, καὶ ὑπτίλατον πεδίον. ἀλλ'
οὖν κύκλῳ, γε ἐν περιγεγραφον μὴ βαθὺ μόνον, ἀλλ' ἐρ-

ῥωμένον

γωμένον, τε καὶ στερρὸν τῇ φύσει. ὦ ἄνοσιε δοῦπα καὶ κάκιστε
καὶ κρυφίνε. ἐξαρνοῦμαι γὰρ ταῦτα λέγειν. μᾶλλον δὲ βέβηκον
ἤδη σοι περιάψας καὶ συμπαθήσας τοῦ λόγου, εἰς μέσους σε κα
ταστήσω. ὡς ἂν πᾶς ὁ δῆμος, τὴν σὴν καταμάθῃ φαυλότητα.
ἐπ᾽ αὐτὸ δὲ πορεύσομαι ἤδη τὸ πρᾶγμα. γενημμέναι δή
πόθεν εἰσὶν αἱ λέξεις. προθυμῶμεν ταῖς εὐχαῖς. ἐπικαλέσας
δὴ τὸν θεόν, μᾶλλον δὲ μικρὸν ἐπισχών, εἰπέ μοι ὦ θερμότατε
σύ, τίνα θεὸν ἐπικαλέσῃ πρὸς βοήθειαν, ἀλλὰ γὰρ ἡ ἐρημῶν
οὐ δύναμαι. ὦ τῶν πάντων ἔχων τὸ κῦρος δέσποτα. ὦ τῆς μο
νήρους δυνάμεως πατήρ. διὰ τουτονὶ τὸν ἀνόσιον, ὀνείδη τε καὶ
λύπας, καὶ μέντοι καὶ τραύματα καὶ ὀδύνας, ἡ σὴ ἔχει ἐκκλη
σία. ἄγριος σοι τόπον ἤδη προσαρμόζει, καὶ μάλα γε εὐφυῶς
ἐφ᾽ οὗ καθιζάνων, οἶμαι, σύνοδον ἑαυτῷ. ἢ παῖδα τὸν Χριστὸν τὸν
σόν, τὸν ἐκ σοῦ. τὸν τῆς ἡμετέρας ἐπικουρίας ἀρχηγέτην,
θέσεως νόμῳ περιποιεῖται καὶ ἔχει. ἐπάκουσον ἀντιβολῶ
σε τῆς θαυμασίας πίστεως. σὲ τὴν κατὰ τὸν τόπον κινεῖσθαι
δέσποτα κίνησιν οἴεται, σὲ. τῆς ἀφορισμένης καθέδρας, κύ
κλῳ περιγράφειν τολμᾷ. πῶς γὰρ οὐκ ἔστιν ἡ σὴ παρουσία.
ἢ πῶς τὴν σὴν οἱ πάντες ἐνέργειαν, ἐκ τῶν ἐπὶ πάντα σοῦ
διηκόντων νόμων* αἰσθάνονται. πάντα γὰρ αὐτὸς περιέχεις. οὐκ αἰσθ.
καὶ ἔξω σοῦ, οὔτε τόπον. οὔτε ἄλλο οὐδὲν ἐπινοῆσαι θέμις. οὔ
τως ἡ σὴ δύναμις μετ᾽ ἐνεργείας ἐστὶν ἄπειρος. σὺ μὲν δὴ
ἐπάκουσον ὁ θεός. ὑμεῖς δὲ πᾶς ὁ λαός, προσέχετε τὸν νοῦν.
οὐ γὰρ ἀνάλγητος οὗτος καὶ ἄγριος, ὁ ἐπ᾽ ἄκρον μοχθηρίας
τε καὶ ἀνομίας ὁμοίως ἐληλακώς, εὐλάβειαν σκήπτεται,
ἄπαγε φησίν. οὐ βούλομαι τὸν θεὸν ἐμόν, ὕβρεων πάθη δοκεῖν
ἐνέχεσθαι. καὶ διὰ τοῦτο ὑποτίθεμαι, καὶ πλάττω θαυμασίαν γε
τῇ πίστει. ὡς ὁ θεὸς νεογενῆ καὶ νεόκτιστον οὐσίαν Χριστοῦ ποιησά
μενος, βοήθειαν ἑαυτῷ παρεσκευάσατο, ὥσπερ ἐμοὶ δοκεῖ.
ὁ γὰρ θεός, φησίν, ἀπὸ αὐτοῦ ἀφελής, τοῦτο ἔλαττον πεποί
ηκας. εἶτα ὦ λυμεὼν, καὶ ὄλεθρε, σοὶ τοῦτ᾽ ἐστὶ πίστις. σὺ
καθ᾽ ὑπόθεσιν καὶ πλάσμα λαμβάνεις, τὸν τὰ πλάσματα
τῶν ἐθνῶν κατακρίναντα; σὺ ἐπείσακτον καλεῖς,
καὶ ὡς περὶ καθηκόντων ὑπηρέτην, τὸν ἄνευ ἐνθυμήσεως

καὶ λογισμοῦ. τῷ συνυπάρχει τῇ τοῦ πατρὸς ἀϊδιότητι πάντα
διανύσαντα; ἐφάρμοσον νῦν, εἰ δὴ τολμᾷς, ἐφάρμοσον τῷ θεῷ,
+ φοβεῖσθαι καὶ τὸ εὐλαβεῖσθαι. καὶ τὸ [redacted]. καὶ τὸ ἐλπίζειν, τὸ ἐκβη
σόμενον. ἔτι δὲ τὸ ἐνθυμεῖσθαι, τὸ λογίζεσθαι, τὸ σκεπτόμε
νον. γνώμην ἀποφαίνεσθαι καὶ διαβεβαιοῦσθαι. καὶ ὅλως, τὸ τέρ
πεσθαι. τὸ γελᾶν. τὸ λυπεῖσθαι. τί τοίνυν φῄς, ὦ τῶν ἀθλί
ων ἀθλιώτερε. ὢ τῆς κακίας αὐτόχρημα μῖσος. οὕτως
δή, εἰ δύνασαι, ὡς ἐν αὐτῇ γέ σου τῇ πανηγυρίᾳ πληθυνθεὶς
ὢν ἀναλίσκῃ. ὁ Χριστὸς φησὶ δι' ἡμᾶς πέπονθεν. ἀλλ' ἤδη
φθάσας ἔγωγε εἶπον, ὡς μορφῇ σώματος ἀπεστάλη; ναί
φησιν. ἀλλὰ δέος μὴ δόξωμεν κατά, τι ἐλαττοῦν.
εἶτα ὦ τῶν θηρίων μεσίτα, ταῦτα λέγων οὐ μαίνῃ, καὶ
σαφῶς λυττᾷς. εἰ τὸ σχῆμα τυγχάνει ὄν. καὶ οἱ ἀστέρες γε
ποίημα χαρακτῆρας περιβέβληνται. καὶ ὅλως τὸ πνεῦμα τοῦ σφαιροειδοῦς,
εἰ δ' οὖς τοῦτο κύκλου εἶδος τῶν ὄντων τυγχάνει ὄν, καὶ ὡς
περὶ μόρφωμα. καὶ ὅμως ὁ θεός, πανταχοῦ πάρεστι. ποῦ τοίνυν
εἰσὶν ἐν τῷ θεῷ αἱ ὕβρεις. ἢ κατά τι ὁ θεὸς ἐλαττοῦται.
ὦ πατραλοῖε τῆς ἐπιεικείας σύ. λόγισαι δὴ οὖν ἐκ
σαυτοῦ τεκμαιρόμενος, καὶ ἐνθυμήθητι, εἰ ἁμάρτημα
εἶναι δοκεῖ, τὸ ἐν Χριστῷ παρεῖναι τὸν θεόν. ἐκεῖνος μὲν οὖν
κατεῖδε φησὶν ἀτιμίαν τοῦ λόγου, καὶ τὴν τιμωρίαν, οὐ
βραδέως ἐπήγαγε. χωρὶς δὲ τούτου, καθ' ἑκάστην δή
πουθεν ἡμέραν ἁμαρτήματα ἐν τῷ κόσμῳ γίνεται. καὶ
ὅμως ὁ θεὸς πάρεστι, καὶ τὰ τῆς δίκης οὐχ ὑστερίζει. τί
οὖν παρὰ τοῦτο ἐλαττοῦται εἰς τὸ μέγεθος αὐτοῦ τῆς
δυνάμεως. εἰ τὰ πανταχοῦ διαλανθάνεται; οὐδὲν οἶμαι.
ὁ μὲν γὰρ τοῦ κόσμου νοῦς, διὰ τοῦ θεοῦ. δι' αὐτοῦ πᾶσα
διαμονή. δι' αὐτοῦ πᾶσα δίκη. ἡ δὲ τοῦ Χριστοῦ πίστις, ἀνάρ
χως ἐξ αὐτοῦ. ὅλως δὲ θεοῦ νόμος ἐστὶ Χριστός. δι' αὐτοῦ
τὸ ἄπειρον ἅμα καὶ ἀτελεύτητον ἔχων. ἀλλὰ γὰρ
σὺ κατὰ σεαυτὸν ἐννοῶν φαίνῃ. ὢ τῆς μανίας λίαν.
περίστρεψον νῦν εἰς τὴν σαυτοῦ ἀπώλειαν, τὸ τοῦ
διαβόλου ξίφος. ὁρᾶτε δή, ὁρᾶτε πάντες, ὡς γοεραὶ

ἤδη

ἤδη περιίσταται φωνάς· *τὸ τοῦ ἔχεως ἐντεθημμένας δή- τῷ
γματι· ὡς αἱ φλέβες αὐτοῦ καὶ σάρκες τῷ ἰῷ ἐγκα-
τειλημμέναι, δεινὰς ἀνακινοῦσιν ὀδύνας· ὡς διεῤῥώγηκεν
αὐτοῦ τὸ στόμα· πᾶν *κατισχωθέν, αὐχμοῦ τε καὶ ῥύπου· καὶ θρήνων, καὶ κατισχνωθέν
ὠχριάσεως· καὶ φρίκης, καὶ μυρίων τε γέμει κακῶν. καὶ δεινῶς κα-
τέσκληκε, ὡς εἰδεχθὲς καὶ κατάῤῥυπον, τὸ τῆς χρόας εἶδος. ὡς
ὅλος ἡμιθνής· καὶ ἐξασθενῶν ἤδη τὸ βλέμμα. ὡς ἄναιμον τὸ πρόσ-
ωπον, καὶ ὑπὸ μερίμνης ἐκτετηκός· ὡς ὁμοῦ πάντα εἰς αὐτὸν συν-
δραμόντα· οἶστρος· μανία τε καὶ ματαιότης, διὰ τὸ χρόνιον τοῦ
πάθους, ἄγριόν τε καὶ θηριώδη πεποιήκασιν. αὐτίκα οὐδὲ ἐπαισθ-
ανόμενος οὗ δὴ κακοῦ τυγχάνει ὤν, ἀΐρομαι φησὶν ὑφ' ἡδονῆς,
καὶ πηδῶ γε σκιρτῶν ὑπὸ χαρᾶς. καὶ πτεροῦμαι. καὶ πάλιν νεανικῶς
γε λίαν, εἶεν φησὶν ἀπολλύμεθα. τοῦτο μέν γε καὶ ἀληθές ἐστι·
σοὶ γὰρ μόνῳ ἡ κακία τὰς παρ' ἑαυτῆς *σπουδάς, δαψιλῶς κεχο- σπουδάς
ρήγηκε· καὶ ὃ πολλοῦ ἐώνητο τιμῆς, τοῦτό σοι ῥᾷστα δεδώρηται·
φέρε δὴ νῦν εἰπέ· ποῦ τὰ σεμνά σου ἐστὶ παραγγέλματα· ἀπονίψαι
δὴ τὰ τῶν ὤν ἥλως σαυτὸν εἰ οἷόν τε· ὦ ἀτόπου γέμων ἄγαν ἀναι-
σθησίας· καί τοι σύ γε τὴν οἰκουμένην ἅπασαν τοῖς σαυτοῦ ἀσεβή-
μασι διαταράξαι ἐσπούδακας. ἀφάνη γε σιωπῆς ὡς ἅπαντα ἤδη ὁ τοῦ
θεοῦ ἄνθρωπος ἐγὼ ἐπίσταμαι; ἀλλὰ γὰρ ἀπορῶ· πότερον, μένειν, ἢ
ἀπιέναι δεῖ· οὔτε γὰρ βλέπειν εἰς τοσοῦτον ἔτι δύναμαι, καὶ τὴν ἀμαθίαν
ἐπαισχύνομαι· ὦ ἀρετή· ἡμᾶς μὲν εἰς φῶς κατέστησας. σαυτὸν δὲ εἰς
σκότος. ὦ ταλαίπωρε κατέβαλες. τοῦτό σοι τῶν πόνων πέφηνε τὸ τέλος.
ἀλλ' ἐκεῖσε πάλιν ἐπάνειμι. πλῆθος εἶναι φῂς τῶν περὶ σὲ ἀλωμέ-
νων, εἰκὸς οἶμαι· καὶ δέλεαρ γε τούτους, λέγω φημί· λύκους γὰρ καὶ
λέοντας, ἑαυτοὺς βρωθησομένους δεδώκασι· πλὴν ἀλλὰ καὶ τούτων ἕκαστος
περιθήσει κεφαλῶν δέκα· καὶ τελέσμασι τοῖς πεισθείς, αὐτίκα
δὴ μάλα ἱδρώσει, ἐὰν μὴ τὴν ταχίστην ἐπὶ τὴν σωτήριον δρα-
μὼν ἐκκλησίαν, τὴν τῆς ἀγάπης εἰρήνην τῷ φίλτρῳ τῆς
ὁμονοίας ἐπανέλθηται. οὐ γὰρ δὴ ὑπὸ σοῦ λοιπὸν ἐξαπατη-
θήσονται, ἐπὶ πονηρᾷ συνειδήσει κατεγνωσμένοι. οὐδ' ἀνέξονται
τέλεον ἀπολέσθαι, ταῖς μαγγανείαις σου ζητήσεσιν ἐμπλακέντες.
σαφῆ καὶ γνώριμα πᾶσι, πρὸς γοῦν τὸν ἑξῆς χρόνον, τὰ
σὰ ἐστὶ σοφίσματα. καὶ *μὲν οὐδὲ αὐτὸς ἀνύσαι τι δύνησῃ. μὴν
ἀλλὰ μάτην σχήματι ἢ ἐπιείκειάν τε καὶ πρᾳότητα λογ-

καθυποκρινόμενος· καὶ ἁπλότητος ὡς εἰπεῖν προσωπεῖον, ἔξωθεν περιτιθέμενος, μάταιον ἔσται σου τὸ ὅλον τέχνασμα· αὐτίκα γάρ σε ἡ ἀλήθεια περιστήσεται· αὐτίκα σου τὰς φλόγας ὁ τῆς θείας δυνάμεως ὡς εἰπεῖν ὄμβρος ἀποσβέσει· καὶ μέντοι καὶ τοὺς ἑταίρους καὶ ὁμογνώμονάς σου, ἐνόχους εἶναι τῇ βουλῇ γενομένους, αἱ τῶν δημοσίων λειτουργημάτων καταλήψονται φροντίδες· ἐάν γε μὴ τὴν ταχίστην ἀποφυγόντες, τὴν πρὸς σὲ συνουσίαν, τὴν ἀδιάφθορον ἀνταλλάξωνται πίστιν· σὺ δὲ ὦ σιδηρόφρων ἀνήρ, δεῖγμά μοι δὸς τῆς σῆς προαιρέσεως, εἰ σαυτῷ πιστεύεις, καὶ ἔρρωσαι τῷ βεβαίῳ τῆς πίστεως* καὶ καθαρὰν ὅλως ἔχεις συνείδησιν. ἧκε πρὸς ἐμέ, ἧκε φημὶ πρὸς θεοῦ ἄνθρωπον. πίστευσον, ὡς ταῖς ἐμαυτοῦ πεύσεσι διερευνήσομαί σου τὰ ἀπόρρητα τῆς καρδίας· κἂν μέντοι μανικόν ἐνεῖναι δόξῃ, τὴν θείαν ἐπικαλεσάμενος χάριν, παραδείγματός σε κάλλιον ἰάσομαι· ἐὰν δὲ ὑγιαίνων τὰ κατὰ ψυχὴν φανῇς, τὸ τῆς ἀληθείας φῶς ἐπιγνοὺς ἐν σοί, καὶ τῷ θεῷ χάριν εἴσομαι καὶ ἐμαυτῷ τῆς *ἀσεβείας συνησθήσομαι, καὶ ἄλλῃ χειρί· ὁ θεὸς ὑμᾶς διαφυλάξοι ἀγαπητοί. +

*καὶ εἰ*

*εὐσεβείας*

διὰ συγκλητικῆς, καὶ γαυδεντίου μαγιστριανῶν ἐκομίσθη καὶ ταῦτα· ὅτε πατέριος ἦν ἔπαρχος αἰγύπτου καὶ ἀνεγνώσθη, ἐν τῷ παλατίῳ:

κατὰ εὐσεβίου, καὶ θεογνίου:

Κωνσταντῖνος σεβαστός, τῇ καθολικῇ ἐκκλησίᾳ νικομηδέων. τὸν δεσπότην θεὸν δηλαδή, καὶ σωτῆρα Χριστὸν ἀκριβῶς ἅπαντες ἴστε ἀγαπητοὶ ἀδελφοί, πατέρα τε καὶ υἱὸν εἶναι· πατέρα φημὶ ἄναρχον, ἄνευ τέλους γονέα τοῦ αἰῶνος αὐτοῦ· υἱὸν δέ, τουτέστι, τὴν τοῦ πατρὸς βούλησιν· ἥτις οὔτε δι᾽ ἐνθυμήσεως τινὸς ἀνειλῆπται, οὔτε πρὸς τὴν τῶν ἔργων αὐτοῦ τελεσιουργίαν διά τινος ἐξεζητημένης οὐσίας κατελήφθη· ὁ γὰρ τοῦτο καὶ νοῶν καὶ νοήσων, οὗτος ἕξει πρὸς ἅπαν τιμωρίας γένος ἀκάματον ὑπομονήν· ἀλλὰ γὰρ ὁ τοῦ θεοῦ υἱὸς Χριστός, ὁ τῶν ἁπάντων δημιουργός. καὶ τῆς ἀθανασίας αὐτῆς δημιουργός, καὶ τῆς ἀθανασίας αὐτῆς χορηγός· ἐγεννήθη, ὅσον πρὸς τὴν πίστιν ἀνήκει, ᾗ πεπιστεύκαμεν· ἐγεννήθη· μᾶλλον δὲ προῆλθεν αὐτός· καὶ πάντοτε ἐν τῷ πατρὶ ὢν ἐπὶ τὴν τῶν ὑπ᾽ αὐτοῦ γεγενημένων διακόσμησιν.

ἐγεννήθη.

ἐγεννήθη, τόνῳ ἀμετρίῳ προελεύσει. ἡ γὰρ βούλησις ὅμως καὶ τῷ
οἰκητηρίῳ αὐτῆς ἐμπέπηγε. καὶ ταῦθ' ἅπερ διαφόρως λέγεται ἐπι-
μελείας, κατὰ τὴν ἑκάστου ποσότητα πράττει τε καὶ διοικεῖ. τί
οὖν ἐστι τὸ μεταξὺ τοῦ θεοῦ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, οὐδὲν δηλαδή.
αὕτη γὰρ ἡ τῶν πραγμάτων συμπλήρωσις, αἰσθήσει παρείληφε
τὸ τῆς βουλήσεως πρόσταγμα. οὐχὶ δὲ μερισθεῖσα ἐκ τῆς τοῦ
πατρὸς οὐσίας, τὴν βούλησιν διέστησεν. ὃ δὲ τούτοις ἕπεται, τίς
ἐστιν ὃς τοῦ Χριστοῦ τοῦ ἐμοῦ δεσπότου παιδός, δι' αἰδῶ μᾶλλον ἢ μω-
ρίαν λέγειν. ἆρ' οὖν πάσχει τὸ θεῖον; ἐπειδὰν ἡ τοῦ σεμνοῦ σώμα-
τος οἴκησις, πρὸς ἐπίγνωσιν τῆς ἰδίας ἁγιότητος ὁρμᾷ. ἢ ὑπο-
πτεύει θίξει τὸ τοῦ σώματος ἐκκεχωρισμένον. ἆρ' οὐχὶ διέστηκε
τοῦθ' ὅπερ ἐκ τῆς τοῦ σώματος ἀφῄρηται ταπεινότητι; οὐχὶ δὲ
ζῶμεν, κἂν πρὸς θάνατον, ἡ τῆς ψυχῆς εὔκλεια τὸ σῶμα
προσκαλέσηται. τί τοίνυν ἐνταῦθα ἡ ἀβλαβής τε καὶ εἰλικρινὴς
πίστις ἄξιον ἀμφιβολίας κατείληφεν. ἢ οὐχ ὁρᾷς ὅτι σεμνότατον
σῶμα ὁ θεὸς ἐξελέξατο, δι' οὗ τὰ τῆς πίστεως τεκμήρια, καὶ τὰ τῆς
οἰκείας ἀρετῆς ὑποδείγματα ἔμελλεν ἐμφανίζειν, καὶ τὴν ἤδη
συγκεχυμένην ὀλεθρίῳ πλάνῃ τοῦ ἀνθρωπίνου γένους ἀπώλειαν
ἀποσείεσθαι. καινήν τε θρησκείας διδόναι διδασκαλίαν. καὶ
τῷ τῆς ἁγνείας ὑποδείγματι, τὰς ἀναξίους τοῦ νοῦ πράξεις κα-
θαίρειν. ἔπειτα μέν, τὴν μὲν τοῦ θανάτου βάσανον ἐκλύειν.
τὰ δὲ τῆς ἀθανασίας ἔπαθλα προαναφωνεῖν. ἀλλ' ὑμεῖς οὖν
λοιπὸν ἀδελφοὶ ἡ τῆς ἀγάπης κοινωνία, εἰκότως ὑπ' ἐμοῦ προ-
σαγορεύεσθαι ποιεῖ. οὐκ ἀγνοεῖτέ με τὸν ὑμέτερον συνθεράποντα.
οὐκ ἀγνοεῖτε τὸ τῆς ἡμετέρας σωτηρίας ὀχύρωμα. οὗ τὴν φρο-
ντίδα γνησίως ἐπανῄρημαι. καὶ δι' οὗ τῶν ἡμετέρων ἐχθρῶν
οὐ μόνον τὰ ὅπλα κατεμαχεσάμεθα, ἀλλὰ καὶ ζῶντας ἔτι, τὴν
ψυχὴν συγκατείρξαμεν, πρὸς τό, τῆς φιλανίας ἀληθοῦς πίστιν
ἐκφᾶναι. ἀλλ' ἐγώ, ἐπὶ τοῖς ἀγαθοῖς τούτοις, διὰ τὴν τῆς οἰ-
κουμένης μάλιστα ἀνανέωσιν ἔχαιρον. καὶ γὰρ θαύματος ἦν
ἄξιον ἀληθῶς, ἔθνη τοσαῦτα, εἰς ὁμόνοιαν ἐπαγαγεῖν. πλὴν
τί ἔμελλε γνώσκειν τὰ ἔθνη ταῦτα, ἃ οὐδεμίαν φιλονεικίας
ἐπανῄρηντο φροντίδα. τί οὖν νοεῖτε ἀδελφοὶ ἀγαπητοί.
ὡς ὑμᾶς αὐτοὺς αἰτιῶμαι. Χριστιανοί ἐσμεν, καὶ οἰκτρᾷ διαθέσει
διχονοοῦμεν: αὕτη ἄρα ἐστὶν ἡ ἡμετέρα πίστις, αὕτη ἡ τοῦ

ἀρχαιοτάτου νόμου διδασκαλία; ἀλλὰ τίς ἐστιν ἡ αἰτία, δι' ἣν ὁ τοῦ παρόντος κακοῦ ὄλεθρος ἐξευρίσκεται· ὢ τῆς ἀτοπίας· ὢ μίσους ὑπερβολὴ πάσης ἀγανακτήσεως μέγεθος ὑπερβαίνουσα· τίς ἡ τοῦ ληστρικοῦ τούτου δεινότης· ἢ τὸν τοῦ θεοῦ υἱὸν ἀρνεῖται, ἐξ ἀμφίσου τοῦ περὶ οὐσίας προεληλυθέναι· ἆρ' οὐχὶ πανταχοῦ ἐστιν ὁ θεός; καίτοιγε τοῦτον πάντοτε παρεῖναι ἡμῖν αἰσθανόμεθα· ἆρ' οὐχὶ διὰ τῆς τούτου δυνάμεως ἡ τῶν ὅλων συνέστηκεν εὐκοσμία; καίτοιγε τῆς τοῦ χωρισμοῦ διαστάσεως ἐστέρηται. μὴ οὖν ὑμῖν, τί πέπρακται ἀγαπητοὶ ἀδελφοί, καταμάθετε νῦν ἀξιῶ τὰς βασάνους, τῆς παρούσης ἀλγηδόνος, ὁμολογητὰς ὑμᾶς εἶναι τούτου ἐπηγγέλλεσθε· ὃν εἶναι ἀρνεῖσθε· τοῦθ' ὑμᾶς τοῦ πανώλους διδασκάλου πείθοντος· ἱκετεύω, τίς ἐστιν ὁ ταῦτα διδάξας οὕτως ἄκακον πλῆθος· Εὐσέβιος δηλαδή, ὁ τῆς τυραννικῆς ὠμότητος συμμύστης. ὅτι γὰρ πανταχοῦ τοῦ τυράννου προσεγγίνηται προφύλαξ, πανταχόθεν ἐστὶ συνορᾶν. τοῦτο μὲν γὰρ αἱ τῶν ἐπισκόπων σφαγαὶ διαμαρτύρονται· ἀλλὰ τῶν ἀληθῶς ἐπισκόπων· τοῦτο δὲ ἡ χαλεπωτάτη τῶν χριστιανῶν ἐκδίωξις διαρρήδην βοᾷ· οὐδὲν γὰρ τῶν περὶ τῶν εἰς ἐμὲ γεγενημένων ὕβρεων, νῦν ἐρῶ· δι' ὧν ὅτι μάλιστα αἱ τῶν ἐναντίων μερῶν ἐπραγματεύσαντο συνεδρίαι· οὗτος καὶ ὀφθαλμοὺς κατασκόπους ὑπέπεμπε κατ' ἐμοῦ· καὶ μόνον οὐκ ἐνόπλους τῷ τυράννῳ συνεισέφερεν ὑπηρεσίας. μὴ δ' ἐμέ τις οἰέσθω εἶναι πρὸς τὴν τούτων ἀπόδειξιν ἀπαράσκευον. ἔλεγχος γὰρ ἐστιν ἀκριβής, ὅτι τοὺς πρεσβυτέρους καὶ διακόνους τοὺς Εὐσεβίῳ παρεπομένους, φανερῶς ὑπ' ἐμοῦ συνειλῆφθαι συνέστηκεν. ἀλλὰ ταῦτα μὲν παρίημι· ἃ νῦν οὐκ ἀγανακτήσεως ἕνεκεν, ἀλλ' εἰς ἐκείνου αἴτησιν ὑπ' ἐμοῦ προενήνεκται· ἐκεῖνο μόνον δέδια· ἐκεῖνο διαλογίζομαι, ὅτι ὑμᾶς ὁρῶ πρὸς τὴν τοῦ ἐγκλήματος καλεῖσθε κοινωνίαν. διὰ γὰρ τῆς Εὐσεβίου ἀγωγῆς τε καὶ διαστροφῆς, συνείδησιν τῆς ἀληθείας κεχωρισμένην ἀνειλήφατε. ἀλλ' ἔστιν οὐ βραδεῖα θεραπεία, εἴγε ἐπίσκοπον πιστόν τε καὶ ἀκέραιον νῦν γοῦν λαβόντες, πρὸς τὸν θεὸν ἀπίδητε· ὅπερ ἐπὶ τοῦ παρόντος ἐν ὑμῖν ἐστι. καὶ πάλαι ἐχρῆν τῆς ὑμετέρας κρίσεως ᾐτῆσθαι, εἰ μὴ ὁ προειρημένος Εὐσέ

βιος δεινῇ τότε συλλαβομῆ αὐτῶν, ἐνταῦθα ἐληλύθει· καὶ τὴν
τῆς τάξεως ὀρθότητα, ἀναισχύντως συνεπεπράχει· ἀλλ' ἐπειδὴ
περὶ αὐτοῦ τοῦ εὐσεβίου πρὸς τὴν ὑμετέραν ἀγάπην ὀλίγα
προσῆκε φράσαι, μέμνηται ἡ ὑμετέρα ἀνεξικακία ἐπὶ
τῆς νικαίων πόλεως γεγενῆσθαι σύνοδον· ᾗ καὶ αὐτὸς ἐγὼ
πρεπόντως, τῇ τῆς ἐμῆς συνειδήσεως λατρείᾳ παρείμην.
οὐδὲν ἕτερον βουλόμενος· ἢ ὁμόνοιαν ἅπασιν ἐργάσασθαι· καὶ
πρὸ πάντων ἐλέγξαι τε καὶ ἀποσείσασθαι πρᾶγμα τοῦτο· ὃ
τὴν μὲν ἀρχὴν εἰλήφει, διὰ τῆς ἀρείου τοῦ ἀλεξανδρέως
ἀπονοίας. ἰσχυροποιεῖτο δὲ παραχρῆμα, διὰ τῆς εὐσεβίου ἀτό-
που τε, καὶ ὀλεθρίας σπουδῆς· ἀλλ' αὐτὸς οὗτος εὐσέβιος, προσ-
φιλέστατοι καὶ τιμιώτατοι, μεθ' ὅσης νομίζετε συνδρομῆς, ἅτε
δὴ ὑπὸ τῆς συνειδήσεως αὐτῆς ἡττώμενος, μεθ' ὅσης δὲ αἰσχ-
ύνης τῇ πανταχόθεν ἐληλεγμένῃ ψευδολογίᾳ συνίστατο· ὑπο-
πέμπων μέν μοι διαφόρους τοὺς ἀξιοῦντας ὑπὲρ αὐτοῦ. ἐξαιτούμε-
νος δὲ παρ' ἐμοῦ συμμαχίαν τινά· ὅπως μὴ ἐπὶ τοσούτῳ ἐλεγχ-
θεὶς πλημμελήματι, τῆς ὑπαρχούσης αὐτῷ τιμῆς ἐκβάλλοιτο.
μάρτυς ἐστί μοι τούτου ὁ θεὸς αὐτός, ὃς ἐμοί τε καὶ ὑμῖν φιλα-
γάθως ἐπιμένοι· ἐπεὶ καὶ ἐμὲ ἐκεῖνος περιέτρεψε, καὶ ἀπρε-
πῶς ὑφήρπασεν ὃ καὶ ὑμεῖς ἐπιγνώσεσθε· πάντα μὲν γὰρ ἐπρά-
χθη τότε, καθὼς αὐτὸς ἐπόθει· πᾶν ὁτιοῦν κακὸν ἐπὶ τῆς ἑαυτοῦ
διανοίας ἀποκρυπτόμενος· ἀλλὰ πρόσχετε ἵνα τὰ λοιπὰ τῆς τούτου
σκαιότητος παρῶ· τί μάλιστα μετὰ θεογνίδος, ὃν τῆς ἀνοίας ἔχει
κοινωνὸν διεπράξατο, ἀκούσατε παρακαλῶ. ἀλεξανδρέας τινάς,
τῆς ἡμετέρας πίστεως ἀναχωρήσαντας, ἐνταῦθα κεκελεύκειν
ἀποσταλῆναι· ἐπειδὴ διὰ τῆς τούτων ὑπηρεσίας, ὁ τῆς διχονοίας
ἠγείρετο πυρσός· ἀλλ' οὗτοι οἱ καλοί τε καὶ ἀγαθοὶ ἐπίσκοποι,
οὓς ἅπαξ ἡ τῆς συνόδου ἀλήθεια, πρὸς μετάνοιαν τετηρήκει,
οὐ μόνον ἐκείνους ὑπεδέξατο, καὶ παρ' ἑαυτοῖς ἠσφαλίσαντο,
ἀλλὰ καὶ ἐκοινώνησαν αὐτοῖς, τῆς τῶν τρόπων κακοηθείας.
διὸ τοῦτο περὶ τοὺς ἀχαρίστους τούτους ἔκρινα πρᾶξαι· ἀρπαγέντας
γὰρ αὐτούς, ἐκέλευσα ὡς πορρωτάτω ἐξορισθῆναι· νῦν ἡμέτερόν
ἐστι πρὸς τὸν θεὸν ἐκείνην τὴν πίστιν βλέπειν, ἣ πάντοτε, καὶ
γεγενῆσθαι, καὶ συνεστηκέναι, καὶ εἶναι πρέπει, καὶ διαπράξασθαι·
οὕτως ἐπισκόπους ἁγνούς τε καὶ ὀρθοδόξους, καὶ φιλανθρώπους ἔχον-
τες, χαίρωμεν. εἴ τις δέ, ἢ πρὸς μνήμην τῶν λυμεώνων ἐκείνων

ἢ πρὸς ἔπαινον ἀπρονοήτως ἐξαφθῆναι τολμήσει, παράδειγμα τῆς
ἰδίας τόλμης, διὰ τῆς τοῦ θεράποντος τοῦ θεοῦ, τουτέστιν ἐμοῦ ἐνε-
ργείας ἀνασταλήσεται. ὁ θεὸς ὑμᾶς διαφυλάξοι, ἀγαπητοὶ ἀδελφοί.

## Νικητὴς Κωνσταντῖνος σεβαστός, Θεοδότῳ.

Ὅσοι τῆς θείας ὀργῆς ἡ ἰσχὺς πέφυκε. καὶ ἐξ ὧν Εὐσέβιός τε καὶ Θεό-
γνιος πεπόνθασιν, *εὐχερὲς καὶ σὲ μαθεῖν, οἳ εἰς τὴν ἀρειωτάτην
παρεισδύντες θρησκείαν, τὸ τοῦ σωτῆρος θεοῦ ὄνομα τῷ συστήματι τοῦ
οἰκείου ληστηρίου καὶ μετὰ τὸ τυχεῖν συγγνώμης, ἐμίαναν. ὅτε
γὰρ μάλιστα μετὰ τὴν τῆς συνόδου ὁμογνώμονα συμφωνίαν,
ἐχρῆν τὴν προτέραν ἐπανορθώσασθαι πλάνην, τότε τοῖς αὐτοῖς
ἀτοπήμασιν ἐμμένοντες, ἑάλωσαν. διὰ τοῦτο γοῦν ἡ θεία πρόνοια
αὐτούς, τοῦ ἑαυτῆς ἀπώσατο λαοῦ. ἐπειδὴ μὴ διέφερε τὰς ἀκά-
κους ψυχὰς ὀλίγων ἀπονοίᾳ φθειρομένας καθορᾶν. καὶ νῦν μὲν ἀξίαν
παρ' αὐτῶν ἥττονος δίκην. μείζονα δὲ καὶ εἰς ἑξῆς, διὰ τοῦ παντὸς
αἰῶνος λήψεται. ὅπερ τῇ σῇ ἀγχινοίᾳ δηλωθῆναι δεῖν ἡγησάμην.
ἵν' εἴ τις κακὴ παραίνεσις τῶν τοιούτων ὡς ἔγωγε οὐκ οἶμαι τῇ
σῇ ἐγκαθέσθη προαιρέσει, ταύτην τῆς ψυχῆς ἀφελόμενος, κα-
θαρὰν ὡς προσῆκε τὴν διάνοιαν, εἰλικρινῆ τε καθοσίωσιν, καὶ
ἄθραυστον πίστιν, τῷ σωτῆρι θεῷ παραθέσθαι προθυμηθῇς. καὶ γὰρ
τοῦτο προσῆκον ἐστίν, ὑπὸ τούτου πρακτέα. ὃς δ' ἂν ἀκεραίων τῶν
τῆς αἰωνίου ζωῆς ἐπάθλων, ἀξιοῦσθαι βούλονται. ὁ θεός σε δια-
φυλάξοι, ἀδελφὲ ἀγαπητέ.

*εὐχερὲς

+

## Περὶ Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας, ὅτι καὶ αὐτὸς κατὰ τῆς Ἀρειανῆς ἐφρόνει αἱρέσεως, ὡς ἡ ἐν Νικαίᾳ σύνοδος· καὶ μάτην αὐτὸν συκοφαντοῦσιν οἱ Ἀρειομανῖται, ὡς ὁμόδοξον ἑαυτῶν· τοῦ μεγάλου Ἀθανασίου, λόγος πρῶτος.

Βραδέως ἐδήλωσας περὶ τῆς νῦν διαλέξεως τῆς γινομένης
παρ' ὑμῖν πρὸς τοὺς χριστομάχους. καὶ γὰρ πρὶν γράψαι σε
τὴν σὴν διάθεσιν, ἔμαθον φιλοπευστῶν, καὶ ἡδέως ἀκούων
περὶ τῶν τοιούτων, τὴν μὲν οὖν σὴν εὐλάβειαν ἀπεδεξάμην
καλῶς φρονοῦσαν περὶ τῶν μακαρίων πατέρων ἡμῶν.
τῶν δὲ Ἀρειομανιτῶν τὴν ἀλογίαν καὶ νῦν ἐπέγνων. οὐδὲν
γὰρ οὔτε εὔλογον, οὔτε πρὸς ἀπόδειξιν ἐκ τῆς θείας γρα-
φῆς ῥητὸν ἐχούσης τῆς αἱρέσεως αὐτῶν. ἀεὶ μὲν προφά-
σεις ἀναισχύντους ἐπορίζοντο, καὶ σοφίσματα πιθανά. νῦν
δὲ καὶ διαβάλλειν τοὺς πατέρας τετολμήκασι. καὶ οὐκ
ἀλλότριόν γε, ἀλλὰ καὶ οἰκεῖον τοῦτο τῆς κακονοίας ἐστὶν
αὐτῶν. οἱ γὰρ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ μελε-
τᾶν ἐπιχειρήσαντες, τί θαυμαστὸν εἰ καὶ τὸν μακάριον
τὸν Διονύσιον τὸν ἐπίσκοπον τῆς Ἀλεξανδρείας, ὡς ὁμό-
δοξον ἑαυτῶν καὶ ὁμόφρονα λοιδοροῦσιν. ὃν γὰρ ἐὰν οὗτοι
πρὸς σύστασιν τῆς ἑαυτῶν αἱρέσεως δόξωσιν εὐφημεῖν,
κἂν μακάριον αὐτὸν ὀνομάζωσι, τοῦτον οὐχ ἁπλῶς, ἀλλὰ
καὶ μεγάλως διαβάλλουσιν, ὥσπερ λῃσταί τινες, καὶ τὸν
τρόπον ἄσεμνοι· οἱ ἐπειδὰν ἐπὶ τοῖς ἰδίοις ἐπιτηδεύ- Vide l. ult. §. nemo In Cod. Justinia. de accusat. & Inscript.
μασιν ὀνειδίζωνται, τοὺς σώφρονας συναριθμοῦσιν ἑαυ-
τοῖς, καταψευδόμενοι τῆς ἐκείνων σωφροσύνης. εἰ μὲν
οὖν θαρροῦσιν οἷς φρονοῦσι καὶ λέγουσι, προσφερέτωσαν γυ-
μνὴν τὴν αἵρεσιν. καὶ δεικνυέτωσαν ἐξ αὐτῆς, εἴ τινα
νομίζουσιν, ἢ ἐκ τῶν γραφῶν ἔχειν, ἢ κἂν ἀνθρώπινον
τινα λογισμὸν εὐσεβῆ πρὸς ἀπολογίαν. εἰ δὲ μηδέν,
τι τοιοῦτον ἔχουσι, σιωπάτωσαν. οὐδαμόθεν γὰρ εὑρή-
σουσιν, εἰ μὴ μᾶλλον ἔλεγχον καθ' ἑαυτῶν. ἀπὸ μὲν γὰρ
τῶν γραφῶν, τοῦ μὲν Ἰωάννου λέγοντος. ἐν ἀρχῇ ἦν ὁ
λόγος. ὃν οὗτοι λέγουσιν, οὐκ ἦν πρὶν γεννηθῇ. τοῦ δὲ Δαβὶδ
ψάλλοντος ἐκ προσώπου τοῦ πατρός. ἐξηρεύξατο ἡ καρδία
μου λόγον ἀγαθόν. ὃν οὗτοι λέγουσι κατ' ἐπίνοιαν εἶναι,
καὶ ἐξ οὐκ ὄντων γεγεννῆσθαι. εἶτα τοῦ μὲν Ἰωάννου πά-
λιν εὐαγγελιζομένου, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο.
καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.* τοῦ Παύλου γράφ- τοῦ δὲ
οντος, εἷς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα, καὶ ἐν ἑτέρῳ,

ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα. ποίαν παρρησίαν
ἕξουσιν οὗτοι. καὶ οὐ μᾶλλον ὀφείλουσιν, ἐναντιούμενοι τοῖς
τῶν ἁγίων ῥήμασιν, ὅταν λέγωσι ποίημα εἶναι τὸν
τῶν πάντων δημιουργόν, καὶ κτίσμα τοῦτον, ἐν ᾧ
τὰ κτίσματα γέγονε, καὶ συνέστηκεν. οὐδὲ ἀνθρώπι
νος δέ τις αὐτοῖς λογισμὸς εὐσεβὴς εἰς ἀπολογίαν
παραλείπεται. τίς γὰρ ἀνῶν, ἢ ἕλλην, ἢ βάρβαρος
ὃν ὁμολογεῖ θν̄, τοῦτον ἐπιχειρήσει λέγειν κτίσμα.
ἢ ὅτι οὐκ ἦν πρὶν γένηται. ἢ τίς ἀνῶν ἀκούσας παρὰ
τούτου ὃν ἐπίστευσε μόνον εἶναι θν̄. λέγοντος, οὗτός ἐστιν
ὁ υἱός μου ὁ ἀγαπητός. καὶ ἐξηρεύξατο ἡ καρδία μου
λόγον ἀγαθόν, τολμήσει κἂν εἰπεῖν, ὅτι ὁ ἐκ καρ
δίας τοῦ θῦ λόγος, ἐξ οὐκ ὄντων γέγονεν. ἢ ὁ υἱὸς κτίσ
μα ἐστί, καὶ οὐκ ἴδιον τοῦ λέγοντος γέννημα. πάλιν
δέ τις ἀκούων τούτου, ὃν ἐπίστευσεν εἶναι κν̄ καὶ
σωτῆρα, λέγοντος, ἐγὼ ἐν τῷ πρὶ, καὶ ὁ πὴρ ἐν
ἐμοί. καὶ ἐγὼ καὶ ὁ πὴρ ἕν ἐσμεν, ἐπιχειρήσει διαι
ρεῖν ἃ ἐκεῖνος ἥνωσε καὶ ἀμέριστα πεποίηκε. ταῦτα
γοῦν καὶ αὐτοὶ συνορῶντες, καὶ παρρησίαν οὐκ ἔχον
τες ἐν τοῖς ἰδίοις καταφεύγουσι τῶν εὐσεβῶν.
ἐπειδὰν δὲ τούτων αὐτοὺς ἐρήμους ὄντας, καὶ συνο
συνορῶνται ρῶντας ἑαυτοὺς ἐν ταῖς ἐρωτήσεσι πανταχόθεν ἀπο
ροῦντας καὶ χασμωμένους, μεταγινώσκειν ἐχρῆν
μᾶλλον ἀποστραφέντας ἀπὸ τῆς ὁδοῦ τῆς πλάνης, καὶ
μὴ συναριθμεῖν ἑαυτοῖς, ἃ οὐκ ἴσασιν. ἵνα μὴ καὶ
παρ' αὐτῶν ἐλεγχόμενοι, πλείονα τὴν αἰσχύνην ἀπε
νέγκωνται. ἴσως δὲ τῆς τοιαύτης πανουργίας οὐ
θέλουσιν ἀποστῆναι ποτέ. καὶ γὰρ καὶ τοῦτο τῶν
περὶ καϊάφαν ἐζήλωσαν. ὥσπερ καὶ ἀρνεῖσθαι τὸν χν̄
παρ' αὐτῶν μεμαθήκασι. καὶ γὰρ κἀκεῖνοι, τοσαῦ
τα τοῦ κῡ πεποιηκότος ἔργα δι' ὧν ἐγνώριζεν
ἑαυτὸν εἶναι τὸν χν̄, τὸν υἱὸν τοῦ θῦ τοῦ ζῶντος,
ἐλεγχόμενοί τε παρ' αὐτοῦ, πάντα παρὰ τὰς γρα
φὰς ἀντιπ' καὶ φρονοῦντες, καὶ λέγοντες, καὶ μὴ δυνά
μενοι κἂν πρὸς τὸ βραχὺ πρὸς τοὺς κατ' αὐτῶν
ἐλέγχους ἀντιβλέπειν, εἰς τὸν πατριάρχην κατ
έφυγον. λέγοντες, ἡμεῖς πρᾱ ἔχομεν τὸν ἀβραάμ.
νομίζοντες, ἐν τούτῳ διώσασθαι τὴν ἀλογίαν ἑαυ

τῶν

τῶν ἐπικαλύπτειν. ἀλλ' οὔτ' ἐκεῖνοι τοῦτο λέγοντες
ἠνόησάν τι, οὔτε αὐτοί. διονύσιον ὀνομάζοντες φυγεῖν
τὴν ὁμοίαν ἐκείνοις αἰτίαν δυνήσονται. καὶ γὰρ κα-
κείνους ἐφ' οἷς παρηνόμουν, ἤλεγξεν ὁ κύριος. λέγων·
τοῦτο ἀβραὰμ οὐκ ἐποίησε. καὶ τούτους ἀσεβοῦντας καὶ
ψευδομένους, ἡ αὐτὴ πάλιν ἀλήθεια διελέγξει. ὅτι
τὰ ἀρείου διονύσιος ὁ ἐπίσκοπος, οὔτ' ἐφρόνησεν, οὔτε
τὴν ἀλήθειαν ἠγνόησεν. ἀλλὰ καὶ οἱ τότε ἰουδαῖοι, καὶ
οἱ νέοι νῦν παρὰ τοῦ πατρὸς ἑαυτῶν τοῦ διαβόλου
τὴν χριστομάχον ἐκληρονόμησαν μανίαν. μέγα μὲν οὖν
τεκμήριον, τοῦ μηδὲ τοῦτο λέγειν αὐτοὺς ἀληθές, ἀλλὰ
καὶ τὸν ἄνδρα συκοφαντεῖν, ὅτι μήτε παρ' ἑτέρων
ἐπισκόπων, ἐπ' ἀσεβείᾳ καταγνωσθεὶς ἀπεβλήθη
τῆς ἐπισκοπῆς, ὥσπερ οὗτοι τοῦ κλήρου. μήτε αὐτὸς
ὡς αἱρέσεων ἐκδικῶν, ἐξῆλθε *τὴν ἐκκλησίαν, ἀλλ' — τ' ἐκκλησίας
ἐν αὐτῇ κεκοίμηται καλῶς. καὶ ἡ μνήμη μέχρι
νῦν αὐτοῦ μετὰ τῶν πατέρων ἐστί, καὶ γέγραπται. εἰ
γὰρ ἦν τὰ τούτων φρονήσας, ἢ περὶ ὧν ἔγραψε
μὴ ἦν ἀπολογησάμενος, οὐκ ἦν ἀμφίβολον, ὅτι πάντως
τὰ αὐτὰ καὶ αὐτὸς αὐτοῖς ἐπεπόνθει. καὶ ἤρκει μὲν
ταῦτα πρὸς πᾶσαν κατάγνωσιν τῶν νέων ἰουδαίων
τούτων καὶ τὸν κύριον ἀρνουμένων, καὶ τοὺς πατέρας διαβαλλόν-
των, καὶ πάντας χριστιανοὺς ἐπιχειρούντων ἀπατᾶν. ἐπ-
ειδὴ δὲ προφάσεις ἔχειν νομίζουσι τὰς εἰς τὸν ἐπί-
σκοπον διαβολὰς, μέρη τινὰ ἐπιστολῆς αὐτοῦ, φέρε
καὶ ταῦτα ἴδωμεν. ἵνα καὶ ἐκ τούτων αὐτῶν, ἡ μα-
ταιολογία δειχθῇ. καὶ παύσωνται μέν, κἂν ὀψέ
ποτε βλασφημοῦντες πρὸς ἑαυτοὺς τὸν κύριον. ὁμολογή-
σωσι δὲ κἂν μετὰ τῶν στρατιωτῶν βλέποντες μαρ-
τυροῦσαν τὴν κτίσιν, ὅτι ἀληθῶς οὗτος ὁ υἱὸς τοῦ θεοῦ ἐστι,
καὶ οὐκ ἔστι τῶν κτισμάτων. φασὶ τοίνυν, ἐν ἐπιστολῇ
τὸν μακαρίτην διονύσιον εἰρηκέναι, ποίημα καὶ *γεννη- — γενητὸν
τὸν εἶναι τὸν υἱὸν τοῦ θεοῦ. μήτε φύσει ἴδιον, ἀλλὰ
ξένον κατ' οὐσίαν αὐτὸν εἶναι τοῦ πατρός. ὥσπερ ἐστὶν
ὁ γεωργὸς πρὸς τὴν ἄμπελον, καὶ ὁ ναυπηγὸς πρὸς
τὸ σκάφος. καὶ γὰρ ὡς ποίημα ὤν, οὐκ ἦν πρὶν
γένηται. ναὶ ἔγραψεν ὁμολογοῦμεν καὶ ἡμεῖς, εἶναι
τοιαύτην ἐπιστολὴν αὐτοῦ. ἀλλ' ὥσπερ ταύτην ἔγρα-
ψεν, οὕτω καὶ ἑτέρας πλείστας ἐπιστολὰς ἔγραψε·

καὶ ἔδει καὶ ταύτας ἐντυχεῖν αὐτούς. ἵν' ἐκ πασῶν, καὶ μὴ μόνης ἐκ τῆς μιᾶς, ἡ πίστις γνωσθῇ τοῦ ἀνδρός. καὶ γὰρ καὶ ναυπηγοῦ πολλὰς τριήρεις κατασκευάσαντος, οὐκ ἐκ μιᾶς, ἀλλ' ἐκ πασῶν ἡ τούτου τέχνη κρίνεται. εἰ μὲν οὖν ἁπλῶς ὡς πίστιν ἐκτιθέμενος ἔγραψεν ἣν λέγουσιν ἐπιστολήν, ἢ μόνην ταύτην ἔγραψε, κατηγορείτωσαν ὡς βούλονται. κατηγορία γὰρ ἀληθῶς τὸ τοιοῦτον φρόνημα. εἰ δὲ καιροῦ καὶ προσώπου πρόφασις εἵλκυσεν αὐτὸν τοιαῦτα γράψαι, ἔγραψε δὲ πάλιν καὶ ἄλλας ἐπιστολάς, ἀπολογούμενος περὶ ὧν ὑποπτεύθη, ἔδει πάλιν αὐτοὺς μὴ ἀφέντας τὰ αἴτια φθόνον ἐπάγειν τῷ ἀνδρὶ περιττῶς. ἵνα μὴ δόξωσι λεξείδια μὲν μόνον θηρᾶν. παραπέμπεσθαι δὲ τὴν ἐν ταῖς ἄλλαις ἐπιστολαῖς ἀλήθειαν. καὶ γὰρ καὶ γεωργὸς τῶν αὐτῶν δένδρων, ἄλλοτε ἄλλως ἐπιμελεῖται, διὰ τὴν ὑποκειμένην τῆς γῆς ποιότητα. καὶ οὐ διὰ τοῦτο μέμψαιτο ἄν τις αὐτόν, ὅτι τοῦτο μὲν τέμνει, ἐκεῖνο δὲ ἐγκεντρίζει. καὶ τοῦτο μὲν φυτεύει, ἕτερον δὲ ἐκτίλλει. ἀλλὰ καὶ μᾶλλον μαθὼν τὴν αἰτίαν, θαυμάσει τὸ ποικίλον τῆς ἐπιστήμης. εἰ οὖν, εἰ μὴ παρέργως ἐνέτυχον τοῖς γράμμασιν, ἐπιστάτωσαν καὶ τὴν ὑπόθεσιν τῆς ἐπιστολῆς. οὕτω γὰρ αὐτῶν ἥ τε συκοφαντία καὶ ἡ πονηρία τῆς προαιρέσεως δειχθήσεται. ἐπειδὴ δὲ ἢ οὐκ ἴσασιν, ἢ αἰσχύνονται λέγειν, ἀναγκαῖον ἡμᾶς εἰπεῖν. ἐν πενταπόλει τῆς ἄνω λιβύης, τηνικαῦτα τινὲς τῶν ἐπισκόπων, ἐφρόνησαν τὰ σαβελλίου. καὶ τοσοῦτον ἴσχυσαν ταῖς κακονοίαις, ὡς ὀλίγου δεῖν μηκέτι ἐν ταῖς ἐκκλησίαις κηρύττεσθαι τὸν υἱὸν τοῦ θεοῦ. τοῦτο μαθὼν διονύσιος, αὐτὸς γὰρ εἶχε τὴν μέριμναν, καὶ τῶν ἐκκλησιῶν ἐκείνων, πέμπει καὶ συμβουλεύει τοῖς αἰτίοις, παύσασθαι τῆς κακοδοξίας. ὡς δ' οὐκ ἐπαύοντο, ἀλλὰ μᾶλλον ἀναιδέστερον ἠσέβουν, ἠναγκάσθη πρὸς τὴν ἀναίδειαν ἐκείνων, γράψαι τὴν τοιαύτην ἐπιστολήν, καὶ τὰ ἀνθρώπινα τοῦ σωτῆρος ἐκ τῶν εὐαγγελίων παραθέσθαι. ἵν' ἐπειδὴ τολμηρότερον ἐκεῖνοι τὸν υἱὸν ἠρνοῦντο, καὶ τὰ ἀνθρώπινα αὐτοῦ τῷ πατρὶ ἀνετίθεσαν, οὕτως οὗτος δείξας, ὅτι οὐχ ὁ

πατὴρ.

πατήρ, ἀλλ' ὁ υἱός ἐστιν ὁ γενόμενος ὑπὲρ ἡμῶν ἄνθρωπος, πεί-
σῃ τοὺς ἀμαθεῖς, μὴ εἶναι τὸν πατέρα υἱόν. καὶ οὕτω
λοιπόν, κατ' ὀλίγον ἐκείνους, εἰς τὴν ἀληθινὴν
ἀναγάγῃ θεότητα τοῦ Χριστοῦ. καὶ τὴν γνῶσιν τὴν
περὶ τοῦ πατρός. αὕτη τῆς ἐπιστολῆς ἡ ὑπόθεσις. διὰ
ταύτην τὴν αἰτίαν, οὕτως ἔγραψε καὶ αὐτός, διὰ
τοὺς οὕτως ἀναγχιῶντας, θελήσαντας μεταθεῖναι τὴν
τῆς ἀληθείας πίστιν. τί τοίνυν ὅμοιον ἡ ἀρείου αἵρε-
σις, καὶ ἡ διονυσίου διάνοια. ἢ διατί διονύσιος, ὡς
ἄρειος ὀνομάζεται, πολλῆς οὔσης αὐτῷ τῆς διαφο-
ρᾶς. ὁ μὲν γὰρ τῆς καθολικῆς ἐκκλησίας δι-
δάσκαλός ἐστιν. ὁ δέ, καινῆς αἱρέσεως ἐφευρετὴς
γέγονε. καὶ ὁ μὲν ἄρειος τὴν οἰκείαν κακοδοξ-
ίαν ἐκτιθέμενος, ἔγραψε θαλείαν ἐκτεθηλυμμέ-
νοις, καὶ γελοίοις ἤθεσι, κατὰ τὸν αἰγύπτιον σωτά-
δην. ὁ δὲ διονύσιος ἔγραψε μὲν καὶ ἄλλας ἐπιστολάς.
ἀπελογήσατο δὲ καὶ δι' ὧν ὑπωπτεύθη, καὶ ἐφάνη
φρονῶν ὀρθῶς.* καὶ μὲν οὖν, ἐναντία ἑαυτῷ γράφει, μὴ καὶ εἰ
ἑλκέτωσαν αὐτὸν πρὸς ἑαυτούς. οὐ γὰρ ἀξιόπιστος
κατὰ τοῦτο. εἰ δὲ γράψας τὴν πρὸς ἀμμώνιον
ἐπιστολὴν ὑπωπτεύθη καὶ ἀπελογήσατο, θεραπεύων
τὰ πρῶτα. ἀπολογησάμενός τε οὐ μεταβέβληται,
δῆλον ἂν εἴη, ὅτι καὶ τὰ ὑποπτευθέντα, κατ' οἰκο-
νομίαν ἔγραφεν. οὐ δεῖ δὲ τὰ κατ' οἰκονομίαν γρα-
φόμενα, ταῦτα κακοτέχνως δέχεσθαι, καὶ εἰς τὴν ἰδίαν
τρέπειν ἕκαστον βούλησιν. καὶ γὰρ καὶ ἰατροὶ πολλά-
κις, τὰ δοκοῦντα τισὶ μὴ εἶναι κατάλληλα ταῦτα
τοῖς ὑποκειμένοις τραύμασιν ὡς οἶδεν αὐτὸς ἐπιτίθη-
σιν. οὐδὲν ἕτερον ἢ πρὸς τὴν ὑγίειαν ἔχων τὸν σκοπόν
καὶ διδασκάλου δὲ φρονίμου τρόπος οὗτος, πρὸς τὰ τῶν δι-
δασκομένων ἤθη διατίθεσθαι, καὶ λαλεῖν ἕως ἂν αὐτοὺς εἰς
τὴν ὁδὸν τῆς τελειότητος μεταγάγῃ. εἰ δ' ὅτι μόνον
ἔγραψεν οὕτως ὁ μακαρίτης, αἰτιῶνται αὐτόν, αἱ γὰρ
τῶν ἀρειανῶν ὑπὲρ αὐτοῦ προφάσεις αἰτίαι κατ' αὐτοῦ
τυγχάνουσι, τί ποιήσουσιν ἀκούοντες καὶ τῶν μεγάλων καὶ
μακαρίων ἀποστόλων ἐν ταῖς πράξεσι, τοῦ μὲν πέτρου
λέγοντος, ἄνδρες ἰσραηλῖται. ἀκούσατε τοὺς λόγους τού-
τους. ἰησοῦν τὸν ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ

θεοῦ εἰς ὑμᾶς, δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε
δι' αὐτοῦ ὁ θεὸς ἐν μέσῳ ὑμῶν καθὼς οἴδατε. τοῦτον τῇ ὡρ
ισμένῃ βουλῇ καὶ προγνώσει τοῦ θεοῦ ἔκδοτον διὰ χει
ρῶν ἀνόμων προσπήξαντες ἀνείλατε. καὶ πάλιν, ἐν τῷ
ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε,
ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν. ἐν τούτῳ οὗτος παρέστηκεν
ἐνώπιον ὑμῶν ὑγιής. τοῦ δὲ Παύλου ἐξηγουμένου ἐν Αν
τιοχείᾳ τῆς Πισιδίας, ὅτι μεταστήσας ὁ θεὸς τὸν Σαοὺλ
ἤγειρε τὸν Δαβὶδ εἰς βασιλέα· ᾧ καὶ εἶπε μαρτυρήσας.
εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ κατὰ τὴν καρδίαν μου.
ὃς ποιήσει πάντα τὰ θελήματά μου. τούτου ὁ θεὸς ἀπὸ
ἤγειρε τοῦ σπέρματος, κατ' ἐπαγγελίαν *ἤγαγε τῷ Ἰσραὴλ σω
τῆρα Ἰησοῦν. καὶ πάλιν ἐν ταῖς Ἀθήναις. τοὺς μὲν οὖν χρό
νους τῆς ἀγνοίας ὑπεριδὼν ὁ θεός, τὰ νῦν ἐπαγγέλλει τοῖς
ἀνθρώποις, πάντας πανταχοῦ μετανοεῖν. καθότι ἔστησεν ἡμέραν
ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν
ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν
ἐκ νεκρῶν. ἢ Στεφάνου τοῦ μάρτυρος, ὅταν λέγῃ· ἰ
δοὺ θεωρῶ τοὺς οὐρανοὺς διηνοιγμένους. καὶ τὸν υἱὸν τοῦ
ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ. ὥρα γὰρ λοιπὸν
αὐτοὺς καὶ νῦν ἀποθρασύνεσθαι, καὶ λέγειν, οὐδὲν γὰρ
αὐτοῖς ἀτόλμητον, ὅτι καὶ αὐτοὶ οἱ ἀπόστολοι
τὰ Ἀρείου ἐφρόνουν. ἄνθρωπον γὰρ ἀπὸ Ναζαρέτ, καὶ
παθητὸν τὸν Χριστὸν ἀπαγγέλλουσιν. ἐκείνων τοίνυν
τοιαῦτα φανταζομένων, ἆρ' ἐπειδὴ τοῖς ῥήμασι
τούτοις ἐχρήσαντο, μόνον ἄνθρωπον ᾔδεισαν τὸν Χριστὸν οἱ
ἀπόστολοι, καὶ πλέον οὐδέν; μὴ γένοιτο. οὐκ ἔστιν οὐδεὶς
νοῦν τοῦτο λαβεῖν ποτέ. ἀλλὰ καὶ τοῦτο ὡς ἀρχιτέκ
τονες σοφοί, καὶ οἰκονόμοι μυστηρίων τοῦ θεοῦ πεποιή
κασι καὶ τὴν αἰτίαν ἔχουσιν εὔλογον. ἐπειδὴ γὰρ
οἱ τότε Ἰουδαῖοι πλανηθέντες, καὶ πλανήσαντες
Ἕλληνας, ἐνόμιζον τὸν Χριστὸν ψιλὸν ἄνθρωπον μόνον, ἐκ
σπέρματος Δαβὶδ ἔρχεσθαι καθ' ὁμοιότητα τῶν ἐκ
τοῦ Δαβὶδ ἄλλων γενομένων τέκνων. οὔτε δὲ θεὸν αὐ
τόν, οὔθ' ὅτι ὁ λόγος σὰρξ ἐγένετο ἐπίστευον, τούτου
ἕνεκα μετὰ πολλῆς τῆς συνέσεως, οἱ μακάριοι ἀπό
στολοι, τὰ ἀνθρώπινα τοῦ σωτῆρος πρῶτον ἐξηγοῦν
το τοῖς Ἰουδαίοις. ἵν' ὅλως πείσαντες αὐτούς, ἐκ τῶν

φαινομένων

φαινομένων καὶ γενομένων σημείων ἐληλυθέναι
τὸν Χν̄· λοιπὸν καὶ εἰς τὴν περὶ θεότητος αὐτοῦ
πίστιν ἀναγάγωσι, δεικνύντες ὅτι τὰ γενόμενα
ἔργα, οὐκ ἔστιν ἀνθρώπου, ἀλλὰ τοῦ θῦ· ἀμέλει,
πέτρος ὁ λέγων ἄνδρα ἀπαθητὸν τὸν Χν̄, εὐθὺς
συνεῖπεν· οὗτος ἀρχηγὸς τῆς ζωῆς ἐστιν. ἐν δὲ τῷ εὐ
αγγελίῳ, ὡμολόγει, σὺ εἶ ὁ Χς̄, ὁ υἱὸς τοῦ θῦ τοῦ ζῶντος·
ἐν δὲ τῇ ἐπιστολῇ φησὶν αὐτὸν ἐπίσκοπον ψυχῶν,
καὶ κν̄ ἑαυτοῦ τε καὶ ἀγγέλων, καὶ δυνάμεων εἶναι.
πάλιν τε παῦλος ὁ λέγων ἄνδρα ἐκ σπέρματος δαδ
εἶναι τὸν Χν̄, οὗτος ἐπέστελλεν ἑβραίοις μέν, ὅς ὢν
ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστά
σεως αὐτοῦ· φιλιππησίοις δέ, ὃς ἐν μορφῇ θῦ ὑπάρ
χων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θῷ· τὸ δὲ
λέγειν ἀρχηγὸν τῆς ζωῆς, καὶ υἱὸν τοῦ θῦ, καὶ ἀπ
αύγασμα καὶ χαρακτῆρα· καὶ ἴσα θῷ· καὶ κν̄, καὶ
ἐπίσκοπον ψυχῶν, τί ἂν ἦν ἕτερον ἢ ὅτι ἐν σώματι
λόγος ἦν θῦ. δι᾽ οὗ τὰ πάντα ἐγένετο. καὶ ἔστιν ἀδι
αίρετος τοῦ πρς̄· καὶ ὡς ἔστι τὸ ἀπαύγασμα πρὸς τὸ
φῶς. καὶ διονύσιος τοίνυν παρὰ τῶν ἀποστόλων τοῦ
το μαθών, πεποίηκεν. ἐπειδὴ γὰρ εἶπεν ἡ σα
βελλίου αἵρεσις, ἵνα ἀναγκασθῇ τὴν τοιαύτην καθά
περ εἶπον ἐπιστολὴν γράψαι καὶ τὰ ἀνθρωπίνως,
καὶ εὐτελῶς περὶ τοῦ *πρς̄ εἰρημένα, ῥῖψαι κατ' σωτῆρος
αὐτῶν. ἵνα τοῦ ἀποσχοινίσας διὰ τὰ ἀνθρώπινα,
τοῦ μὴ λέγειν υἱὸν εἶναι τὸν πρᾱ, εὐκολωτέραν
αὐτοῖς κατασκευάσῃ τὴν περὶ τῆς θεότητος τοῦ
υἱοῦ διδασκαλί(αν), ὅταν αὐτὸν ἐν ταῖς ἄλλαις ἰδίαις ἐπιστο
λαῖς, ἀπὸ τῶν γραφῶν λέγῃ λόγον, σοφίαν, δύνα
μιν, ἀτμίδα, ἀπαύγασμα τοῦ πρς̄· ἐν γοῦν ταῖς ἐπιστο
λαῖς τῆς ἀπολογίας τοιαῦτα λέγων, παρρησιάζε
ται ἐν τῇ πίστει, καὶ τῇ εἰς Χν̄ εὐσεβείᾳ. ὥσπερ
οὖν οὐ κατηγορητέοι οἱ ἀπόστολοι διὰ τὰ ἀνθρώ
πινα ῥήματα περὶ τοῦ κῦ, καὶ γὰρ ἄνος γέγονεν
ὁ κς̄. ἀλλὰ μᾶλλον θαύματος ἄξιοι, διὰ τὴν οἰκο

νομίαν, καὶ τὴν ἐν καιρῷ διδασκαλίαν, οὕτως οὐκ ἀρειανὸς ὁ Διονύσιος, διὰ τὴν πρὸς Εὐφράνορα καὶ Ἀμμώνιον, κατὰ Σαβελλίου ἐπιστολήν. εἰ γὰρ καὶ ταπεινοῖς ἐχρήσατο λόγοις καὶ παραδείγμασιν, ἀλλ' ἐκ τῶν εὐαγγελίων ἐστὶ καὶ ταῦτα· καὶ πρόφασιν ἔχει τοῦτο, τὴν τοῦ σωτῆρος ἐνσάρκον παρουσίαν, δι' ἣν καὶ ταῦτα, καὶ τὰ ὅμοια γέγραπται. καὶ γὰρ ὥσπερ λόγος ἐστὶ τοῦ θεοῦ, οὕτω μετὰ ταῦτα, ὁ λόγος σὰρξ ἐγένετο. καὶ ἐν ἀρχῇ μὲν ἦν ὁ λόγος. ἡ δὲ παρθένος ἐπὶ συντελείᾳ τῶν αἰώνων ἐν γαστρὶ ἔσχε. καὶ γέγονεν ὁ Χριστὸς ἄνθρωπος. καὶ εἷς μέν ἐστιν ὁ ἐξ ἀμφοτέρων σημαινόμενος. ὁ γὰρ λόγος σὰρξ ἐγένετο. τὰ δὲ περὶ τῆς θεότητος αὐτοῦ, καὶ τῆς ἐνανθρωπήσεως εἰρημένα ῥήματα, ἰδίαν καὶ κατάλληλον ἔχει πρὸς ἕκαστον τῶν λεγομένων τὴν ἑρμηνείαν. καὶ ὁ τὰ ἀνθρώπινα τοῦ λόγου γράφων, οἶδε καὶ τὰ περὶ τῆς θεότητος αὐτοῦ. καὶ ὁ περὶ τῆς θεότητος ἐξηγούμενος, οὐκ ἀγνοεῖ τὰ ἴδια τῆς ἐνσάρκου παρουσίας αὐτοῦ, ἀλλ' ἕκαστον ὡς ἐπιστήμων καὶ δόκιμος τραπεζίτης διακρίνων, κατ' ὀρθὸν τῆς εὐσεβείας βαδιεῖται. ὅτε γοῦν αὐτὸν κλαίοντα λέγει, οἶδεν ὅτι ἄνθρωπος γενόμενος ὁ Χριστός, δείκνυσι τὸ μὲν κλαίειν, τοῦ ἀνθρωπίνου. ἐγείρει δὲ λάζαρον ὡς θεός. καὶ πεινῶντα μὲν αὐτόν, καὶ διψῶντα, οἶδε σωματικῶς. θεϊκῶς δὲ χορτάζοντα ἀπὸ πέντε ἄρτων πεντακισχιλίους. καὶ κείμενον μὲν οἶδεν ἐν μνημείῳ σῶμα ἀνθρώπινον. ἐγειρόμενον δὲ ὡς θεοῦ σῶμα, παρ' αὐτοῦ τοῦ λόγου. ταῦτα καὶ Διονύσιος διδάσκων, ἐν μὲν τῇ πρὸς Εὐφράνορα, καὶ Ἀμμώνιον ἐπιστολῇ, περὶ τῶν ἀνθρωπίνως εἰρημένων περὶ τοῦ σωτῆρος, διὰ Σαβέλλιον ἔγραψεν. ἀνθρωπίνως γάρ ἐστιν εἰρημένα περὶ αὐτοῦ· τό, ἐγώ εἰμι ἡ ἄμπελος, ὁ πατήρ, ὁ γεωργός. καὶ τό, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν. καὶ τό, ἔκτισε. καὶ τό, κρείττων γενόμενος τῶν ἀγγέλων. οὐκ ἠγνόει δέ, τό, ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί. καὶ τό, ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν πατέρα· ταῦτα γὰρ αὐτὸν ἐν ταῖς ἄλλαις ἐπιστολαῖς εὑρήκαμεν γράψαντα. καὶ γὰρ κἀκεῖ ταῦτα γράφων ἐμνημόνευσε τῶν ἀνθρωπίνων τοῦ Χριστοῦ. ὥσπερ γὰρ ἐν μορφῇ θεοῦ ὢν ὁ Χριστός, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα θεῷ. ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. καὶ πλούσιος ὤν, ἐπτώχευσε δι' ἡμᾶς. οὕτως ὄντων ὑψηλῶν καὶ πλουσίων τῶν περὶ τῆς θεότητος αὐτοῦ λόγων, εἰσὶ καὶ αἱ περὶ

τῆς

τῆς ἐνσάρκου παρουσίας αὐτοῦ, ταπειναὶ καὶ πτωχαὶ λέ-
ξεις. ὅτι δὲ ἀνθρωπίνως εἴρηται ταῦτα περὶ τοῦ σωτῆρος
σκοπεῖν ἐντεῦθεν προσήκει. ὁ μὲν γεωργός, ξένος ἐστὶ
κατ' οὐσίαν τῆς ἀμπέλου, τὰ δὲ κλήματα, ὁμοούσια
καὶ συγγενῆ, καὶ ἀδιαίρετα τῆς ἀμπέλου τυγχάνει
ὄντα. καὶ μίαν ἔχει καὶ τὴν αὐτὴν γένεσιν. ταῦτα
δὲ καὶ ἡ ἄμπελος. ἐστὶ δὲ ὡς εἶπεν ὁ κύριος, αὐτὸς ἡ
ἄμπελος. ἡμεῖς τὰ κλήματα. εἰ μὲν οὖν ὁμοούσιος
ἡμῶν ὁ υἱός, καὶ τὴν αὐτὴν ἡμῖν ἔχει γένεσιν,* ἔστω ἔσται
κατὰ τοῦτο καὶ ὁ υἱὸς ἀλλότριος κατ' οὐσίαν τοῦ πατρός.
ὥσπερ καὶ ἡ ἄμπελος τοῦ γεωργοῦ. εἰ δὲ ἄλλος ἐστὶν
ὁ υἱός, παρ' ὃ ἐσμὲν ἡμεῖς, κἀκεῖνος μὲν λόγος τοῦ πατρός
ἡμεῖς δὲ ἐκ γῆς γεγόναμεν, καὶ τοῦ Ἀδὰμ ἐσμὲν
ἔκγονοι. οὐκ ὀφείλει *δὲ τὸ ῥητὸν εἰς τὴν θεότητα τοῦ δὴ
λόγου, ἀλλὰ λοιπὸν εἰς τὴν ἀνθρωπίνην αὐτοῦ παρου-
σίαν. ἐπεὶ καὶ οὕτως εἴρηκεν ὁ σωτήρ. ἐγώ εἰμι ἡ ἄμπε-
λος. ὑμεῖς τὰ κλήματα. ὁ πατήρ ὁ γεωργός. ἡμεῖς γὰρ
τοῦ κυρίου κατὰ τὸ σῶμα συγγενεῖς ἐσμέν. καὶ αὐτὸς διὰ
τοῦτο εἶπεν, ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου.
καὶ ὥσπερ ἐστὶ τὰ κλήματα ὁμοούσια τῆς ἀμπέλου, καὶ
ἐξ αὐτῆς, οὕτως ἡμεῖς ὁμογενῆ τὰ σώματα ἔχοντες
τῷ σώματι τοῦ κυρίου, ἐκ τοῦ πληρώματος αὐτοῦ λαμ-
βάνομεν. κἀκεῖνο ῥίζαν ἔχομεν εἰς τὴν ἀνάστασιν
καὶ τὴν σωτηρίαν. ὁ δὲ πατήρ, εἴρηται ὁ γεωργός.
αὐτὸς γὰρ εἰργάσατο διὰ τοῦ λόγου τὴν ἄμπελον.
ἥτις ἐστὶ τὸ ἀνθρώπινον τοῦ σωτῆρος, καὶ αὐτὸς δι'
αὐτοῦ τοῦ λόγου, τὴν εἰς βασιλείαν ὁδὸν ἡμῖν ἡτοί-
μασε. καὶ οὐδεὶς ἔρχεται πρὸς τὸν κύριον, εἰ μὴ ὁ πατὴρ
αὐτὸν ἑλκύσει πρὸς αὐτόν. ταύτην δὲ τοῦ ῥητοῦ τὴν
ἑρμηνείαν ἔχοντος, ἀνάγκη περὶ τῆς οὕτω λεγομένης
ἀμπέλου γεγράφθαι, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν.
καὶ τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, καὶ τὸ ἔκ-
τισεν. ὅτε γὰρ ἔλαβεν ὅπερ εἶχε προσενεγκεῖν ὑπὲρ
ἡμῶν. ἦν δὲ τοῦτο, τὸ ἐκ Μαρίας τῆς παρθένου σῶμα,
τότε καὶ ἐκτίσθη. καὶ πεποιῆσθαι καὶ γεγεννῆσθαι περὶ
αὐτοῦ γέγραπται. ἀνθρώποις γὰρ ἁρμόζουσιν αἱ τοιαῦται
λέξεις. ἄλλως τε οὐ μετὰ τὸ σῶμα γέγονε κρείττων
τῶν ἀγγέλων. ἵνα μὴ τὸ πρὶν ἐλάττων ἴσως αὐτῶν
φαίνηται. ἀλλὰ πρὸς ἰουδαίους γράφων, καὶ τὴν
ἀνθρωπίνην τοῦ κυρίου διακονίαν συγκρίνων τῇ Μω-

σέως, ἔφησε, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων. διὰ γὰρ ἀγγέλων, ὁ νόμος ἐλαλήθη. διότι ὁ μὲν νόμος, διὰ μωσέως ἐδόθη. ἡ δὲ χάρις, διὰ ἰῦ χῦ ἐγένετο. καὶ τὸ τοῦ πρὸς ἡ χρηματία. καὶ τότε μὲν ἀπὸ τοῦ δὰν, καὶ μέχρι τῆς βηρσαβεὲ, ὁ νόμος κατηγγέλλετο. νῦν δὲ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ τὰ ἔθνη τὸν χν̄ προσκυνοῦσι, καὶ δι' αὐτοῦ τὸν πρα γινώσκουσιν. ἀνθρωπίνως ἄρα περὶ τοῦ σωτῆρος ἐκεῖνα γέγραπται. καὶ οὐκ ἔστιν ἄλλως. ἆρ' οὖν ὡς οἱ χριστομάχοι θρυλλοῦσι, διονύσιος τὰ ἀνθρώπινα τοῦ υἱοῦ γράφων καὶ λέγων οὕτως, ποίημα αὐτὸν, ἕνα τῶν πάντων ἔλεγεν αὐτὸν εἶναι. ἢ λέγων μὴ εἶναι τὸν λόγον ἴδιον τῆς τοῦ πρὸς οὐσίας, ἐφρόνει τοῦτον ὁμοούσιον ἡμῶν εἶναι. καὶ μὴν οὐχ οὕτως ἔγραψεν ἐν ταῖς ἄλλαις ἐπιστολαῖς. ἀλλὰ καὶ ὀρθῶς φρονῶν ἐν αὐταῖς φαίνεται. καὶ δύναται δι' αὐτῶν βοῆσαι κατὰ τούτων λέγων. οὐκ ἐμὴ τῆς αὐτῆς ὑμῖν δόξης ὦ θεομάχοι. οὐδὲ τὰ ἡμέτερα πρόφασιν ἀξιῶ παρέχειν εἰς ἀσέβειαν. ἀλλὰ πρὸς μὲν ἀμμώνιον, καὶ εὐφράνορα διὰ τοὺς σαβελλίζοντας γράφων, ἐμνήσθην τοῦ γεωργοῦ, καὶ τῆς ἀμπέλου, καὶ τῶν τοιούτων ἄλλων ῥητῶν. ἵνα τὰ ἀνθρώπινα τοῦ κῦ δείξας, πείσω μὴ λέγειν ἐκείνους, ὅτι ὁ πὴρ, ἐστὶν ὁ γενόμενος ἄνος. ὡς γὰρ ὁ γεωργὸς οὐκ ἔστιν ἄμπελος, οὕτως οὐκ ἔστιν ὁ ἐν τῷ σώματι γενόμενος ὁ πὴρ. ἀλλ' ὁ λόγος. καὶ ὁ λόγος δὲ ἐν τῇ ἀμπέλῳ γενόμενος, ἄμπελος ἐκλήθη, διὰ τὴν πρὸς τὰ κλήματα, ἅπερ ἐσμὲν ἡμεῖς, σωματικὴν συγγένειαν. ταύτῃ μὲν οὖν τῇ διανοίᾳ τῇ πρὸς εὐφράνορα καὶ ἀμμώνιον, ἔγραψα. πρὸς δὲ τὴν ὑμῶν ἀναίδειαν, τὰς ἑτέρας ἐπιστολὰς τὰς παρ' ἐμοῦ γραφείσας ἀνατίθημι, ἵνα γνῶσιν οἱ φρόνιμοι τὴν ἐν αὐταῖς ἀπολογίαν, καὶ τῆς ἐν χῷ πίστεως τὴν ὀρθήν μου φρόνησιν. ἔδει μὲν οὖν καὶ τοὺς ἀρειανοὺς ἐπεὶ εἶχον ἐμμένοντα τὸν νοῦν, τοιαῦτα λογίζεσθαι καὶ φρονεῖν περὶ τοῦ ἐπισκόπου. πάντα γὰρ ἐνώπια τοῖς συνιοῦσιν ἐστὶ, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. ἐπειδὴ δὲ μὴ μαθόντες τὴν πίστιν τῆς καθολικῆς ἐκκλησίας, πεπτώκασιν εἰς ἀσέβειαν, καὶ λοιπὸν τὸν νοῦν πεπηρωμένοι, νομίζουσιν εἶναι τὰ ὀρθὰ στρεβλά. καὶ λέγουσι τὸ μὲν φῶς, σκότος. τὸ δὲ σκότος φῶς, ἀναγκαῖον καὶ τὰ ἐκ τῶν ἄλλων ἐπιστολῶν

ἀμμώνιον

Τοῦ

τοῦ Διονυσίου παραθέσθαι, καὶ τὸ αἴτιον αὐτῶν, πρὸς
πλείονα κατάγνωσιν τῶν αἱρετικῶν. ἐξ αὐτῶν γὰρ
καὶ ἡμεῖς μαθόντες, οὕτω περὶ τοῦ ἀνδρὸς, φρονοῦμεν
καὶ γράφομεν. +

+

## Τοῦ αὐτοῦ λόγος β΄. καὶ περίφρασις δι' ἣν ἔγραψε, τὰς ἄλλας ἐπιστολάς.

Διονυσίου τοῦ ἐπισκόπου μαθόντος περὶ τῶν ἐν πεντα-
πόλει, καὶ ζήλῳ τῆς εὐσεβείας γράψαντος, καθὰ προ-
εῖπον κατὰ τῆς αἱρέσεως σαβελλίου, τὴν πρὸς εὐ-
φράνορα καὶ ἀμμώνιον ἐπιστολὴν, τινὲς τῶν ἀπὸ τῆς
ἐκκλησίας ἀδελφοὶ, φρονοῦντες μὲν ὀρθῶς, μὴ ἐρω-
τήσαντες δὲ αὐτὸν, ἵνα παρ' αὐτοῦ μάθωσι πῶς ἔγρα-
ψεν, ἀνῆλθον εἰς τὴν ῥώμην, καὶ κατειρήκασιν
αὐτοῦ, παρὰ τῷ ὁμωνύμῳ αὐτοῦ Διονυσίῳ τῷ ἐπισκό-
πῳ ῥώμης. κἀκεῖνος ἀκούσας, ἔγραψεν ὁμοῦ, κατά
τε τῶν τὰ σαβελλίου φρονούντων, καὶ κατὰ τῶν
φρονούντων ταῦτα, ἅπερ καὶ ἄρειος λέγων, [redacted]
ἐξεβλήθη τῆς ἐκκλησίας. ἴσην καὶ
κατὰ διάμετρον ἀσέβειαν εἶναι λέγων, τήν τε σα-
βελλίου, καὶ τὴν τῶν λεγόντων κτίσμα καὶ ποίημα
* γεννητὸν εἶναι τὸν τοῦ θεοῦ λόγον. ἐπέστειλε δὲ καὶ γενητὸν
Διονυσίῳ δηλῶσαι, περὶ ὧν εἰρήκασι κατ' αὐτοῦ. καὶ ἀν-
τέγραψεν εὐθὺς αὐτὸς, καὶ ἐπέγραψε τὰ βιβλία,
ἐλέγχου, καὶ ἀπολογίας. ἐνταῦθα τὸ μυσαρὸν ἐργα-
στήριον τῶν χριστομάχων κατανόει, καὶ πῶς αὐτοὶ
καθ' ἑαυτῶν τὴν αἰσχύνην ἐκίνησαν. Διονυσίου γὰρ
τοῦ ἐπισκόπου ῥώμης γράψαντος, καὶ κατὰ τῶν
λεγόντων ποίημα καὶ κτίσμα τὸν υἱὸν τοῦ θεοῦ, δεί-
κνυται μὴ νῦν πρῶτον, ἀλλ' ἔκπαλαι παρὰ πάν-
των ἀναθεματισθεῖσα τῶν ἀρειανῶν ἡ αἵρεσις. ἔπ-
ειτα Διονυσίου τοῦ ἐπισκόπου ἀλεξανδρείας ἀπο-
λογουμένου περὶ ἧς ἔγραψεν ἐπιστολῆς, φαίνεται
καὶ αὐτὸς μὴ οὕτως φρονήσας ὡς οὗτοι λέγουσι, μή-
τε ὅλως τὴν ἀρείου κακοδοξίαν ἐσχηκώς. καὶ ἀρκεῖ
μὲν εἰς τελείαν κατάγνωσιν τῶν ἀρειανῶν, καὶ
ἀπόδειξιν τῆς συκοφαντίας αὐτῶν, τὸ, καὶ μόνον

ἀπολογήσασθαι τὸν Διονύσιον περὶ ὧν οὗτοι τεθρυλλήκασιν. οὐ γὰρ ὡς φιλονεικῶν ἀντέγραψεν, ἀλλ' ἀπολογούμενος, περὶ ὧν κατηγορήθη. ὁ δὲ ἀπολογούμενος περὶ ὧν ὑπωπτεύθη, τί ἕτερον ποιεῖ, ἢ λύει μὲν πᾶν ὑποπτευθὲν ἔγκλημα κατ' αὐτοῦ. ἐλέγχει δὲ καὶ ἐν τούτῳ συκοφαντοῦντας τοὺς ἀρειομανίτας. ἵνα δὲ καὶ ἐξ ὧν ἀπολογούμενος ἔγραψε, πλέον αἰσχυνθῶσιν οὗτοι, φέρε σοι καὶ τὰς λέξεις αὐτοῦ παραθῶμεν. γνώσῃ γὰρ ἀπ' αὐτῶν, ὅτι οἱ μὲν ἀρειανοί, κακόφρονες εἰσίν. ὁ δὲ Διονύσιος, ἀλλότριος τῆς ἐκείνων ἑτεροδοξίας ἐστί. πρῶτον μὲν οὖν ἐλέγχει καὶ ἀπολογίας ἔγραψεν ἑαυτοῦ τὴν ἐπιστολήν. τοῦτο δὲ τί ἐστιν, ἢ ὅτι τούτους μὲν ψευδομένους ἐλέγχει· περὶ δὲ ὧν ἔγραψεν ἀπολογεῖται. δεικνύς, ὅτι οὐχ ὡς ἄρειος ὑπενόησεν, ἔγραψεν αὐτός, ἀλλ' ὅτι τῶν ἀνθρωπίνως εἰρημένων περὶ τοῦ σωτῆρος μνησθείς, οὐκ ἠγνόει τοῦτον εἶναι λόγον, καὶ σοφίαν ἀδιαίρετον τοῦ πατρός. ἔπειτα αἰτιᾶται τοὺς κατειπόντας αὐτοῦ, ὡς μὴ ὁλοκλήρους λέγοντας, ἀλλὰ περικόπτοντας αὐτοῦ τὰς λέξεις. καὶ ὡς μὴ καλῇ συνειδήσει, ἀλλὰ πονηρᾷ, λαλοῦντας ὡς θέλουσι. τούτους τε τούτοις ἀπεικάζει, τοῖς τὰς τοῦ μακαρίου ἀποστόλου διαβάλλουσιν ἐπιστολάς. ἡ δὲ τοιαύτη μέμψις αὐτοῦ, πάντως ἀπὸ φαύλης ὑποψίας αὐτὸν ἀπολύει. εἰ γὰρ τοὺς Παύλου κατειπόντας οὕτως ἡγεῖται ὡς τοὺς αὐτοῦ κατειπόντας, οὐδὲν ἕτερον δείκνυσιν, ἢ ὅτι τὰ Παύλου φρονῶν, οὕτως ἔγραψεν. ἀμέλει καὶ πρὸς ἕκαστον τῶν ὑπὸ τῶν κατηγόρων εἰρημένων ἀπαντῶν, πάντα τὰ παρ' αὐτῶν προφερόμενα θεραπεύει. καὶ σαβέλλιον μὲν ἐν ἐκείνοις ἀνατρέπει. ἐν τούτοις δὲ δείκνυσιν ὁλόκληρον ἑαυτοῦ τὴν εὐσεβῆ πίστιν. φασκόντων τοίνυν ἐκείνων φρονεῖν τὸν Διονύσιον, οὐκ ἀεὶ ἦν ὁ θεὸς πατήρ· οὐκ ἀεὶ ἦν ὁ υἱός, ἀλλ' ὁ μὲν θεὸς ἦν χωρὶς τοῦ λόγου, αὐτὸς δὲ ὁ υἱὸς οὐκ ἦν πρὶν γεννηθῇ, ἀλλ' ἦν ποτὲ ὅτε οὐκ ἦν. οὐ γὰρ ἀΐδιός ἐστιν, ἀλλ' ὕστερον ἐπιγέγονεν, ὅρα πῶς ἀποκρίνεται. τὰ μὲν οὖν πλεῖστα τῶν αὐτοῦ ῥημάτων, ἅπερ ἢ ζητῶν ἐξετάζει, ἢ συλλογιζόμενος συνάγει, ἢ ἐρωτῶν ἐλέγχει, ἢ τοὺς κατειρηκότας αἰτιᾶται,

ταῦτα. παχέως διὰ τὸ μῆκος τῶν λόγων, μόνα τὰ
περὶ τὴν κατηγορίαν ἀναγκαῖα τίθημι. ἀπολο-
γούμενος τοίνυν περὶ ἐκείνα γράφει, ταῖς λέξεσι
ταύταις, ἐν τῷ πρώτῳ τοῦ ἐπιγραφομένου, ἐλέγχου,
καὶ ἀπολογίας, μεθ' ἕτερα οὕτως: οὐ γὰρ ἦν, ὅτε
ὁ θεὸς οὐκ ἦν πατήρ. καὶ τοῦτο οἶδεν ἐν τοῖς ἑξῆς, ἀεὶ
τὸν χριστὸν εἶναι λόγον ὄντα καὶ σοφίαν, καὶ δύναμιν.
οὐ γὰρ δὴ τούτων ἄγονος ὢν ὁ θεὸς, εἶτα ἐπαιδο-
ποιήσατο. ἀλλ' ὅτι μὴ παρ' ἑαυτοῦ ὁ υἱὸς, ἀλλ' ἐκ
τοῦ πατρὸς ἔχει τὸ εἶναι. καὶ μετ' ὀλίγα πάλιν περὶ τοῦ
αὐτοῦ φησίν. ἀπαύγασμα δὲ ὢν φωτὸς ἀϊδίου,
πάντως καὶ αὐτὸς ἀΐδιός ἐστιν. ὄντος γὰρ ἀεὶ τοῦ
φωτὸς, δῆλον ὡς ἔστιν ἀεὶ ἀπαύγασμα. τούτῳ
γὰρ καὶ ὅτι φῶς ἐστι τῷ καταυγάζειν νοεῖται.
καὶ φῶς οὐ δύναται μὴ φωτίζον εἶναι. πάλιν
γὰρ ἔλθωμεν ἐπὶ τὰ παραδείγματα. εἰ ἔστιν
ἥλιος, ἔστιν αὐγή. ἔστιν ἡμέρα. εἰ τοιοῦτον μηδέν
ἐστιν, πολλοῦ γε δεῖ παρεῖναι ἥλιον. εἰ μὲν οὖν αἴδιος
ὁ ἥλιος, ἄπαυστος ἂν ἦν καὶ ἡ ἡμέρα. νῦν δὲ, οὐ γάρ ἐστιν.
ἀρξαμένου τε, ἤρξατο καὶ παυομένου, παύεται. ὁ δέ γε θεὸς,
αἰώνιόν ἐστι φῶς οὔτε ἀρξάμενος, οὐ λῆξαν ποτέ. οὐκοῦν, αἰ-
ώνιον* πρόκειται καὶ σύνεστιν αὐτῷ, τὸ ἀπαύγασμα, πρόκειται
ἄναρχον, καὶ ἀειγενὲς, προφαινόμενον αὐτοῦ, ὅπερ ἐστὶν
ἡ λέγουσα σοφία, ἐγὼ ἤμην ᾗ προσέχαιρε. καθ' ἡμέ-
ραν δὲ εὐφραινόμην, ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ και-
ρῷ. καὶ αὖθις ἐπάγει μετ' ὀλίγα περὶ τοῦ αὐτοῦ λέγων.
ὄντος οὖν αἰωνίου τοῦ πατρὸς, αἰώνιος ὁ υἱὸς ἐστι, φῶς ἐκ φω-
τὸς ὤν. ὄντος γὰρ γονέως, ἔστι καὶ τέκνον. εἰ δὲ μὴ τέκ-
νον εἴη, πῶς καὶ τίνος εἶναι δύναται γονεύς. ἀλλ' εἰ-
σὶν ἄμφω, καὶ εἰσὶν ἀεί. εἶτα πάλιν προστίθησι ταῦ-
τα. φωτὸς μὲν οὖν ὄντος τοῦ θεοῦ, ὁ χριστὸς ἐστιν ἀπαύγασμα.
πνεύματος δὲ ὄντος, πνεῦμα γάρ φησιν ὁ θεὸς, ἀναλόγως πάλιν
ὁ χριστὸς, ἀτμὶς εἶναι λέγεται. ἀτμὶς γάρ φησιν ἐστί,
τῆς τοῦ θεοῦ δυνάμεως. καὶ ἐκ τοῦ δευτέρου πάλιν
φησί. μόνος δὲ ὁ υἱὸς ἀεὶ συνὼν τῷ πατρί, καὶ τοῦ ὄντος
πληρούμενος, καὶ αὐτός ἐστιν ὢν ἐκ τοῦ πατρός: ταῦτα
εἰ μὲν ἀμφιβόλως εἴρηται, χρείαν εἶχε τοῦ ἑρμη-
νεύοντος. ἐπειδὴ δὲ λευκῶς καὶ πολλάκις περὶ τῶν
αὐτῶν ἔγραψεν, ὁ μὲν ἄρειος τριζέτω τοὺς ὀδόντας,
ὁρῶν τὴν αἵρεσιν ἑαυτοῦ καταστρεφομένην ὑπὸ Διο-

νοοῖτο, καὶ ἀκούων ἅπερ μὴ βούλεται λέγοντος αὐτοῦ.
ἀεὶ ὁ θεὸς πατὴρ ἦν. καὶ ὁ υἱός, οὐχ ἁπλῶς ἀΐδιός ἐστιν.
ἀλλὰ τοῦ πατρὸς ἀϊδίου ὄντος, ἀΐδιος ἂν εἴη καὶ ὁ υἱός.
καὶ συνέστιν αὐτῷ, ὡς τῷ φωτὶ τὸ ἀπαύγασμα.
οἱ δὲ κἂν μόνον ὑπονοήσαντες διονύσιον τὰ ἀρείου
φρονεῖν, καταθέσθωσαν τὴν περὶ αὐτοῦ τοιαύτην
δυσφημίαν. ποία γὰρ κοινωνία τούτοις; τοῦ μὲν
ἀρείου λέγοντος, οὐκ ἦν ὁ υἱὸς πρὶν γεννηθῇ. ἀλλ' ἦν
ποτὲ ὅτε οὐκ ἦν. τοῦ δὲ διονυσίου διδάσκοντος, ὁ
δὲ γε θεός, αἰώνιόν ἐστι φῶς. οὔτε ἀρξάμενον, οὔτε
λῆξαν ποτέ. οὐκοῦν αἰώνιον προκεῖται, καὶ σύνε-
στιν αὐτῷ τὸ ἀπαύγασμα. ἄναρχον καὶ ἀειγενὲς
προφαινόμενον αὐτοῦ. καὶ γὰρ καὶ πρὸς ἄλλην
ὑποψίαν τῶν λεγόντων, ὅτι πατέρα λέγων διονύσιος,
οὐκ ὀνομάζει τὸν υἱόν. καὶ πάλιν υἱὸν λέγων, οὐκ ὀνο-
μάζει τὸν πατέρα, ἀλλὰ διαιρεῖ, καὶ μακρύνει, καὶ
μερίζει τὸν υἱὸν τοῦ πατρός, ἀποκρίνεται καὶ δυσω-
πεῖ τούτους λέγων, ἐν τῷ δευτέρῳ βιβλίῳ. τῶν
ὑπ' ἐμοῦ λεχθέντων ὀνομάτων, ἕκαστον ἀχώριστόν
ἐστι, καὶ ἀδιαίρετον τοῦ πλησίον. πατέρα εἶπον, καὶ
πρὶν ἐπαγάγω τὸν υἱόν, ἐσήμανα καὶ τοῦτον ἐν
τῷ πατρί. υἱὸν ἐπήγαγον, εἰ καὶ μὴ προειρήκειν τὸν
πατέρα. πάντως ἂν ἐν τῷ υἱῷ προείληπτο. πνεῦμα προσέθη-
κα, ἀλλ' ἅμα καὶ πόθεν, καὶ διὰ τίνος ἧκεν ἐφήρμο-
σα. οἱ δὲ οὐκ ἴσασιν, ὅτι μήτε ἀπηλλοτρίωται πατὴρ
υἱοῦ ᾗ πατήρ. προκαταρκτικὸν γάρ ἐστι τῆς συναφείας
τὸ ὄνομα. οὔτε υἱὸς ἀπῴκισται τοῦ πατρός. ἡ γὰρ πατὴρ προ-
σηγορία, δηλοῖ τὴν κοινωνίαν. ἐν δὲ ταῖς χερσὶν
αὐτῶν ἐστι, τὸ πνεῦμα. μήτε τοῦ πέμποντος, μήτε τοῦ
φέροντος δυνάμενον στερηθῆναι. πῶς οὖν ὁ τούτοις χρώ-
μενος τοῖς ὀνόμασι, μεμερίσθαι ταῦτα καὶ ἀφωρίσθαι
παντελῶς ἀλλήλων οἴομαι. καὶ μετ' ὀλίγα ἐπάγει
λέγων. οὕτω μὲν ἡμεῖς, εἴς τε τὴν τριάδα τὴν μονάδα
πλατύνομεν ἀδιαίρετον. καὶ τὴν τριάδα πάλιν
ἀμείωτον εἰς τὴν μονάδα συγκεφαλαιούμεθα. εἶτ'
ἐπεὶ καὶ ᾐτιάσατο αὐτὸν ὡς ἕνα λέγοντα τῶν γενητῶν
εἶναι τὸν υἱόν, καὶ μὴ ὁμοούσιον τῷ πατρί, αὐτὸς πάλιν
ἐν μὲν τῷ πρώτῳ βιβλίῳ, τοὺς τοιούτους διελέγχει
λέγων. πλὴν ἐγώ, γενητά τινα καὶ ποιητά φήσας

νοεῖσθαι

νοεῖσθαι, τῶν μὲν ἀχρειοτέρων πρότερον ἐξ ἐπιδρομῆς
εἶπον παραδείγματα· ἐπεὶ μήτε τῷ γεωργῷ ἔφην τὸ
φυτὸν, μήτε τῷ ναυπηγῷ τὸ σκάφος.* εἶτα τοῖς ἠ- συγγενές.
γημένοις καὶ προσφυεστέροις ἐνδιέτριψα· καὶ πλέον
διεξῆλθον περὶ τῶν ἀληθεστέρων ποικίλα προσεπεξερ-
γῶν τεκμήρια· ἅπερ καὶ σοὶ δι' ἄλλης ἐπιστολῆς ἔγ-
γραψα. ἐν οἷς ἤλεγξα, καὶ ὃ προφέρουσιν ἔγκλημα
κατ' ἐμοῦ ψεῦδος ὄν· ὡς οὐ λέγοντος τὸν Χριστὸν, ὁμοού-
σιον εἶναι τῷ θεῷ· εἰ γὰρ καὶ τὸ ὄνομα τοῦτο φημὶ
μὴ εὑρηκέναι, μηδ' ἀνεγνωκέναι που τῶν ἁγίων
γραφῶν, ἀλλά γε τὰ ἐπιχειρήματά μου τὰ ἑξῆς, ἃ
σεσιωπήκασι, τῆς διανοίας ταύτης οὐκ ἀπᾴδει· καὶ
γὰρ ἀνθρωπίνην γονὴν παρεθέμην, δῆλον ὡς οὖσαν ὁμο-
γενῆ· φήσας πάντως τοὺς γονεῖς μόνον ἑτέρους εἶναι τῶν
τέκνων, ὅτι μὴ αὐτοί εἶεν τὰ τέκνα· ἢ μήτε γονεῖς
ἀναγκαῖον ὑπάρχειν εἶναι, μήτε τέκνα· καὶ τὴν μὲν
ἐπιστολὴν ὡς προεῖπον, διὰ τὰς περιστάσεις οὐκ ἔχω
προσκομίσαι· εἰ δ' οἷόν τ' αὐτά σοι τὰ τότε ῥήματα, μᾶλ-
λον δὲ πάσης ἂν ἔπεμψα τὸ ἀντίγραφον· ὅπερ ἂν εὐ-
πορήσω, ποιήσω· οἶδα δὲ καὶ μέμνημαι πλείονα προσ-
θεὶς τῶν συγγενῶν ὁμοιώματα· καὶ γὰρ καὶ φυτὸν
εἶπον ἀπὸ σπέρματος, ἢ ἀπὸ ῥίζης ἀνελθὸν, ἕτερον εἶναι
τοῦ ὅθεν ἐβλάστησε· καὶ πάντως ἐκείνῳ καθεστηκέναι
ὁμοφυές· καὶ ποταμὸν ἀπὸ πηγῆς ῥέοντα, ἕτερον
καὶ σχῆμα, καὶ ὄνομα μετειληφέναι· μήτε γὰρ τὴν
πηγὴν ποταμὸν, μήτε τὸν ποταμὸν πηγὴν λέ-
γεσθαι· καὶ ἀμφότερα ὑπάρχειν· καὶ τὴν μὲν πηγὴν
οἱονεὶ πατέρα εἶναι· τὸν δὲ ποταμὸν, εἶναι ἐκ τῆς πηγῆς
ὕδωρ· ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα, μηδὲ ὁρᾶν
γεγραμμένα, ἀλλ' οἱονεὶ τυφλώττειν ὑποκρίνονται·
τοῖς δὲ δυσὶ ῥηματίοις ἀσυνθέτοις καθάπερ λίθοις,
μακρόθεν ἐπιχειροῦσί με βάλλειν· ἀγνοοῦντες ὡς τῶν
ἀγνοουμένων καὶ προσαγωγῆς εἰς ἐπίγνωσιν δεομένων, οὐ
μόνον, ἀλλ' οἷα πολλάκις καὶ ὑπεναντία τεκμήρια γίνε-
ται τῶν ἐπιζητουμένων δηλώματα· ἐν δὲ τῷ τρίτῳ
βιβλίῳ φησί, ζωὴ ἐκ ζωῆς ἐγεννήθη· καὶ ὥσπερ πο-
ταμὸς ἀπὸ πηγῆς ἔρρευσε· καὶ ἀπὸ φωτὸς ἀσβέστου
λαμπρὸν φῶς ἀνήφθη· τίς τούτων ἀκούων, οὐ μανίαν
λοιπὸν καταψηφίσεται, τῶν ὑπονοούντων τὸν Διονύ-
σιον

σιον τὰ ἀρείου φρονεῖν. ἰδοὺ γὰρ διὰ τούτων φανερῶς
πᾶσαν αὐτοῦ πατεῖ τὴν αἵρεσιν, τοῖς τῆς ἀληθείας ἐλέ-
γχοις. τὸ μὲν γὰρ οὐκ ἦν πρὶν γεννηθῇ, καὶ τὸ
ἦν ποτὲ ὅτε οὐκ ἦν, ἀναιρεῖ ἐν τῷ τοῦ ἀπαυγάσματος λό-
γῳ. καὶ λέγων ὅτι τούτου ὁ πατὴρ, οὐκ ἦν ποτε ἄγονος.
τὸ δὲ ἐξ οὐκ ὄντων αὐτὸν, ἀναιρεῖ ἐν τῷ λέγειν, τὸν λόγον
εἶναι ὡς ποταμὸν ἀπὸ πηγῆς. καὶ βλαστὸν ἀπὸ ῥί-
ζης καὶ τέκνον ἀπὸ γονέως. καὶ φῶς ἐκ φωτός. καὶ
ζωὴν ἐκ ζωῆς. καὶ τὸ μὲν ἀποξενίζειν καὶ διαιρεῖν
αὐτὸν τὸν λόγον ἀπὸ τοῦ θεοῦ, ἀναιρεῖ, λέγων αὐτὸν
ἀδιαίρετον καὶ ἀμείωτον τὴν τριάδα εἰς μονάδα συγ-
κεφαλαιοῦσθαι. τὸ δὲ λέγειν αὐτοὺς ἀλλότριον εἶ-
ναι τὸν υἱὸν τῆς τοῦ πατρὸς οὐσίας, ἀντικρυς παύει, λέγων
ὁμοούσιον εἶναι τὸν υἱὸν τοῦ πατρός. ἐφ' ᾧ καὶ θαυμάσειεν
ἄν τις τὴν ἀναίδειαν τῶν δυσσεβῶν. πῶς διονυσίου,
ὃν λέγουσιν ὁμόδοξον αὐτῶν εἶναι, λέγοντος ὁμοούσιον
τὸν υἱὸν, αὐτοὶ περιέρχονται, ὡς κώνωπες περιβομ-
βοῦντες, ὡς οὐκ ὀρθῶς γραψάσης τῆς συνόδου τὸ ὁμο-
ούσιον. εἰ γὰρ διονύσιός ἐστιν αὐτοῖς φίλος, μὴ ἀρνεί-
σθωσαν τὰ τοῦ ὁμόφρονος. εἰ δὲ νομίζουσι μὴ ὀρθῶς
εἰρῆσθαι, πῶς τὸν τοῦτο λέγοντα διονύσιον θρυλλοῦσιν
ὡς τὰ αὐτὰ φρονοῦντα μάλιστα δ' ὅτι οὐδ' ἐκ παρέρ-
γου ταῦτα λέγων φαίνεται. ἀλλὰ πρότερον ἄλλας
ἐπιστολὰς γράψας, τοὺς μὲν κατηγορηκότας αὐτοῦ ὡς
μὴ λέγοντος ὁμοούσιον τὸν υἱὸν τῷ πατρὶ, διελέγχει
ψευδομένους. τοὺς δὲ νομίζοντας αὐτὸν λέγειν γεν-
νητὸν λόγον, παρακρούεται, ὅτι μὴ οὕτως ὡς νομίζου-
σιν ἐφρόνησεν. ἀλλ' εἰ καὶ τὰς λέξεις εἴρηκε, διὰ
τοῦτο φησὶν εἰρηκέναι, πρὸς τὸ μόνον δεῖξαι, ὅτι
μὴ ὁ πατήρ ἐστιν, ἀλλ' ὁ υἱός, ὁ τὸ γεννητὸν, καὶ κτιστὸν
καὶ ποιητὸν ἐνδυσάμενος σῶμα. διὸ καὶ γεγεννῆσθαι
καὶ πεποιῆσθαι, καὶ ἐκτίσθαι λέγεται ὁ υἱός. ἀμέλει ἐπ-
ειδὴ ἐλήφθη γράψαι τὰς τοιαύτας λέξεις, τοῖς μὲν
ἀρειανοῖς, μακρὰ φράζει χαίρειν. παρὰ δὲ τῶν
ἀκουόντων, συνείδησιν ἀγαθὴν ἀπαιτεῖ τὸ δυσχερὲς
ἴ τάχα καὶ τὸ ἀπερίδρακτον τῶν ζητουμένων
προβαλλόμενος. ἵνα μὴ τὰς λέξεις, ἀλλὰ τὴν διά-
νοιαν τοῦ φράζοντος κρίνωσι καὶ μάλιστα, ὅταν
τὰ πλεῖστα μαρτυρεῖ τῇ τούτου φρονήσει. ἔφησε

γοῦν

γνοῦν καὶ αὐτός, ὅτι τῶν μὲν τοιούτων ὡς ἀχρειοτέρων ἐξ ἐπι-
δρομῆς εἶπον τὰ παραδείγματα, τὸ φυτὸν, καὶ τὸν γε-
ωργόν· τοῖς δὲ προσφυεστέροις ἐνδιέτριψα, καὶ πλείων
ἐξῆλθον περὶ τῶν ἀληθεστέρων· ὁ δὲ τοῦτο λέγων, δεί-
κνυσιν ἀληθέστερον εἶναι, τὸ λέγειν ἀΐδιον, καὶ ἐκ τοῦ
πατρὸς τὸν υἱὸν, ἤπερ γενητόν· ἐκ τούτου μὲν γὰρ τὸ
σωματικὸν τοῦ κυρίου σημαίνεται. ἐξ ἐκείνων δὲ, τὸ ἀΐδ-
ιον τῆς θεότητος αὐτοῦ· ἐν τούτοις γνοῦν καὶ ἠλέγχθαι
παρ' αὐτοῦ τοὺς ἐγκαλέσαντας, ὡς μὴ λέγοντος αὐτοῦ
ὁμοούσιον τῷ πατρὶ διαβεβαιοῦται. οὐχ ἁπλῶς, ἀλλὰ μετὰ
ἑρμηνήσεως καὶ ἀποδείξεως ἀληθοῦς· λέγων, εἰ καὶ μὴ
τὴν λέξιν ταύτην εὗρεν ἐν ταῖς γραφαῖς· ἀλλ' ἐξ
αὐτῶν τῶν γραφῶν τὸν νοῦν συναγαγών, ἔγνω
ὅτι υἱὸς ὢν καὶ λόγος, οὐ ξένος ἂν εἴη τῆς οὐσίας τοῦ πατρός.
ὅτι γὰρ οὐ κτίσμα, οὐδὲ ποίημα φρονεῖ τὸν υἱὸν εἶναι.
καὶ γὰρ καὶ ἐν τούτῳ τεθρυλλήκασιν αὐτόν· οὕτως ἐν
τῷ δευτέρῳ βιβλίῳ φησίν· ἐὰν δέ τις τῶν συκοφαν-
τῶν, ἐπειδὴ τῶν ἁπάντων ποιητὴν τὸν θεὸν καὶ δημιουργὸν
εἶπον, οἴηταί με καὶ τοῦ χριστοῦ λέγειν, ἀκουσάτω μου πρό-
τερον πατέρα φήσαντος αὐτόν. ἐν ᾧ καὶ ὁ υἱὸς προσγέ-
γραπται· μετὰ γὰρ τὸ εἰπεῖν πατέρα, ποιητὴν ἐπαγήο-
χα· καὶ οὔτε πατήρ ἐστιν ὢν ποιητής, εἰ κυρίως ὁ γεννήσας
ἀκούοιτο· τὴν γὰρ πλατύτητα τῆς τοῦ πατρὸς προσηγο-
ρίας, ἐν τοῖς ἑξῆς ἐπεργασόμεθα: οὔτε ποιητὴς οὐ πατὴρ
ἦν· μόνος ὁ χειροτέχνης, ποιητὴς λέγοιτο· παρ' ἕλλησι
γὰρ ποιηταὶ καθίσανται, ὡς εἶπεν ὁ θεός· ἔμεινα τοῦ
ποιῆσαι κρίσιν· ἐποίησε δὲ ἀνομίαν· ἔστιν ἀληθῶς ἀκού-
οντα ταῦτα, μνησθῆναι τοῦ θείου λογίου· λέγοντος, οὐ
ἐὰν γραφῇ ἀσεβὴς, ἀφανίζεται· ἰδοὺ γὰρ ποικίλως στρε-
φόμενοι καθ' ἑκάστην οἱ δυσσεβεῖς ἀφανίζονται· μὴ ἔχον-
τες μηδ' εἰς τοῦτο πρόφασιν παρὰ διονυσίου· φανερῶς
μὲν γὰρ διδάσκει μὴ εἶναι ποίημα, μηδὲ κτίσμα τὸν
υἱόν· αἰτιᾶται δὲ καὶ θεραπεύει τοὺς διαβάλλοντας
αὐτὸν ὡς εἰπόντα ποιητὴν τὸν θεὸν, ἐν ᾧ καὶ ὁ υἱὸς
προσγέγραπται· τοῦτο δὲ λέγων, δείκνυσι μὴ εἶναι
τῶν ποιημάτων τὸν υἱόν. μηδὲ ποιητὴν, ἀλλὰ πα-
τέρα τοῦ ἰδίου λόγου τὸν θεὸν εἶναι· καὶ ἐπειδὴ ἀσυν-
ειδήτως τινὲς ἐπήγαγον αὐτῷ, ὅτι ποιητὴν εἶπε
τὸν θεὸν τοῦ χριστοῦ, διὰ τοῦτο ποικίλως ἀπολογούμενος

φησί· μηδ' οὕτως ἐπιλήψιμον εἶναι τὸν λόγον. εἰ γὰρ
καὶ εἶναι γὰρ ποιητὴν φησὶ διὰ τὴν σάρκα ἣν ἔλαβε
γενητὴν οὖσαν αὐτὸν ὁ λόγος. εἰ δὲ καὶ περὶ τοῦ λόγου
τις ὑπονοήσει τοῦτο λελέχθαι, οὕτως ἔπρεπεν αὐτῷ ἀφι-
λονείκως ἀκοῦσαι. ὡς γὰρ οὐ ποίημα φρονῶν τὸν λόγον
καὶ οὐ ποιητήν, ἀλλὰ παρὰ τὸν θεὸν αὐτὸν λέγω, καὶ ἐξ
ἐπιθυμίας ἔπος ποιητὴν τὸν θεὸν διηγούμενος περὶ τοῦ
υἱοῦ· ἀλλὰ καὶ οὕτως ἀπολογήσασθαι δυνατόν. ποιητὰς
τῶν ἰδίων λόγων, Ἑλλήνων μὲν οἱ σοφοὶ φασὶ καί τοι
πρὸς ἑαυτοὺς ὄντας τῶν ἰδίων λόγων. ἡ δὲ θεία γρα-
φή, καὶ τῶν ἀπὸ καρδίας κινημάτων ποιητὰς ἡμᾶς
διαγορεύει. ποιητὰς νόμου, καὶ κρίσεως, καὶ δικαιο-
σύνης λέγουσα. ὥστε πανταχόθεν τὸν μὲν υἱὸν μὴ
εἶναι κτίσμα μηδὲ ποίημα. ἑαυτὸν δὲ ἀλλότριον
τῆς ἀρειανικῆς κακοδοξίας ἀποδείκνυσι. μὴ γὰρ
δή τις ἀρειανὸς μηδὲ ἐν τούτῳ ὑπονοείτω κατ'
αὐτοῦ ὡς οὕτως λέγοντος, σύνεστιν ὁ υἱὸς τῷ πατρί. ὡς
τὰ μὲν ὀνόματα συνῆφθαι ἀλλήλοις. τὰ δὲ πράγ-
ματα πλεῖστον ἀλλήλων διεστάναι. καὶ μὴ ἀεὶ μὲν
συνεῖναι τὸν υἱὸν τῷ πατρί. ἀφ' οὗ γέγονεν ὁ υἱός, ἐξ ἐκεί-
νου καὶ παρὰ τὸν θεὸν εἰρῆσθαι. καὶ λοιπὸν αὐτῷ συνεῖναι,
ὥσπερ καὶ ἐπ' ἄλλων τοῦτο γίνεται. ἀλλ' ἐνθυμείσθω, καὶ
μνημονευέτω τῶν πρόσθεν εἰρημένων, καὶ ὄψεται δια-
νοοῦντος τὴν πίστιν ὀρθήν. λέγει γάρ, οὐ γὰρ ἦν ὅτε οὐκ ἦν
ὁ θεὸς πατήρ. καὶ πάλιν. ὁ δὲ καὶ θεὸς αἰώνιον ἐστι φῶς, οὔτε
ἀρξάμενον, οὔτε λῆξον ποτέ. οὐκοῦν αἰώνιον πρόκειται καὶ
σύνεστιν αὐτῷ τὸ ἀπαύγασμα, ἄναρχον καὶ ἀειγε-
νὲς προφερόμενον αὐτοῦ, ἐκκλίνει μηδένα τὸ σύνο-
λον ὑπονοεῖν τινὰ τοιαῦτα κατ' αὐτοῦ. καὶ τὰ παρα-
δείγματα δὲ τῆς πηγῆς, καὶ τοῦ ποταμοῦ, καὶ
τῆς ῥίζης, καὶ τοῦ βλαστοῦ, καὶ τοῦ πυρός, καὶ τῆς ἀτμί-
δος καταισχύνει τοὺς χριστομάχους, τἀναντία φρον-
οῦντας κατ' αὐτοῦ. ἐπειδὴ δὲ πρὸ πᾶσι τοῖς ἑαυτοῦ
κακοῖς ὁ ἄρειος, καὶ τοῦτο συμπεφόρηκεν ἑαυτοῦ
ῥημάτιον, ὡς ἐκ φρονήσεως. καὶ προστίθησιν, ὡς ἄρα
ὁ λόγος, οὐκ ἔστιν ἴδιος τοῦ πατρός, ἀλλ' ἄλλος μὲν ἐστιν
ὁ ἐν τῷ θεῷ λόγος. οὗτος δὲ ὁ κύριος ξένος μὲν τῆς
τοῦ πατρὸς οὐσίας. κατ' ἐπίνοιαν δὲ μόνον λέγεται

λόγος

λόγος· καὶ οὐκ ἔστι μὲν κατὰ φύσιν, καὶ ἀληθινὸς τοῦ
θεοῦ υἱός· κατὰ θέσιν δὲ λέγεται καὶ αὐτὸς υἱὸς ὡς κτίσ-
μα. καὶ τοιαῦτα λέγων, ἀρέσκει παρὰ τοῖς ἀγνοοῦσιν,
ὡς καὶ ἐν τούτοις ἔχων ὁμόδοξον τὸν διονύσιον, ὅρα
καὶ τὴν περὶ τούτου πίστιν τοῦ διονυσίου· καὶ πῶς μά-
χεται ταῖς τοιαύταις ἀρείου κακονοίαις· γράφει γὰρ
ἐν μὲν τῷ πρώτῳ βιβλίῳ οὕτως. περιείρηται μὲν αὐτὸ
ὅτι πηγὴ τῶν ἀγαθῶν, καὶ ἁπάντων ἐστὶν ὁ θεός. ποταμὸς
ὑπ᾽ αὐτοῦ προχεόμενος, ὁ υἱὸς ἀναγέγραπται· ἀπόῤῥ-
οια γὰρ νοῦ λόγος· καὶ ὡς ἐπ᾽ ἀνθρώπων εἰπεῖν ἀπὸ καρ-
δίας διὰ στόματος ἐξέρχεται ἕτερος γινόμενος τοῦ ἐν
καρδίᾳ λόγου ὁ διὰ γλώσσης νοῦς προπηδῶν. ὁ μὲν γὰρ
ἔμεινε προπέμψας, καὶ ἔστιν οἷος ἦν. ὁ δὲ ἐξέπτη προ-
πεμφθείς, καὶ φέρεται πανταχοῦ· καὶ οὕτως ἐστὶν ἑκάτε-
ρος ἐν ἑκατέρῳ, ἕτερος ὢν θατέρου· καὶ ἕν εἰσιν ὄν-
τες δύο. οὕτω γὰρ ὁ πατὴρ καὶ ὁ υἱὸς ἕν, καὶ ἐν ἀλλή-
λοις ἐλέχθησαν εἶναι. ἐν δὲ τῷ τετάρτῳ βιβλίῳ
οὕτως: ὥσπερ γὰρ ὁ ἡμέτερος νοῦς ἐρεύγεται μὲν ἀφ᾽ ἑαυ-
τοῦ τὸν λόγον ὡς εἶπεν ὁ προφήτης ἐξηρεύξατο ἡ
καρδία μου λόγον ἀγαθόν· καὶ ἔστι μὲν ~~ἑκάτερος~~ ἕτερος
ἕτερος θατέρου, ἴδιον καὶ τοῦ λοιποῦ κεχωρισμένον
εἰληχὼς τόπον. ὁ μὲν ἐν τῇ καρδίᾳ. ὁ δέ, ἐπὶ τῆς
γλώσσης καὶ τοῦ στόματος οἰκῶν καὶ κινούμενος. οὐ μὴν
διεστήκασιν· οὐδὲ καθάπαξ ἀλλήλων στεροῦνται. οὐδὲ ἔστιν
ὁ νοῦς ἄλογος. οὔτε ἄνους ὁ λόγος. ἀλλ᾽ ὅ τε νοῦς, ποιεῖ τὸν
λόγον ἐν* ἑαυτῷ φανείς. καὶ ὁ λόγος δείκνυσι τὸν νοῦν αὐτῷ
ἐν αὐτῷ γενόμενος. καὶ ὁ μὲν νοῦς ἐστιν οἷον ὁ λόγος ἐγ-
κείμενος. ὁ δὲ λόγος, ~~ὁ~~ νοῦς προπηδῶν. καὶ μεθίσταται
μὲν ὁ νοῦς, εἰς τὸν λόγον. ὁ δὲ λόγος τὸν + νοῦν εἰς
τοὺς ἀκροατὰς ἐγκυκλεῖ, καὶ οὕτως ὁ νοῦς διὰ τοῦ λόγου
ταῖς τῶν ἀκουόντων ψυχαῖς ἐνίδρυται, συνεισιὼν τῷ
λόγῳ. καὶ ἔστιν ὁ μέν, οἷον πατὴρ ὁ νοῦς τοῦ λόγου, ὢν ἐφ᾽ ἑαυ-
τοῦ. ὁ δὲ καθάπερ υἱὸς ὁ λόγος, τοῦ νοῦ. πρὸ ἐκείνου μὲν
ἀδύνατον. ἀλλ᾽ οὐδὲ ἔξωθεν ποθέν, σὺν ἐκείνῳ γενό-
μενος. βλαστήσας δὲ ἀπ᾽ αὐτοῦ, οὕτως ὁ πατὴρ ὁ μέ-
γιστος καὶ καθόλου νοῦς, πρῶτον τὸν υἱὸν λόγον ἑρμη-
νέα ἄγγελον ἑαυτοῦ ἔχει: τοῦτον ἢ οὐκ ἤκουσε ποτὲ
ἄρειος, ἢ ἀκούσας οὐκ ἐνενόησεν ὁ ἀμαθής. οὐ γὰρ
γὰρ εἴπερ ἦν νοήσας, κατεψεύδετο τοσοῦτον κατὰ

τοῦ ἐπισκόπου. ἀλλὰ πάντως καὶ αὐτὸν ὡς ἡμᾶς ἐλοιδόρει, διὰ τὸ πρὸς τὴν ἀλήθειαν μῖσος. χειρόμαχος γὰρ ὤν, οὐκ ὀκνήσει καὶ τοὺς τὰ Χριστοῦ φρονοῦντας διώκειν. ὡς αὐτὸς ὁ κύριος προείρηκεν. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. ἢ εἰ νομίζουσιν οἱ προστάται τῆς ἀσεβείας ὁμόφρονα τὸν διονύσιον ἑαυτοῖς εἶναι, γραψάτωσαν ταῦτα, καὶ ὁμολογείτωσαν. γραψάτωσαν τὴν ἄμπελον, καὶ τὸν γεωργόν. τὸ σκάφος, καὶ τὸν ναυπηγόν. καὶ ἅμα ὁμολογείτωσαν. καὶ ἅπερ εἶπεν ἀπολογούμενος τὸ ὁμοούσιον. καὶ τὸ ἐκ τῆς οὐσίας εἶναι τὸν υἱόν, καὶ τὸ ἀΐδιον, καὶ τὸν νοῦν πρὸς τὸν λόγον. τήν τε πηγήν, καὶ τὸν ποταμόν. καὶ τὰ ἄλλα. ἱκανὰ γὰρ ἐκ τῆς διαφορᾶς γνῶσι, πῶς ἐκεῖνα μὲν κατ᾽ οἰκονομίαν. ταῦτα δὲ ὡς ὁ τῆς εὐσεβοῦς πίστεως βούλεται λόγος εἴρηκε. καὶ λοιπὸν ταῦτα λέγοντες, ἀναιροῦσιν ἅπερ κατ᾽ αὐτὸν τοῦτον ἐφρόνησαν. τί γὰρ κἂν ἐγγὺς ἔχει τῶν ἀρείου κακῶν, ἡ διονυσίου δόξα. οὐχ ὁ μὲν ἄρειος κατ᾽ ἐπίνοιαν λέγει τὸν λόγον. ὁ δὲ διονύσιος, ἀληθινὸν καὶ φύσει λόγον τοῦ θεοῦ. καὶ ὁ μὲν, ἀποξενοῖ τὸν λόγον ἀπὸ τοῦ πατρός. ὁ δὲ ἴδιον, καὶ ἀδιαίρετον τῆς τοῦ πατρὸς οὐσίας αὐτὸν εἶναι διδάσκει, ὡς ἔστιν ὁ λόγος πρὸς τὸν νοῦν. καὶ ποταμὸς πρὸς τὴν πηγήν. εἰ μὲν οὖν διαιρεῖν καὶ ἀποξενοῦν τὸν λόγον καὶ τὸν νοῦν, τίς δύναται ἢ τὸν ποταμὸν καὶ τὴν πηγὴν μερίσαι, καὶ τειχίσας διελεῖν. ἢ τὸν ποταμὸν ἑτεροούσιον εἰπεῖν πρὸς τὴν πηγήν, καὶ ξένον τὸ ὕδωρ δεῖξαι. ἢ τὸ ἀπαύγασμα τολμᾷ διελεῖν ἀπὸ τοῦ φωτός. καὶ εἰπεῖν ἐξ ἑτέρας οὐσίας εἶναι τὸ ἀπαύγασμα, καὶ μὴ ἐκ τοῦ φωτός, μαινέσθω μετὰ ἀρείου. ὁ γὰρ τοιοῦτος μηδὲ νοῦν ἀνθρώπινον ἔχων φανήσεται. εἰ δὲ ἀδιαίρετα ταῦτα οἶδεν ἡ φύσις, καὶ τὸ τοῦ πατρὸς γέννημα ἴδιον. μήτε τὰ ἀρείου τις ἔτι λοιπὸν φρονείτω. μήτε διονύσιον διαβαλλέτω. ἀλλὰ καὶ μᾶλλον ἐκ τούτων αὐτοῦ θαυμαζέτω, τήν τε τοῦ λόγου λευκότητα, καὶ τὴν τῆς πίστεως ὀρθότητα. ὅτι γὰρ πρὸς τὴν μανίαν ἀρείου, λέγοντος, ἄλλον εἶναι τὸν ἐν τῷ θεῷ λόγον, καὶ ἄλλον περὶ οὗ φησὶν ὁ ἰωάννης, ἐν ἀρχῇ ἦν ὁ λόγος. καὶ ἄλλην μὲν ἰδίαν σοφίαν εἶναι ἐν τῷ

θεῷ

θεοῦ. καὶ ἄλλην δὲ περὶ ἧς φησὶν ὁ παῦλος, Χριστὸς θεοῦ δύναμις, καὶ θεοῦ σοφία. πάλιν ὁ διονύσιος ἀνθίσταται, καὶ διαβάλλει τὴν τοιαύτην κακοδοξίαν, ὅρα πάλιν πῶς ἐν τῷ δευτέρῳ βιβλίῳ γράφει περὶ τούτων οὕτως. ἐν ἀρχῇ ἦν ὁ λόγος. ἀλλ' οὐκ ἦν ὁ λόγος, ὁ τὸν λόγον προϊέμενος. ἦν γὰρ ὁ λόγος πρὸς τὸν θεόν. σοφία γεγένηται ὁ κύριος. οὐκ ἦν οὖν ἡ σοφία, ὁ τὴν σοφίαν ἀνείς; ἐγὼ γὰρ ἤμην φησὶν ἡ σοφία ᾗ προσέχαιρεν. ἀλήθειά ἐστιν ὁ Χριστός. εὐλογητὸς δὲ φησὶν, ὁ θεὸς τῆς ἀληθείας. ἐνταῦθα καὶ σαβέλλιον, καὶ ἄρειον ἀνατρέπει. καὶ ἀμφοτέρας τὰς αἱρέσεις, ἴσας ἐν ἀσεβείᾳ δείκνυσιν. οὔτε γὰρ λόγος ἐστὶν ὁ τοῦ λόγου πατήρ. οὔτε ποίημά ἐστι τὸ ἐκ τοῦ πατρὸς, ἀλλ' ἴδιον τῆς οὐσίας αὐτοῦ γέννημα. πάλιν τε, οὐκ ἔστι πατὴρ ὁ προελθὼν λόγος. οὐδὲ πάλιν ἐκ πολλῶν εἷς ἐστιν οὗτος λόγος. ἀλλὰ μόνος ἐστὶ τοῦ πατρὸς υἱὸς ἀληθινὸς, καὶ φύσει γνήσιος. ὁ καὶ ὢν ἐν αὐτῷ, καὶ ἀϊδίως καὶ ἀδιαιρέτως ὢν ἐξ αὐτοῦ, οὕτω καὶ σοφία, καὶ ἀλήθειά ἐστιν ὁ κύριος. καὶ οὐκ ἔστιν ἄλλης σοφίας δεύτερος. ἀλλὰ μόνος οὗτός ἐστι, δι' οὗ τὰ πάντα πεποίηκεν ὁ πατὴρ, καὶ ἐν αὐτῷ συνεστήσατο τῶν γενητῶν τὰς ποικίλας οὐσίας. δι' αὐτοῦ τε γνωρίζεται οἷς ἂν ἐθέλοι. καὶ ἐν αὐτῷ τὴν τῶν πάντων πρόνοιαν ποιεῖται καὶ ἐργάζεται. μόνον γὰρ τοῦτον οἶδε τοῦ θεοῦ λόγον καὶ διονύσιος. αὕτη τοῦ διονυσίου ἡ πίστις. ὀλίγα γὰρ ἐκ τῶν ἐπιστολῶν αὐτοῦ συναγαγὼν ἔγραψα. δυνάμενα παρέχειν, σοὶ μὲν ἀφορμὴν, εἰς τὸ πλείονα προστιθέναι. τοῖς δὲ ἀρειανοῖς, μεγίστην αἰσχύνην, διὰ τὴν κατὰ τοῦ ἐπισκόπου συκοφαντίαν. ἐν πᾶσι γὰρ καὶ καθ' ἕκαστον δι' ὧν ἔγραψεν, ἤλεγξεν αὐτῶν τὴν κακοφροσύνην, καὶ τὴν αἵρεσιν αὐτῶν ἐστηλίτευσεν. ἐκ τούτων δείκνυται, καὶ ἡ πρὸς εὐφράνορα καὶ ἀμμώνιον ἐπιστολὴ, μὴ φαύλῃ διανοίᾳ, ἀλλὰ κατ' οἰκονομίαν γραφεῖσα παρ' αὐτοῦ. τοῦτο γὰρ καὶ ἡ ἀπολογία αὐτοῦ δείκνυσι. καὶ ἔστιν ἀληθῶς, τύπος οὗτος πιθανὸς πρὸς ἀνατροπὴν τῆς σαβελλίου μανίας. ὥστε τὸν βουλόμενον ταχέως διελέγξαι τοὺς τοιούτους μὴ ἀπὸ τῶν σημαινόντων τὴν θεότητα τοῦ λόγου ποιεῖσθαι τὴν ἀρχήν. ὅτι λόγος. καὶ σοφία. καὶ δύναμίς ἐστιν ὁ υἱός. καὶ ὅτι ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. ἵνα μὴ τὰ καλῶς εἰρημένα παρεξηγούμενοι ἐκεῖνοι, πρόφασιν τῆς ἀναισχυντίας

φιλονεικίας, ἑαυτῶν τὰ τοιαῦτα ποιοῦνται.
ἀκούοντες, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμέν. καὶ ὁ ἐμὲ ἑωρα
κώς, ἑώρακε τὸν πατέρα. ἀλλὰ τὰ ἀνθρωπίνως εἰ
ρημένα περὶ τοῦ σωτῆρος, προβάλλειν ὥσπερ αὐτοὶ
πεποιήκασιν. οἷά ἐστι, τὸ, πεινῶν, τὸ, κοπιᾶν. καὶ ὅτι ἄμ
πελος. καὶ ὅτι ηὔχετο. καὶ πέπονθεν. ὅσῳ γὰρ ταῦτα
ταπεινὰ λέγεται, τοσούτῳ δείκνυται μὴ ὁ πατὴρ γενόμε
νος ἄνθρωπος. ἀνάγκη γὰρ ἀμπέλου λεγομένου τοῦ υἱοῦ,
εἶναι καὶ γεωργόν. καὶ εὐχομένου αὐτοῦ, εἶναι τὸν
ἐπακούοντα. καὶ αἰτοῦντος αὐτοῦ, εἶναι τὸν ἐπακού
οντα. καὶ αἰτοῦντος αὐτοῦ, εἶναι τὸν διδόντα. τὰ δὲ
τοιαῦτα, μᾶλλον εὐκολώτερον τὴν τῶν σαβελλια
νῶν μανίαν δείκνυσιν. ὅτι ἕτερος ὁ εὐχόμενος, ἕτ
ερος ὁ ἐπακούων. καὶ ἄλλος ἡ ἄμπελος, καὶ ἕτερος
ὁ γεωργός. ὅσα γὰρ ἀποξενοῦντα τὸν υἱὸν ἀπὸ τοῦ
πατρὸς, λέγεται ῥήματα, ταῦτα διὰ τὴν σάρκα ἣν
δι᾽ ἡμᾶς ἐφόρεσε, λέγεται περὶ αὐτοῦ. ξένα γὰρ
τὰ γεννητὰ κατὰ φύσιν ἐστὶ τοῦ θεοῦ. διὰ τοῦτο
γοῦν ἐπειδὴ τῆς σαρκὸς γεννητῆς οὔσης γέγονεν,
ὡς ὁ ἰωάννης φησί. ὁ λόγος σάρξ. καὶ τοι κατὰ φύσιν
ἴδιος, καὶ ἀδιαίρετος ὢν τοῦ πατρὸς, ὅμως δι᾽ αὐτὴν λέ
γεται καὶ ὁ πατὴρ μακρὰν ἀπ᾽ αὐτοῦ. τὰ γὰρ τῆς
σαρκὸς ἴδια, αὐτὸς ἀναδέχεται περὶ αὐτοῦ λέ
γεσθαι ἵνα δειχθῇ, ὅτι οὐκ ἄλλου, ἀλλ᾽ αὐτοῦ ἦν ἴδι
ον τὸ σῶμα. τοιαύτης δὲ τῆς διανοίας οὔσης, ταχύ
τερον ἐλεγχθήσεται σαβέλλιος. ὅτι μὴ ἔστιν ὁ πατὴρ
ὁ γενόμενος σάρξ, ἀλλ᾽ ὁ τούτου τοῦ λόγου, ὁ καὶ ταύ
την λυτρούμενος, καὶ προσάγων τῷ πατρί. οὕτω δὲ
διελέγξας, καὶ πείσας, λοιπὸν καὶ περὶ τῆς τοῦ λόγου
θεότητος ἑτοιμότερον διδάξει, ὅτι λόγος καὶ σοφία.
υἱὸς καὶ δύναμις. ἀπαύγασμα. χαρακτήρ. ἀνάγκη
γὰρ καὶ ἐνταῦθα πάλιν νοεῖν, ὅτι τοῦ λόγου
ὄντος, εἶναι δεῖ καὶ τὸν πατέρα τοῦ λόγου. καὶ σοφίας
οὔσης, εἶναι καὶ τὸν ταύτης γονέα. καὶ ἀπαυγά
σματος ὄντος, εἶναι καὶ τὸ φῶς. καὶ οὕτως εἶναι
τὸν υἱὸν καὶ τὸν πατέρα ἕν. ταῦτα διονύσιος εἰδώς,
ἔγραψε. καὶ ἐν ἐκείνοις μὲν σαβέλλιον ἐφίμω
σεν. ἐν τούτοις δὲ, τὴν ἀρειανικὴν αἵρεσιν κα
τέτρεψε. καὶ γὰρ ὥσπερ ἀνατρέπει σαβέλλιον

τὰ ἀνθρω.

τὰ ἀνθρώπινα τοῦ σωτῆρος, οὕτω καὶ πρὸς τοὺς ἀρειο
μανίτας, οὐκ ἀπὸ τῶν ἀνθρωπίνων, ἀλλ' ἀπὸ τῶν ση
μαινόντων τὴν θεότητα τοῦ λόγου ποιεῖσθαι χρή, τοὺς
κατ' αὐτῶν ἐλέγχους· ἵνα μὴ καὶ οὗτοι τὰ διὰ τὸ
σῶμα λεχθέντα περὶ τοῦ κυρίου παρεξηγησάμενοι, νο
μίσωσι τοιοῦτον εἶναι τὸν λόγον, οἷοι ἐσμὲν ἡμεῖς οἱ
ἄνθρωποι· καὶ λοιπὸν ἐπιμείνωσι τῇ ἑαυτῶν μανίᾳ· ἂν
δὲ διδαχθῶσι καὶ οὕτοι περὶ τῆς θεότητος, καταγνώ
σονται μὲν τῆς ἑαυτῶν κακονοίας· εὐκολώτερον
δὲ μαθόντες ὅτι ὁ λόγος σὰρξ ἐγένετο, διακρινοῦσι
λοιπὸν καὶ αὐτοὶ τὰ ἀνθρώπινα, καὶ τὰ τῇ θεότη
τι ἁρμόζοντα· τούτων δὲ οὕτως ὄντων, καὶ Διονυσίου
τοῦ ἐπισκόπου δειχθέντος ἐξ ὧν ἔγραψεν εὐσεβοῦς,
τί ποιήσουσι λοιπὸν οἱ ἀρειομανῖται· τίνος ἄρα πάλιν
ἐλεγχθέντες, ἀπὸ τοῦ καταψεύσονται· ἀνάγκη
γὰρ αὐτοὺς ἐκπεσόντας ἀπὸ τοῦ θεμελίου τῶν ἀπο
στόλων, καὶ ἐν σάλευτον ἔχοντας τὴν διάνοιαν, ζητεῖν
ἔρεισμα· καὶ μὴ εὑρίσκοντας, καταψεύδεσθαι λοιπὸν
τῶν πατέρων· ἀλλ' οὐδεὶς αὐτοῖς ἔτι πιστεύσει, κἂν βιά
σωνται συκοφαντεῖν· κατεγνώσθη γὰρ ἡ αἵρεσις παρὰ
πάντων. εἰ μὴ ἄρα περὶ τοῦ διαβόλου λοιπὸν φθέγ
ξονται· αὐτὸς γὰρ μόνος ἐστὶν αὐτοῖς σύμφωνος·
μᾶλλον δὲ αὐτός ἐστιν αὐτοῖς, ὁ καὶ τὴν αἵρεσιν
ὑποβάλλων· τίς οὖν ἔτι τούτους, ὧν ὁ διάβολός ἐστι
καθηγεμών, χριστιανοὺς ὀνομάσειε· καὶ μὴ μᾶλλον
διαβολικούς· ἵνα μὴ μόνον χριστομάχοι, ἀλλὰ καὶ
διαβολικοὶ καλῶνται. εἰ μὴ ἄρα μεταβάλλωνται.
καὶ ἣν μὲν ἐπενόησαν ἀσέβειαν ἀρνήσωνται,
τὴν δὲ ἀλήθειαν ἐπιγνῶσι· τοῦτο γὰρ αὐτοὺς
μὲν ὠφελήσει· ἡμᾶς δὲ πρέπει περὶ πάντων
τῶν πλανωμένων, οὕτως εὔχεσθαι.

Τοῦ αὐτοῦ λόγος τρίτος.
Περὶ τῆς πανουργίας, καὶ ὑποκρίσεως τῶν
ἀρειομανιτῶν· καὶ *πὲρ μετασχηματιζόμενοι,
πλανᾶν ἐπιχειροῦσι τοὺς ἀγνοοῦντας αὐτούς:· — *πῶς μετασχ.

Πάντα μὲν ὅσα ὁ κύριος καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστός, ὡς ἔγρα
ψεν ὁ Λουκᾶς, πεποίηκέ τε καὶ ἐδίδαξεν, εἰς τὴν
ἡμετέραν φθάνει σωτηρίαν. ἦλθε γὰρ ὡς ὁ Ἰωάννης
φησίν, οὐχ ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ

ὁ κόσμος δι' αὐτοῦ. καὶ τοῦτο θαυμάσαι τῆς ἀγαθό-
τητος· ὅτι καὶ περὶ τῶν πρὸς ἡμᾶς μαχομένων, οὐ παρε-
σιώπησεν, ἀλλὰ καὶ μᾶλλον προείρηκεν. ἵν' ἐπειδὰν ἐσόμε-
να παραγένηται. εὑρεθῶμεν ἠσφαλισμένην ἔχοντες
τὴν διάνοιαν, ἐκ τῆς ἐκείνου διδασκαλίας. λέγον-
τος, ἐγερθήσονται ψευδόχριστοι, καὶ ψευδοπροφῆται.
καὶ δώσουσι σημεῖα μεγάλα, καὶ τέρατα, ὥστε πλανᾶσθαι
εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς. ἰδοὺ προείρηκα ὑμῖν.
τὰ μὲν γὰρ ἡμῖν ὑποτεθέντα μαθήματα, ἴσα καὶ χα-
ρίσματα παρ' αὐτοῦ, πολλά τε καὶ ὑπὲρ ἄνθρωπον ἐστιν.
οἷον γὰρ πολιτείας τύπος, καὶ δύναμις κατὰ δαι-
μόνων. υἱοποίησίς τε καὶ τὸ ὑπὲρ πᾶν χάρισμα καὶ ἐξ-
αίρετον, ἡ περὶ τοῦ πατρὸς γνῶσις, καὶ αὐτοῦ τοῦ λόγου.
καὶ δωρεὰ τοῦ πνεύματος ἁγίου. ἡ δὲ τῶν ἀνθρώπων διάνοια, ἐπι-
μελῶς ἐπὶ τὸ κακὸν ἔρχεται. καὶ μὴν καὶ ὁ ἀντί-
δικος ἡμῶν διάβολος, φθονῶν ἐπὶ τοῖς τοσούτοις
ἡμῖν ἀγαθοῖς γενομένοις, περιέρχεται ζητῶν ἁρπά-
σαι, τὰ εἰς ἡμᾶς τοῦ λόγου σπέρματα. διὰ τοῦτο
γοῦν ὥσπερ ἴδια κειμήλια τὰ μαθήματα σφρα-
γίζων ἐν ἡμῖν διὰ τῆς προρρήσεως ἔλεγεν ὁ κύριος.
βλέπετε μή τις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται
ἐπὶ τῷ ὀνόματί μου. λέγοντες ἐγώ εἰμι, καὶ ὁ και-
ρὸς ἤγγικε, καὶ πολλοὺς πλανήσουσι. μὴ πορευθῆτε
ὀπίσω αὐτῶν. μέγα τι χάρισμα δέδωκεν ἡμῖν
ὁ λόγος. ὥστε μὴ ἐκ τῶν φαινομένων ἀπατᾶσθαι,
ἀλλὰ μᾶλλον κἂν ταῦτα κεκαλυμμένα τυγχάνῃ
διακρίνειν, τῇ τοῦ πνεύματος χάριτι. ἐπειδὴ γὰρ ὅλως
ἐστὶ ποικίλος ὁ τῆς κακίας εὑρετὴς καὶ μέγας δαί-
μων ὁ διάβολος, μόνον τε φαινόμενος, βάλλεται παρὰ
πάντων ὡς ὄφις· ὡς δράκων· ὡς λέων ζητῶν τινας
ἁρπάσαι καὶ καταπιεῖν. διὰ τοῦτο ὃ μὲν ἐστὶν αὐτὸς
ὑποκρύπτει καὶ σκέπει. τὸ δὲ παρὰ πάντων ὄνομα πο-
θούμενον ὑποκρίνεται πανοῦργος. ἵν' ἀπατήσας τῇ φα-
ντασίᾳ λοιπὸν τοὺς πλανηθέντας, τοῖς ἰδίοις περιπλέξῃ
δεσμοῖς. καὶ ὥσπερ ἂν εἴ τις ἀνδραποδίσασθαι θέλων
ἀλλοτρίους παῖδας ἀποδημούντων τῶν γονέων, ὑποκρίνη-
ται τὰς ἐκείνων ὄψεις, καὶ ποθοῦντας τοὺς γονεῖς ἀπα-
τήσῃ, τὸν αὐτὸν τρόπον ὁ κακοδαίμων, καὶ σκολιὸς
διάβολος, οὐκ ἔχων μὲν αὐτὸς παρρησίαν, εἰδὼς δὲ

τὸν εἰς

τὸν εἰς τὴν ἀλήθειαν ἔρωτα τῶν ἀνθρώπων, ὑποκρίνεται μὲν ταύτῃ τῇ φαντασίᾳ. τὸν δὲ ἴδιον ὑποβάλλει τοῖς ἐπακολουθήσασιν αὐτῷ. οὕτω καὶ τὴν Εὔαν ἠπάτησεν, οὐ τὰ ἴδια λαλῶν, ἀλλὰ ὑποκρινόμενος μέν, τὰ τοῦ θεοῦ ῥήματα. τὴν δὲ διάνοιαν αὐτῶν παραποιῶν. οὕτω καὶ τὴν γυναῖκα τοῦ Ἰὼβ ὑπέβαλε πείσας αὐτὴν ὑποκρίνασθαι μὲν φιλανδρίαν. διδάξας δὲ βλασφημεῖν εἰς θεόν. οὕτω τοὺς ἀνθρώπους ὁ δόλιος παίζει ταῖς φαντασίαις, ὑποβλέπων καὶ σύρων ἕκαστον, εἰς τὸν ἴδιον τῆς κακίας βόθρον. πάλαι μὲν οὖν ἀπατήσας τὸν πρῶτον ἄνθρωπον Ἀδάμ, καὶ νομίσας δι' ἐκεῖνον ὑποχειρίους ἐσχηκέναι πάντας, ἐνήλλετο θρασυνόμενος καὶ λέγων, τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρί μου ὡς νοσσιάν, καὶ ὡς καταλελειμμένα ᾠά, ἀρῶ. καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι. ὅτε δὲ ὁ κύριος ἐπεδήμησε, καὶ πεῖραν ἔσχεν ὁ ἐχθρὸς τῆς ἀνθρωπίνης οἰκονομίας αὐτοῦ. μὴ δυνηθεὶς ἀπατῆσαι τὴν ὑπ' αὐτοῦ φρουρουμένην ἐπαγγελλόμενος καταλαμβάνειν λοιπὸν ἐξ ἐκείνου, καὶ δι' ἐκείνου παίζεται. καὶ ὑπὸ παιδίων ὡς στρουθίον ὁ ὑπερήφανος. παιδίον γὰρ νῦν νήπιον εἰς τρώγλην ἀσπίδων βάλλον τὴν χεῖρα, γελᾷ τὸν ἀπατήσαντα τὴν Εὔαν, καὶ πάντες γε οἱ πιστεύοντες ὀρθῶς πρὸς τὸν κύριον, πατοῦσι τὸν εἰπόντα, θήσω τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν, ἀναβήσομαι. ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. οὕτω μὲν οὖν πάσχει μετ' αἰσχύνης ἐκεῖνος. ὅμως δὲ εἰ καὶ τολμᾷ πάλιν ὁ ἀναίσχυντος σχηματίζεσθαι, ἀλλὰ γινώσκεται καὶ νῦν μᾶλλον ὁ τάλας, ὑπὸ τῶν τὸ σημεῖον ἐν τῷ μετώπῳ φορούντων. καὶ δεινότερον ἀποστρέφεται τε ταπεινούμενος, καὶ καταισχυνόμενος. κἂν γε γὰρ ὡς ὄφις νῦν ἕρπων μετασχηματίζηται εἰς ἄγγελον φωτός, ἀλλ' οὐκ εἰς ὄνησιν ἔχει τὴν ὑπόκρισιν. πεπαιδεύμεθα γὰρ ὅτι κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ἡμᾶς παρ' ὃ παρελάβομεν, ἀνάθεμα τοῦτον εἶναι. ἐὰν δὲ καὶ πάλιν τὸ ἴδιον κρύψῃ ψεῦδος, καὶ λαλεῖν ὑποκρίνεται διὰ χειλέων τὴν ἀλήθειαν, ἀλλ' οὐκ ἀγνοοῦντες αὐτοῦ τὰ νοήματα, δυνάμεθα λέγειν τὰ ὑπὸ τοῦ πνεύματος εἰς αὐτὸν εἰρημένα. τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός. ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ οὐκ

ὡραῖος ὁ αἶνος ἐν στόματι ἁμαρτωλοῦ. οὐδὲ γὰρ οὐδὲ
τὴν ἀλήθειαν λέγων ἀξιόπιστός ἐστιν ὁ πανοῦργος. καὶ
τοῦτο ἔδειξε μὲν ἡ γραφὴ διηγουμένη τὴν ἐν τῷ
παραδείσῳ, περὶ τὴν Εὔαν αὐτοῦ κακοτεχνίαν.
ἤλεγξε δὲ αὐτὸν ὁ κύριος. πρῶτον μὲν ἐν τῷ ὄρει,
διαρρῶν τὴν πλοκὴν τοῦ θώρακος. καὶ δεικνὺς αὐτὸν
ὅστις ἐστὶν ὁ δόλιος. καὶ ἐλέγχων ὅτι μὴ τῶν ἁγίων τίς
ἐστιν, ἀλλὰ σατανᾶς ἐστιν ὁ πειράζων. ἐν τῷ λέγειν,
ὕπαγε ὀπίσω μου σατανᾶ. γέγραπται γάρ, κύριον τὸν
θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. καὶ ὅτε
δὲ κράζοντας ἀπὸ τῶν μνημείων, ἐφίμωσε τοὺς δαίμονας.
ἦν μὲν γὰρ ἀληθὲς τὸ παρ' αὐτῶν λεγόμενον. καὶ οὐκ
ἐψεύδοντο τότε λέγοντες, ὅτι σὺ εἶ ὁ ἅγιος τοῦ θεοῦ.
καὶ ὁ υἱὸς τοῦ θεοῦ. ἀλλ' οὐκ ἤθελε δι' ἀκαθάρτου στόματος
προφέρεσθαι. καὶ μάλιστα δι' ἐκείνων. ἵνα μὴ προφάσει
ταύτης ἐπιμίξαντες τὸ ἴδιον θέλημα τῆς κακίας,
ἐπισπείρωσι τοῦτο καθεύδουσι τοῖς ἀνθρώποις. διὰ τοῦτο
οὔτε αὐτὸς ἠνείχετο τοιαῦτα λαλούντων αὐτῶν, οὔτε
ἡμᾶς ἀνέχεσθαι τῶν τοιούτων βουλόμενος. παρήγγειλε
δι' ἑαυτοῦ μέν, προσέχετε λέγων ἀπὸ τῶν ψευδο-
προφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς, ἐν ἐνδύμασι
προβάτων. ἔσωθεν δὲ εἰσὶ λύκοι, ἅρπαγες. διὰ δὲ τῶν
ἁγίων ἀποστόλων, μὴ παντὶ πνεύματι πιστεύετε. τοιοῦτος
γὰρ ὁ τρόπος τῆς ἀντικειμένης ἐνεργείας ἐστί. τοι-
αῦτα δὲ καὶ τὰ τῶν αἱρέσεων συγκροτήματα τυγ-
χάνει. πατέρα γὰρ ἑκάστη τῆς ἰδίας ἐπινοίας ἔχουσα
τὸν ἐξ ἀρχῆς τραπέντα, καὶ γενόμενον ἀνθρωποκτόνον.
καὶ ψεύστην τὸν διάβολον. καὶ αἰσχυνομένη τὸ τούτου
μισητὸν ὄνομα προφέρειν ὑποκρίνεται τὸ καλὸν
καὶ ὑπὲρ πᾶν ὄνομα τοῦ σωτῆρος. ταῖς τε τῶν γραφῶν
λέξεσι περιβάλλεται. καὶ λέγει μὲν τὰ ῥήματα,
κλέπτει δὲ τὴν ἀληθῆ διάνοιαν. καὶ λοιπὸν ἣν ἔπλα-
σεν, ἰδίαν ἐπίνοιαν, ὡς ἐν δόλῳ τινὶ σκεπάσασα, ἀνθρωπο-
κτόνος, καὶ αὐτὴ γίνεται τῶν πλανωμένων. ἐπεὶ πόθεν
μαρκίωνι, καὶ μανιχαίῳ, τὸ εὐαγγέλιον ἀρνουμένοις,
τὸν νόμον. ἐκ γὰρ τῶν παλαιῶν, τὰ νέα. καὶ τὰ
νέα τοῖς παλαιοῖς μαρτυρεῖ. οἱ τοίνυν ἀρνούμενοι
ταῦτα, πῶς ὁμολογήσουσι τὰ ἐξ ἐκείνων. παῦλος

γὰρ

γὰρ ἀπόστολος τοῦ εὐαγγελίου γέγονεν. ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις. ὁ δὲ Χριστὸς αὐτοῖς ἔλεγεν. ἐρευνᾶτε τὰς γραφάς, ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. πῶς οὖν ὁμολογήσωσι τὸν κύριον, μὴ ἐρευνῶντες τὰς περὶ αὐτοῦ γραφάς. ὃν γὰρ ἔγραψε μωϋσῆς καὶ οἱ προφῆται, τοῦτον εὑρηκέναι λέγουσιν οἱ μαθηταί. τί δὲ καὶ σαδδουκαίοις ὁ νόμος, μὴ δεχομένοις τοὺς προφήτας. ὁ γὰρ τὸν νόμον δεδωκὼς θεός, αὐτὸς ἔγραψεν ἐν τῷ νόμῳ, καὶ προφήτας ἐπηγγείλατο. ὥστε τὸν αὐτὸν εἶναι κύριον, τοῦ τε νόμου, καὶ τῶν προφητῶν· καὶ τὸν ἀρνούμενον θάτερον αὐτῶν, ἀρνεῖσθαι πάντως καὶ τὸ ἕτερον. τί δὲ καὶ ἰουδαίοις λοιπὸν ἡ παλαιά, μὴ ἐπιγινώσκουσι τὸν ἐξ αὐτῆς προσδοκώμενον κύριον. εἰ γὰρ ἐπίστευον τοῖς μωσέως γράμμασιν, ἐπίστευσαν ἂν τοῖς τοῦ κυρίου ῥήμασι. περὶ γὰρ ἐμοῦ φησὶν ἐκεῖνος ἔγραψεν. τί δὲ καὶ τῷ σαμοσατεῖ τὰ τῶν γραφῶν ἀρνουμένῳ τὸν τοῦ θεοῦ λόγον, καὶ τὴν ἐξ ἀμφοτέρων, τῆς παλαιᾶς καὶ καινῆς θείας γραφῆς σημαινομένην, καὶ δεικνυμένην ἔνσαρκον τοῦ λόγου παρουσίαν. τί δὲ τοῖς ἀρειανοῖς αἱ γραφαί. καὶ τί ταύτας οὗτοι προφέρουσιν ἄνοι, κτίσμα λέγοντες εἶναι τὸν θεοῦ λόγον. καὶ ὡς ἂν ἕλληνες λατρεύοντες τῇ κτίσει, παρὰ τὸν κτίσαντα θεόν. πρὸς μὲν γὰρ ἰδίαν τῆς ἀσεβείας ἐπίνοιαν, ἑκάστη τούτων τῶν αἱρέσεων, οὐδὲν κοινὸν ἔχει πρὸς τὰς γραφάς, καὶ τοῦτο ἴσασι, καὶ οἱ τὰ τούτων πρεσβεύοντες, ὅτι πολὺ μᾶλλον δὲ τὸ ὅλον εἰσὶν ἐναντίαι, πρὸς τὸ ἑκάστης ἐκείνων φρόνημα. ἀπάτης δὲ χάριν, τῶν ἀπλουστέρων οἷοί εἰσι· περὶ ὧν ἐν παροιμίαις γέγραπται· ἄκακος πιστεύει παντὶ λόγῳ. χρηματίζονται μελετᾶν καὶ λέγειν τὰς λέξεις, ὡς ὁ τῆς αὐτῶν ὁ διάβολος, ἵν᾽ ἐκ τῶν λέξεων δόξωσιν ὀρθὸν ~~[illegible]~~ ἔχειν καὶ τὸ φρόνημα, καὶ λοιπὸν πείσωσι παρὰ τὰς γραφὰς φρονεῖν τοὺς ταλαιπώρους. ἀμέλει οὕτως ἐν ἑκάστῃ τῶν αἱρέσεων σχῆμα ποιούμενος ὁ διάβολος λέξεις ὑπέβαλε μεστὰς δολιότητος. περὶ γὰρ τούτων ὁ κύριος εἰρήκει. ἦλθε λέγων δι᾽ ἑκάστης, ἐγώ εἰμι ὁ Χριστός· καὶ παρ᾽ ἐμοὶ τἀληθές ἐστι καὶ πάσας ἰδίᾳ καὶ κοινῇ, ψευδεῖς πεποίηκεν ὁ συκοφάντης. καὶ τό γε παράδοξον, πᾶσαι πρὸς ἑαυτὰς αἱ αἱρέσεις

μαχόμεναι, περὶ ὧν ἔπλασεν ἑκάστη κακῶν, ἐν μόνῳ
τῷ ψεύδεσθαι συνεληλύθασιν ἀλλήλαις. ἕνα γὰρ ἔχουσι πα-
τέρα, τὸν πάσαις ἐπισπείραντα τὸ ψεῦδος. ὁ μὲν οὖν πιστὸς καὶ
τοῦ εὐαγγελίου μαθητὴς, ἔχων χαρίσματα τοῦ διακρί-
νειν τὰ πνευματικά, καὶ ἐπὶ τὴν πέτραν οἰκοδομήσας ἑαυ-
τοῦ τὴν τῆς πίστεως οἰκίαν, ἕστηκεν ἑδραῖος καὶ ἀσφαλὴς
ἀπὸ τῆς τούτων ἀπάτης διαμένων. ὁ δὲ ἁπλοῦς ὡς προεῖ-
πον καὶ μὴ κατηχηθεὶς ἀσφαλῶς, ὁ τοιοῦτος τὰ λεγό-
μενα μόνον σκοπῶν, καὶ μὴ τὴν διάνοιαν θεωρῶν εὐθὺς
ὑποσύρεται ταῖς ἐκείνων μεθοδείαις. διὰ τοῦτο καλὸν
ἐστὶ καὶ ἀναγκαῖον, εὔχεσθαι λαμβάνειν χαρίσματα δια-
κρίσεως πνευμάτων. ἵν' ἕκαστος γινώσκῃ κατὰ τὴν Ἰωάν-
νου παραγγελίαν, τίνας μὲν ὑποβάλλειν, τίνας δὲ
προσλαμβάνεσθαι ὡς φίλους. καὶ τῆς αὐτῆς ὄντας πίστε-
ως δεῖ. πολλὰ μὲν οὖν ἄν τις γράφειν εἰ βούλοιτο
περὶ τούτων ἐπεξεργάσασθαι. πολλὴ γὰρ καὶ ποικίλη τῶν
αἱρέσεων ἡ ἀσέβεια, καὶ ἡ κακοφροσύνη φαίνεται, καὶ δει-
νὴ λίαν, ἡ τῶν ἀπατώντων πανουργία. ἐπειδὴ δὲ ἡ θεία
γραφὴ πάντων ἐστὶν ἱκανωτέρα, τούτου χάριν τοῖς βου-
λομένοις τὰ πολλὰ περὶ τούτων γινώσκειν συμβουλεύ-
σας, ἐντυγχάνειν τοῖς θείοις λογίοις. αὐτὸς τοίνυν τὸ κα-
τεπεῖγον ἐσπούδασα δηλῶσαι. διὸ μάλιστα καὶ οὕτως
ἀπρ ἔγραψα.* ἤκουσα διατρίβων ἐν τοῖς μέρεσι τούτοις ἀδελ-
φοὶ γνήσιοι καὶ τοῦ ὀρθοῦ ὄντες λόγου, ἀπήγγειλαν
ὡς ἄρα τινὲς συνελθόντες, τῶν τὰ Ἀρείου φρονούντων γέ-
γραφαν δῆθεν περὶ πίστεως, ὡς ἠθέλησαν. καὶ θέλουσιν
ἀποστεῖλαι καὶ πρὸς ὑμᾶς ἵνα ἢ ὑπογράψητε, ἢ ὁ ἀντι-
λέγων ὑπερόριος γίνηται. καὶ γὰρ καὶ τοῖς ἐπισκόποις
τῶν μερῶν τούτων, ἤδη διοχλεῖν ἄρχονται. ἐντεῦθεν οὖν
ὁ τρόπος τῶν γραφόντων δῆλος γίνεται. οἱ γὰρ οὕτω
γράφοντες, ὥστε τὸ τέλος τῶν γραμμάτων αὐτῶν, ἐξο-
ρισμὸν καὶ ἄλλας τιμωρίας ἔχειν, τί ἂν εἶεν οἱ τοιοῦ-
τοι, ἢ χριστιανῶν μὲν ἀλλότριοι. διαβόλου δὲ καὶ
τῶν ἐκείνου δαιμόνων φίλοι μάλιστα. ὅτι τοῦ θεοσε-
βεστάτου βασιλέως κωνσταντίνου φιλανοῦ ὄντος
παρὰ γνώμην αὐτοῦ θρυλλοῦσιν ἃ θέλουσιν αὐτοί.
καὶ γὰρ τοῦτο ποιοῦσι, μετὰ πολλῆς μὲν πανουργίας.
διὰ δὲ τοῦτον μάλιστα χάριν, ὥς γε μοι φαίνεται.
ἑνὸς μὲν, ἵνα καὶ ὑμῶν ὑπογραψάντων, δόξωσι
παύειν μὲν τὴν χείρου κακωνυμίαν, λανθάνειν

δὲ αὐτοὶ

δὲ αὐτοί, ὡς μὴ τὰ Ἀρείου φρονοῦντες. ἐπεὶ δ' ἵνα ταῦτα γράφοντες, δόξωσι πάλιν ἐπικρύπτειν, τὴν ἐν Νικαίᾳ γενομένην σύνοδον. καὶ τὴν ἐκτεθεῖσαν ἐν αὐτῇ κατὰ τῆς ἀρειανικῆς αἱρέσεως πίστιν. ἀλλὰ τοῦτο καὶ μᾶλλον αὐτῶν ἐλέγχει τὴν κακοήθειαν, καὶ τὴν ἑτεροδοξίαν. εἰ γὰρ ἐπίστευον ὀρθῶς, ἠρκοῦντο τῇ ἐν Νικαίᾳ ἐκτεθείσῃ πίστει, παρὰ πάσης τῆς οἰκουμενικῆς συνόδου. καὶ εἰ ἐνόμιζον ἑαυτοὺς συκοφαντεῖσθαι, καὶ μάτην λέγεσθαι ἀρειανούς, ἐχρῆν αὐτοὺς μὴ σπουδάζειν ἐναλλάττειν τὰ κατὰ Ἀρείου γραφέντα, ἵνα μὴ ὡς κατ' αὐτῶν ᾖ ὁρισθέντα τὰ κατ' ἐκείνου γραφέντα. νῦν δέ, τοῦτο μὲν οὐ ποιοῦσιν. ὡς δὲ αὐτοὶ ὄντες Ἄρειοι ὑπὲρ αὐτοῦ ἀγωνίζονται. σκοπεῖτε γὰρ ὡς οὐκ ἀληθείας μέλει τούτοις, ἀλλὰ πάντα διὰ τὴν ἀρειανικὴν αἵρεσιν, καὶ λέγουσι, καὶ πράττουσιν. οἱ γὰρ τολμῶντες διαβάλλειν τὰ καλῶς ὁρισθέντα, καὶ γράφειν ἐπιχειροῦντες ἄλλα παρ' ἐκεῖνα, τί ἕτερον ποιοῦσιν, ἢ κατηγοροῦσι μὲν τῶν πρώτων, περιΐστανται δὲ τῆς αἱρέσεως, καθ' ἧς ἐκεῖνοι γεγόνασι, καὶ ἀπεφήναντο. καὶ γὰρ καὶ ἃ νῦν γράφουσιν οὐκ ἀληθείας φροντίζοντες γράφουσι καθάπερ εἶπον, ἀλλὰ μᾶλλον παίζοντες, καὶ τέχνην τοῦτο ποιοῦντες, πρὸς ἀπάτην τῶν ἀνθρώπων. ἵν' ἐν τῷ διαπέμπειν πρὸς τὰς ἐπιστολάς, τὰς μὲν ἀκοὰς τῶν λαῶν ἀπασχολεῖσθαι περὶ ταῦτα ποιῶσι. κερδαίνωσι δὲ τοῦ κατηγορεῖσθαι τὸν χρόνον αὐτοί. καὶ λανθάνοντες ὡς ἀσεβοῦντες, ἔλθωσι λοιπὸν ἐπεκτεῖναι τὴν αἵρεσιν, ὡς γάγγραιναν ἔχουσαν νομὴν πανταχοῦ. πάντα γοῦν κινοῦσι καὶ ταράττουσι. καὶ οὐδ' οὕτω τοῖς ἑαυτῶν ἀρκοῦνται. κατ' ἐνιαυτὸν γὰρ ὡς οἱ τὰς διαθήκας γράφοντες, συνερχόμενοι καὶ αὐτοὶ προσποιοῦνται περὶ πίστεως γράφειν. ἵνα καὶ ἐν τούτῳ γέλωτα μᾶλλον καὶ αἰσχύνην ὀφλήσωσιν, ὅτι μὴ παρ' ἑτέρων, ἀλλὰ παρ' αὐτῶν, τὰ αὐτῶν ἐκβάλλεται. εἰ γὰρ ἐθάρρουν οἷς ἔγραφον πρότερον, οὐκ ἂν δεύτερα γράφειν ἐζήτουν. οὐδὲ πάλιν ἀφέντες ἐκεῖνα, ταῦτα νῦν ἔγραφον. ἅπερ πάντως τοῦτο μελετήσαντες, πάλιν ἀλλάξουσιν, ἐὰν ὀλίγος πάνυ παρέλθῃ χρόνος. καὶ πρόφασιν λάβωσι, τοῦ συνήθως τισὶν ἐπιβουλεύειν. τότε γὰρ ὅταν ἐπιβουλεύωσι, μάλιστα προσποιοῦνται περὶ πίστεως γράφειν. ἵν' ὡς ὁ Πιλᾶτος ἐνίψατο τὰς χεῖρας, οὕτω

καὶ οὗτοι γράφοντες, ἀποκτείνουσι τοὺς εἰς τὸν Χριστὸν εὐσεβοῦντας· καὶ ἵνα ὡς περὶ πίστεως ὁρίζοντες, δόξωσιν ὡς πολλάκις εἶπον, φεύγειν τὸ τῆς ἑτεροδοξίας ἔγκλημα· ἀλλ' οὔτε λαθεῖν, οὔτε φυγεῖν δύνανται· ἕως γὰρ ἑαυτοὺς ἀπολογοῦνται, ἑαυτῶν ἀεὶ κατήγοροι γίνονται. καὶ δικαίως γε· οὐ γὰρ τοῖς ἐλέγχουσιν αὐτοὺς ἀποκρίνονται, ἀλλ' ἑαυτοὺς ὡς βούλονται πείθουσι· πότε οὖν τοῦ ὑπευθύνου κρίνοντος ἑαυτὸν, λύσις γίνεται τοῦ ἐγκλήματος· διὰ τοῦτο οὖν ἀεὶ γράφουσι· καὶ ἀεὶ τὰ ἴδια μεταποιοῦντες ἄδηλον ἔχουσι τὴν πίστιν· μᾶλλον δὲ φανερὰν τὴν ἀπιστίαν, καὶ τὴν κακοφροσύνην. πάνυ δέ μοι τοῦτο δοκοῦσιν εἰκότως. ἐπειδὴ γὰρ τῆς ἀληθείας ἀποστάντες, καὶ θέλοντες ἀνατρέψαι τὴν ἐν Νικαίᾳ πίστιν γραφεῖσαν καλῶς, ἠγάπησαν κατὰ τὸ γεγραμμένον, κινεῖν πόδας ἑαυτῶν. διὰ τοῦτο καὶ αὐτοὶ ὡς οἱ ποτὲ Ἰουδαῖοι κεκοπιάκασι, καὶ κάμνουσιν ἐν ταῖς μεταβολαῖς, ἄλλοτε ἄλλα γράφοντες, μόνον ἵνα τοὺς χρόνους κερδάνωσι, καὶ διαμένωσι χριστομάχοι, τοὺς ἀνθρώπους πλανῶντες. τίς οὖν ᾧ μάλιστα μέλει περὶ ἀληθείας, ἔτι τούτων ἀνασχέσθαι θελήσει· τίς γράφοντας αὐτοὺς, οὐκ ἀποστραφήσεται δικαίως· τίς οὐκ ἂν καταγνοίη τῆς τόλμης αὐτῶν· ὀλίγοι γὰρ ὄντες τὸν ἀριθμὸν θέλουσι τὰ ἑαυτῶν ἰσχύειν· τά τε ἑαυτῶν συγκροτήματα ἐν γωνίαις γινόμενα, καὶ ὕποπτα τυγχάνοντα βουλόμενοι κρατεῖν, βιάζονται λύειν καὶ ἀναιρεῖν, τὴν οἰκουμενικὴν γενομένην ἄδολον πίστιν, καὶ καθαρὰν σύνοδον. καὶ αὐτοὶ διὰ τὸ σύνηθες τῇ χριστομάχῳ αἱρέσει προαχθέντες, παρὰ τῶν περὶ Εὐσέβιον τολμῶσιν ὁρίζειν περὶ πίστεως· καὶ ὀφείλοντες ὡς ὑπεύθυνοι κρίνεσθαι, κρίνειν ὡς οἱ περὶ Καϊάφαν ἐπιχειροῦσι καὶ αὐτοί. καὶ βίαν ποιοῦσι λίαν πιστεύεσθαι θέλοντες, οἱ μηδὲ πῶς πιστεύουσι γινώσκοντες. τίς γὰρ οὐκ οἶδεν, ὅτι διὰ τὴν ἀρείου μανίαν, Σεκοῦνδος μὲν ὁ πενταπολίτης, ὁ πάλαι πολλάκις καθαιρεθεὶς, ἐδέχθη παρ' αὐτῶν· προεβλήθησαν δὲ Γεώργιος μὲν ὁ νῦν ἐν Λαοδικείᾳ· καὶ Λεόντιος ὁ ἀπόκοπος· καὶ πρὸ αὐτοῦ, Στέφανος καὶ Θεόδωρος ὁ ἐν Ἡρακλείᾳ. καὶ γὰρ καὶ πρότερον ἀπὸ τοῦ πρεσβυτερίου καθαιρεθέντες,

ὕστερον

ὕστερον διὰ τὴν ἀσέβειαν ἐξεβλήθησαν ἐπίσκοποι.
Οὐρσάκιος δὲ καὶ Οὐάλης, οἵτινες καὶ τὴν ἀρχὴν ὡς νεώ-
τεροι παρὰ Ἀρείου κατηχήθησαν. Ἀκάκιος δὲ καὶ Πα-
τρόφιλος, καὶ Γεώργιος, οἱ πρὸς πᾶσαν ἀσέβειαν τολ-
μηρότατοι. οὗτοι μὲν οὖν καὶ ἐν τῇ κατὰ Σαρδικὴν γενο-
μένῃ μεγάλῃ συνόδῳ καθῃρέθησαν. Εὐστάθιος δὲ ὁ
νῦν ἐν Σεβαστείᾳ. Δημόφιλος δὲ καὶ Γερμίνιος, καὶ
Εὐδόξιος καὶ Βασίλειος συνήγοροι τῆς ἀσεβείας ὄντες,
εἰς τοῦτο προήχθησαν. περὶ γὰρ τῶν νῦν κεκρα-
τηκότος, καὶ τοῦ λεγομένου Αὐξεντίου, καὶ Ἐπικτήτου τοῦ
ὑποκριτοῦ, περιττὸν ἂν εἴη λέγειν, φανεροῦ πᾶσιν
ὄντος. πῶς καὶ διὰ ποίας προφάσεως, καὶ παρὰ τίνων ἐχ-
θρῶν καὶ οὗτοι προεβλήθησαν ὑποκρίνεσθαι, τὰς κατὰ
τῶν ἐπιβουλευθέντων ὀρθοδόξων ἐπισκόπων συκοφαντίας.
ὅτι καὶ οὗτοι, καίτοι ἀπὸ ὀγδοήκοντα μονῶν τυγχά-
νοντες, καὶ μὴ γινωσκόμενοι παρὰ τῶν λαῶν, ὅμως διὰ
τὴν ἀσέβειαν, ἐπραγματεύσαντο ἑαυτοῖς, τὸ ὄνομα
τοῦ ἐπισκόπου. διὰ τοῦτο γοῦν καὶ Γεώργιον ἀπὸ τῆς
Καππαδοκίας τινὰ μισθωσάμενοι, θέλουσι νῦν ἀποστεῖ-
λαι πρὸς ὑμᾶς. ἀλλ' οὐδὲ περὶ τούτου λόγος οὐδείς. φή-
μη γὰρ ἐν τοῖς μέρεσιν ἐστὶ τούτοις, ὅτι μηδ' ὅλως
οὗτος Χριστιανός ἐστιν, ἀλλὰ μᾶλλον τὰ τῶν Ἑλλήνων
ἐζηλωκὼς εἴδωλα, καὶ τὸν τρόπον ἐστὶ δήμιος. διὸ καὶ
τοιοῦτον αὐτὸν ὄντα προσελάβοντο. ὥστε ἀδικεῖν.
ἁρπάζειν. φονεύειν δύνασθαι. ταῦτα γὰρ πλέον
ἤσκησε, καὶ οὐδὲ ὅλως οἶδε τὰ ἴδια τῆς ἐν Χριστῷ
πίστεως. ἐκεῖνοι μὲν οὖν, τοιαῦτα μηχανῶνται κατὰ
τῆς ἀληθείας. ἡ δὲ γνώμη τούτων ἄδηλος ἔσται εὔδηλος
πᾶσι, κἂν μυριάκις ὡς ἔγχελυες, ἐξελεῖν ἐπιχειρῶ-
σι, καὶ λανθάνειν ὡς χερσόμαλοι. διὰ τοῦτο παρακα-
λῶ, μηδεὶς ὑμῶν ἀπατάσθω, μηδεὶς ὑφαρπαζέσθω,
ἀλλὰ μᾶλλον ὡς ἰουδαϊκῆς ἀσεβείας ἐπιβαινούσης
κατὰ τῆς εἰς Χριστὸν πίστεως, πάντες ζηλώσατε τῷ Κυρίῳ.
καὶ κατέχων ἕκαστος τὴν ἐκ πατέρων πίστιν, ἣν καὶ
οἱ ἐν Νικαίᾳ συνελθόντες ὑπεμνήσαν γράψαντες,
μὴ ἀναχέσθω τῶν κατ' αὐτῆς καινοτομεῖν ἐπι-
χειρούντων. κἂν γὰρ τὰς ἀπὸ τῶν γραφῶν λέξεις
γράφωσι, μὴ ἀνάχεσθε τῶν γραφόντων. κἂν τὰ
ῥήματα τῆς ὀρθοδοξίας φθέγγωνται, μὴ δ' οὕτω τοῖς

λαλοῦσι προσέχετε. οὐ γὰρ ὀρθῇ διανοίᾳ λαλοῦσιν,
ἀλλ' ὡς ἔνδυμα προβάτου τὰ ῥήματα περιβαλλόμενοι,
ἔνδοθεν τὰ ἀρείου φρονοῦσιν. ὡς ὁ τῶν αἱρέσεων κα-
θηγεμὼν διάβολος. καὶ γὰρ κἀκεῖνος, ἐλάλει μὲν
τὰ ἐκ τῶν γραφῶν. ἐφιμώθη δὲ παρὰ τοῦ σωτῆρος.
εἰ γὰρ ἃ ἔλεγε, καὶ ἐφρόνει οὐκ ἂν ἐξέπεσεν ἐκ
τῶν οὐρανῶν. νῦν δὲ τῷ φρονήματι πεσών, ὑποκρί-
νεται τοῖς ῥήμασιν ὁ κακοῦργος. πολλάκις δὲ καὶ
ἐξ ἑλληνικῆς κομψολογίας, καὶ τοῖς ταύτης σο-
φίσμασι, πειράζει πλανᾶν ὁ κακοθελής. εἰ μὲν
οὖν παρ' ὀρθοδόξων ἦν τὰ γραφόμενα, οἷά ἐστι τὰ
παρὰ τοῦ μεγάλου καὶ ὁμολογητοῦ ὁσίου. καὶ μαξι-
μίνου, τοῦ τῆς γαλλίας ἢ τοῦ διαδεξαμένου τοῦτον,
ἢ παρὰ φιλογονίου καὶ εὐσταθίου, τῶν τῆς ἀνατολῆς,
ἢ σιλβέστρου καὶ ἰουλίου, καὶ λιβερίου τῶν ἐπισκόπων
ῥώμης, ἢ σιλβέστρου καὶ πρωτογένους τοῦ τῆς δακί-
ας. ἢ κυριακοῦ τοῦ τῆς μυσίας. ἢ πιστοῦ, καὶ ἀριστέου
τῶν ἀπὸ τῆς ἑλλάδος. ἢ λεοντίου καὶ εὐψυχίου
τῶν τῆς καππαδοκίας ἐπισκόπων. ἢ καικιλι-
ανοῦ τοῦ τῆς ἀφρικῆς, ἢ εὐστοργίου τοῦ τῆς ἰτα-
λίας. ἢ καπίτωνος τοῦ τῆς σικελίας. ἢ μακα-
ρίου τοῦ ἀπὸ τῆς ἱλημ. ἢ ἀλεξάνδρου τοῦ τῆς
κωνσταντινουπόλεως. ἢ παιδέρωτος τοῦ τῆς ἡρα-
κλείας. ἢ τῶν μεγάλων μελετίου. καὶ βασιλείου, καὶ
λογγιανοῦ, καὶ τῶν σὺν αὐτοῖς. τῶν ἀπὸ ἀρμενίας
καὶ πόντου. ἢ λούπου καὶ ἀμφίωνος τοῦ ὁμολογητοῦ,
καὶ ἐπισκόπων τῆς κιλικίας, ἰακώβου καὶ τῶν
σὺν αὐτῷ, τῶν ἀπὸ τῆς μέσης τῶν ποταμῶν,
ἢ τοῦ ἡμετέρου μακαρίου ἀλεξάνδρου, καὶ τῶν
ὁμοδόξων αὐτοῖς, οὐδὲν ἦν ἐν τοῖς γραφο-
μένοις ὑποπτεύειν. ἄδολος γὰρ καὶ ἁπλοῦς, ὁ
τῶν ἀποστολικῶν ἀνδρῶν ἐστι τρόπος. ἐπειδὴ
δὲ παρὰ τῶν συνηγόρων τῇ αἱρέσει χάριν μισθω-
θέντων ἐστὶ τὰ γραφέντα. κατὰ δὲ τὴν θείαν
παροιμίαν, οἱ λόγοι τῶν ἀσεβῶν εἰσὶ δόλιοι.
καὶ στόμα ἀσεβῶν ἀποκρίνεται κακά. καὶ κυ-
βερνῶσιν ἀσεβεῖς δόλους, γρηγορεῖν δεῖ ὡς
εἶπεν ὁ κύριος ἀδελφοί. καὶ νήφειν, μή τις ἐκ
τῆς κομψολογίας καὶ πανουργίας ἀπατηθέντα.

μὴ τῷ

μὴ τῷ ὀνόματι τῆς ἀληθείας λέγων, ὅτι κἀγὼ τὸν Χριστὸν κατα
γγέλλω, καὶ μετ' ὀλίγον, ἀντίχριστος γνωσθῇ. ἀντίχριστοι
δὲ οὗτοι τυγχάνουσι, ὅσοι διὰ τὴν ἀρείου μανίαν ἔρχονται
πρὸς ὑμᾶς. τί γὰρ λείπει παρ' ὑμῶν ἢ ἔξωθεν τῆς ὑμῶν
ἐπιδημήσῃ. ἢ τίνος αἱ κατ' Αἴγυπτον καὶ τὰς Λιβύας, καὶ
τὴν Ἀλεξάνδρειαν ἐκκλησίαι χρείαν ἔχουσιν. ἵνα ἀντὶ
ξύλων καὶ φορτίων πραγματευόμενοι τὴν ἐπισκοπήν, ἐπιβαί
νωσι ταῖς μὴ προσηκούσαις αὐτοῖς ἐκκλησίαις. τίς οὐκ οἶδε
τίς οὐ θεωρεῖ λευκῶς, ὅτι πάντα ταῦτα πράττουσι διὰ τὴν
ὑπὲρ τῆς εὐσεβείας σύστασιν. διατοῦτο κἂν ἐννόους ἑαυτοὺς
ποιῶσι, κἂν μείζονα κράσπεδα τῶν Φαρισαίων περιθήσωσιν
ἑαυτοῖς, κἂν πλατύνωσιν ἑαυτοὺς τοῖς φθέγμασι, καὶ τὸν
τόνον κατασείωσι τῆς φωνῆς, οὐκ ὀφείλουσι πιστεύεσθαι. οὐ γὰρ
ἡ λέξις, ἀλλ' ἡ διάνοια, καὶ ἡ μετ' εὐσεβείας ἀγάπη,
συνίστησι τὸν πιστόν. διατοῦτο οἱ σαδδουκαῖοι, καὶ οἱ ἡρωδιανοὶ
καὶ περὶ τὸν νόμον διαλέξεων ἔχοντες, ἐνετράπησαν παρὰ
τοῦ σωτῆρος. ἀκούσαντες, πλανᾶσθε μὴ εἰδότες τὰς γραφάς,
μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. καὶ δεδεικνύεται πᾶσιν, ὅτι [redacted] καὶ οἱ δο
κοῦντες τὸν νόμον λαλεῖν, ἠλέγχθησαν ἀπατῆσαι. ὁ λόγος
γὰρ σὰρξ ἐγένετο. ὁ γινώσκων τοὺς διαλογισμοὺς τῶν
σοφῶν, ὅτι εἰσὶ μάταιοι. οὕτω γὰρ καὶ ἰουδαίους ὑφαρπά
ζοντας ἤλεγξε λέγων. εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ.
ἐγὼ γὰρ ἐκ τοῦ πατρὸς ἐξῆλθον, καὶ ἥκω πρὸς ὑμᾶς. οὕτω μοι
καὶ νῦν οὗτοι δοκοῦσι ποιεῖν. κρύπτουσι γὰρ ἀφρονοῦσι. καὶ
λοιπὸν εἰς τὸ γράφειν κεχρῆνται παρὰ τῶν γραφῶν τὰς
λέξεις. ἵν' ἐν ταύταις δελεάσαντες, ὑποσύρωσιν εἰς
τὴν ἰδίαν κακίαν τοὺς ἀγνοοῦντας. θεάσασθε δὲ εἰ μὴ
οὕτως ἔχει. εἰ μὲν γὰρ μηδενὸς ὑποκειμένου γράφουσι
περὶ πίστεως, περιττὸν τὸ ἐπιχείρημα. τάχα δὲ καὶ
ἐπιβλαβές, ὅτι μηδεμιᾶς ζητήσεως οὔσης, αὐτοὶ πρόφα
σιν λογομαχίας παρέχουσιν. ἀνασκευάζοντες τὰς ἀκεραίους
τῶν ἀδελφῶν καρδίας. καὶ παρασπείροντες, ἃ μηδὲ εἰς
νοῦν ποτε τούτων ἀνέβη. εἰ δὲ διὰ τὴν ἀρειανικὴν
αἵρεσιν ἀπολογούμενοι γράφειν ἐπιχειροῦσιν, ἔδει τῶν
φυτῶν κακῶν τὰ σπέρματα προανελεῖν καὶ τοὺς τὰ
σπέρματα παραθέντας στηλιτεῦσαι. καὶ οὕτω τὰ ἀντ' ἐκείνων
γράφειν ὀρθῶς, ἢ διακρίνειν φανερῶς τὰ ἀρείου. ἵνα
μὴ κεκρυμμένοι, ἀλλὰ φανερῶς χριστομάχοι δεικνύωνται,
καὶ πάντες αὐτοὺς φεύγωσιν, ὡς ἀπὸ προσώπου ὄφεως.

νῦν δὲ κἀκεῖνα περιπλέουσι, καὶ περὶ ἄλλων προσποιούμενοι
γράφουσι· καὶ ὥσπερ ἰατρὸς κληθεὶς πρὸς πληγέντα, καὶ κά-
μνοντα, καὶ εἰσελθὼν, περὶ μὲν τῶν πραγμάτων οὐδὲν λέγοι,
περὶ δὲ τῶν ὑγιαινόντων μελῶν διαλέγοιτο, πολλῆς ἐμβρο-
ντησίας κατεγνώσθη· ὅτι ὧν μὲν χάριν εἰσῆλθε, σιωπᾷ·
τῶν δὲ ἄλλων ὧν οὐκ ἔστιν αὐτῷ χρεία, διαλέγεται, τὸν
αὐτὸν τρόπον καὶ οὗτοι, τὰ μὲν τῆς αἱρέσεως ἀφιᾶσιν,
ἕτερα δὲ γράφειν ἐπιχειροῦσιν. ἔδει δὲ εἴπερ πίστεως
ἐφρόντιζον, καὶ τὸν Χριστὸν ἠγάπων, πρῶτον τὰ κατ' αὐτοῦ
βλάσφημα ῥήματα προανελεῖν, καὶ οὕτως ἀντ' ἐκείνων,
τοὺς ὑγιαινοῦς λέγειν τε καὶ γράφειν λόγους. ἀλλ' οὔτε αὐ-
τοὶ τοῦτο ποιοῦσιν, οὔτε τοὺς θέλοντας ποιεῖν ἐπιτρέπουσιν.
ἢ ἀγνοοῦντες, ἢ τέχνῃ πανουργίας χρώμενοι. εἰ μὲν οὖν ἀγ-
νοοῦντες τοῦτο πάσχουσι, προπετείας ἂν ἐγκαλοῦντο, ὅτι
περὶ ὧν οὐκ ἴσασι, διαβεβαιοῦνται. εἰ δὲ γινώσκοντες
ἀποπροσποιοῦνται, μείζων κατ' αὐτῶν ἡ κατάγνωσις. ὅτι περὶ
μὲν τῶν ἰδίων βουλευόμενοι, πάρεργον οὐδὲν τίθενται.
περὶ δὲ τῆς εἰς τὸν κύριον ἡμῶν πίστεως γράφοντες, παίζουσι.
καὶ πάντα μᾶλλον, ἢ ἀληθεύουσι. καὶ περιπλέουσι μὲν περὶ
ὧν ἡ αἵρεσις αὐτῶν ἐγκαλεῖται. λέγουσι δὲ τὰς ἀπὸ
τῶν γραφῶν λέξεις, ἔστι δὲ τοῦτο, κλοπὴ τῆς ἀληθείας
ἄντικρυς, καὶ πάσης ἀδικίας μεστόν. καὶ τοῦτο εὖ οἶδα,
ὅτι καὶ ἡ ὑμετέρα θεοσέβεια, συνορᾶν ἐκ τούτων καλῶς δυ-
νήσεται, οὐδεὶς ἐγκαλούμενος περὶ μοιχείας, ἀπολογεῖται
περὶ κλοπῆς. οὐδὲ φόνου τις ἔγκλημα διώκων, ἀνέχεται
τῶν κατηγορουμένων, εἰ ἀπολογοῦντο λέγοντες, οὐκ ἐπιορ-
κήσαμεν, ἀλλὰ καὶ τὴν παρακαταθήκην ἐφυλάξαμεν.
μᾶλλον γάρ ἐστι τοῦτο παίγνιον, ἢ λύσις ἐγκλήματος,
καὶ ἀληθείας ἀπόδειξις. τί γὰρ φόνος πρὸς παρακατα-
θήκην. ἢ τί μοιχεία πρὸς κλοπήν. εἰ γὰρ καὶ ἀλλήλων
ἔχονται αἱ κακίαι, ἐκ τῆς αὐτῆς καρδίας ἐξερχόμε-
ναι, ἀλλ' ὡς πρὸς τὸ λῦσαι τὸ πλημμεληθὲν, οὐδεμίαν
εἰς τοῦτο πρὸς ἑαυτὰς ἔχουσι τὴν κοινωνίαν. ὁ γοῦν
Ἄχαρ, ὡς ἐν τῷ Ἰησοῦ τῷ τοῦ Ναυῆ γέγραπται, ἐγκα-
λούμενος περὶ κλοπῆς, οὐ τὴν ἐν τοῖς πολέμοις εὔνοι-
αν προφέρων ἀπελογεῖτο, ἀλλ' ἐλεγχθεὶς ἐν τῷ ἐγκλή-
ματι, λίθοις ἐβλήθη παρὰ πάντων. καὶ Σαοὺλ δὲ ὀλι-
γωρίας καὶ παρανομίας ἐγκαλούμενος οὐδὲν ὤνησεν

ἐν ἄλλοις

ἐν ἄλλοις προφασιζόμενος. οὐδὲ γὰρ ἡ ἐν ἄλλοις ἀπολογία, λύσιν ἄλλων ἐγκλημάτων ἐργάζεται. ἀλλ' εἰ ἄρα δεῖ νομίμως καὶ δικαίως πάντα πράττειν, προσήκει, περὶ ὧν ἐγκαλεῖταί τις, περὶ τούτων καὶ ἀπολογεῖσθαι. καὶ ἢ δεικνύειν, ὅτι μὴ πεποίηκεν, ἢ ὁμολογεῖν εἰ ἐλέγχοιτο, μηκέτι δρᾶν, μηδὲ ποιήσειν τὰ αὐτά. εἰ δ' ἄρα πεποίηκε καὶ δέδρακε μήτε ὁμολογοίη, ἀλλὰ καὶ κρύπτων ἕτερα μεθ' ἑτέρων λέγοι. δῆλός ἐστιν οὐκ ὀρθῶς πράξας. ἀλλὰ καὶ συνειδὼς αὐτὸς ἑαυτῷ παρανομῶν. τί δὲ δεῖ λόγων μακρῶν, ὅπου γε αὐτοὶ οὗτοι κατήγοροι τῆς ἀρειανικῆς αἱρέσεως εἰσίν. εἰ γὰρ οὐ θαρρέουσιν εἰπεῖν, ἀλλὰ μᾶλλον κρύπτουσι τὰ ἐκείνων τῆς βλασφημίας ῥήματα, δῆλοί εἰσι γινώσκοντες ξένην καὶ ἀλλοτρίαν τῆς ἀληθείας εἶναι τὴν αἵρεσιν ταύτην. ἐπειδὴ δὲ κρύπτουσιν αὐτοί, καὶ φοβοῦνται λέγειν, ἀναγκαῖον ἡμᾶς ἀποδῦσαι τὸ κάλυμμα τῆς ἀσεβείας, καὶ δειγματίσαι τὴν αἵρεσιν. εἰδότες ἃ τότε οἱ περὶ Ἄρειον ἔλεγον, καὶ πῶς ἐξεβλήθησαν ἀπὸ τῆς ἐκκλησίας, καὶ καθῃρέθησαν ἀπὸ τοῦ κλήρου. συγγνώμην μέντοι πρότερον αἰτησάμενοι ἐφ' οἷς μέλλομεν προφέρειν ῥυπαροῖς ῥήμασιν, ὅτι μὴ φρονοῦντες, ἀλλὰ ἐλέγχοντες τοὺς αἱρετικοὺς λέγομεν ταῦτα.

ὁ τοίνυν μακαρίτης Ἀλέξανδρος ὁ ἐπίσκοπος, ἐξέβαλε τῆς ἐκκλησίας τὸν Ἄρειον, φρονοῦντα καὶ λέγοντα ταῦτα·

οὐκ ἀεὶ ὁ θεὸς πατὴρ ἦν. οὐκ ἀεὶ ἦν ὁ υἱός. ἀλλὰ πάντων ὄντων ἐξ οὐκ ὄντων, καὶ ὁ υἱὸς τοῦ θεοῦ, ἐξ οὐκ ὄντων ἐστί. καὶ πάντων ὄντων κτισμάτων, καὶ αὐτὸς κτίσμα καὶ ποίημά ἐστι. καὶ πάντων οὐκ ὄντων πρότερον ἀλλ' ἐπιγενομένων, καὶ αὐτὸς ὁ τοῦ θεοῦ λόγος, ἦν ποτε ὅτε οὐκ ἦν πρὶν γεννηθῇ. ἀλλὰ ἀρχὴν ἔχει εἰς τὸ εἶναι. τότε γὰρ γέγονεν, ὅτε βεβούληται ὁ θεὸς αὐτὸν δημιουργῆσαι. ἓν γὰρ τῶν πάντων ἔργων ἐστὶ καὶ αὐτός. καὶ ὅτι τῇ μὲν φύσει τρεπτός ἐστι. τῷ δὲ ἰδίῳ αὐτεξουσίῳ, ἕως βούλεται μένει. ὅτε μέντοι θέλει, δύναται τρέπεσθαι καὶ αὐτός, ὥσπερ καὶ τὰ πάντα. διὰ τοῦτο γὰρ προγινώσκων ὁ θεὸς ἔσεσθαι καλὸν αὐτόν, προλαβὼν ταύτην αὐτῷ τὴν δόξαν δέδωκεν. ἣν ἂν καὶ ἐκ τῆς ἀρετῆς ἔσχε μετὰ ταῦτα. ὥστε ἐξ ἔργων αὐτοῦ ὧν προέγνω ὁ θεός, τοιοῦτον αὐτὸν νῦν γεγονέναι. λέγουσι γὰρ ὅτι οὐδὲ θεὸς ἀληθινός ἐστιν ὁ Χριστός, ἀλλὰ μετοχῇ, καὶ αὐτὸς ὥσπερ καὶ οἱ ἄλλοι πάντες λέγεται θεός.

προστιθέασι δὲ καὶ τοῦτο, ὅτι οὐκ ἔστιν αὐτὸς ὁ ἀληθινὸς θεοῦ φύσει
καὶ ἴδιος τῆς οὐσίας αὐτοῦ λόγος· καὶ ἡ ἰδία σοφία, ἐν ᾗ
καὶ τοῦτον πεποίηκε τὸν κόσμον· ἀλλὰ ἄλλος μὲν ἐστὶν ὁ
ἐν τῷ πατρὶ ἴδιος αὐτοῦ λόγος, καὶ ἄλλη ἡ ἐν τῷ πατρὶ ἰδία
αὐτοῦ σοφία· ἐν ᾗ σοφίᾳ, καὶ τοῦτον τὸν λόγον πεποίηκεν.
αὐτὸς δὲ οὗτος ὁ κύριος, κατ' ἐπίνοιαν λέγεται λόγος, διὰ
τὰ λογικά· καὶ κατ' ἐπίνοιαν σοφία, διὰ τὰ σοφιζό-
μενα λέγεται. ἀμέλει φασίν, ὅτι πάντων ξένων καὶ
ἀλλοτρίων ὄντων κατὰ τὴν οὐσίαν τοῦ πατρός, οὕτω καὶ
αὐτὸς ξένος καὶ ἀλλότριος κατὰ πάντα τῆς τοῦ πατρὸς
οὐσίας ἐστί· τῶν δὲ γεννητῶν καὶ κτιστῶν, ἴδιος καὶ εἷς
τυγχάνει· κτίσμα γάρ ἐστι, καὶ ποίημα, καὶ ἔργον. πάλιν
τέ φασιν, ὅτι οὐχ ἡμᾶς, ἔκτισε δι' ἐκεῖνον, ἀλλ' ἐκεῖνον
δι' ἡμᾶς. ὑπῆρχε γάρ φασι μόνος ὁ θεός, καὶ οὐκ ἦν ὁ λόγος
σὺν αὐτῷ. εἶτα θελήσας ἡμᾶς δημιουργῆσαι τότε πε-
ποίηκε τοῦτον· καὶ ἀφ' οὗ γέγονεν, ὠνόμασε λόγον αὐ-
τὸν καὶ υἱὸν· καὶ σοφίαν, ἵνα ἡμᾶς δι' αὐτοῦ δημιουργήσῃ·
καὶ ὥσπερ πάντα βουλήματι τοῦ θεοῦ οὐκ ὄντα πρότερον
ὑπέστη, οὕτω καὶ αὐτός, τῷ βουλήματι τοῦ θεοῦ, οὐκ ὢν
πρότερον γέγονεν· ὁ γὰρ ὢν θεός, τὸν μὴ ὄντα υἱόν,
πεποίηκε τῇ βουλῇ, ἐν ᾗ καὶ τὰ πάντα πεποίηκε, καὶ
ἐδημιούργησε· καὶ ἔκτισε· καὶ γενέσθαι ἠθέλησε. καὶ γὰρ
καὶ τοῦτο λέγουσιν, ὅτι οὐκ ἔστιν ὁ χριστὸς φυσικὴ καὶ ἀλη-
θινὴ δύναμις τοῦ θεοῦ· ἀλλ' ὥσπερ ἡ κάμπη καὶ ὁ βροῦχος
λέγονται δύναμις, οὕτω καὶ αὐτὸς λέγεται δύναμις
τοῦ πατρός· πρὸς τούτοις ἔλεγεν ἄρειος, ὅτι τῷ υἱῷ ὁ
πατὴρ ἄρρητος ὑπάρχει· καὶ οὔτε ὁρᾷν, οὔτε γινώσκειν
τελείως καὶ ἀκριβῶς δύναται ὁ υἱὸς τὸν πατέρα· ἀρχὴν
γὰρ ἔχων τοῦ εἶναι, οὐ δύναται τὸν ἄναρχον γινώσ-
κειν. ἀλλὰ καὶ ὃ γινώσκει καὶ βλέπει, ἀναλόγως
τοῖς ἰδίοις μέτροις οἶδε καὶ βλέπει, ὥσπερ καὶ ἡμεῖς
γινώσκομεν καὶ βλέπομεν κατὰ τὴν ἰδίαν δύναμιν.
προστίθησι δὲ καὶ τοῦτο· ὅτι ὁ υἱὸς οὐ μόνον τὸν πατέρα
οὐκ οἶδεν ἀκριβῶς, ἀλλὰ γάρ, οὐδὲ τὴν ἰδίαν οὐσίαν 67
οἶδεν ἑαυτοῦ· ταῦτα καὶ τὰ τοιαῦτα λέγων μὲν ὁ ἄρειος,
αἱρετικὸς ἀπεδείχθη. ἐγὼ δὲ καὶ μόνον γράφων,
ἐκάθαρον ἐμαυτὸν ἐνθυμούμενος τὰ κατὰ τούτων,
καὶ κρατῶν τὴν τῆς εὐσεβείας διάνοιαν. καὶ γὰρ
καὶ ἐν τῇ κατὰ νίκαιαν συνόδῳ οἱ συνελθόντες παν-

ταχόθεν

ταχόθεν ἐπίσκοποι, τὰς μὲν ἀκοὰς, ἐπὶ τούτοις ἔφραττον
παμψηφεὶ δὲ πάντες καὶ διὰ ταῦτα κατέκριναν τὴν
αἵρεσιν ταύτην. εἰπόντες ἀλλοτρίαν ταύτην καὶ ξέ-
νην εἶναι, τῆς ἐκκλησιαστικῆς πίστεως. οὐκ ἀνάγκη δὲ
τοὺς κρίνοντας ἦγεν ἐπὶ τοῦτο. ἀλλὰ πάντες προαιρέσει
τὴν ἀλήθειαν ἐξελέξαντο. καὶ πεποιήκασι δὲ τοῦτο, δικαί-
ως καὶ ὀρθῶς. ἀθεότης γὰρ ἐκ τούτων εἰσάγεται, καὶ
μᾶλλον παρὰ τὰς γραφὰς, ὁ νῦν ἰουδαϊσμός, ἔχων ἐγγὺς
ἐπακολουθοῦντα τὸν ἑλληνισμόν. ὥστε τὸν ταῦτα φρονοῦντα,
μηκέτι χριστιανὸν καλεῖσθαι. πάντα γὰρ ταῦτα τῶν
γραφῶν ἐστὶν ἐναντία. ὁ μὲν γὰρ ἰωάννης φησίν, ἐν ἀρχῇ
ἦν ὁ λόγος. οὗτοι δὲ φάσκουσιν, οὐκ ἦν πρὶν γεννηθῇ. καὶ
ὁ αὐτὸς πάλιν ἔγραψε, καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ ἐν τῷ
υἱῷ αὐτοῦ ἰησοῦ χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς. καὶ ἡ ζωὴ ἡ
αἰώνιος. οὗτοι δὲ ὥσπερ ἀντιμαχόμενοι φάσκουσι, μὴ εἶναι
τὸν χριστὸν ἀληθινὸν θεόν. ἀλλὰ κατὰ μετοχὴν καὶ αὐτὸν ὡς
τὰ πάντα λέγεσθαι θεόν. καὶ ὁ μὲν ἀπόστολος, αἰτιᾶται
τοὺς ἕλληνας, ὅτι κτίσμα σέβουσι λέγων. ἐλάτρευσαν
τῇ κτίσει, παρὰ τὸν κτίσαντα θεόν. οὗτοι δὲ κτίσμα λέ-
γοντες, καὶ ὡς κτίσματι λατρεύοντες αὐτῷ, οὐδὲν διαφέ-
ρουσιν ἑλλήνων. πῶς γὰρ εἰ τοῦτο φρονοῦσιν, οὐχὶ καὶ κατ'
αὐτῶν ἐστι τὸ ἀνάγνωσμα. καὶ ὡς αὐτοὺς μεμφόμενος
ἐστὶν ὁ μακάριος παῦλος; καὶ ὁ μὲν κύριος ἔφη. ἐγὼ καὶ ὁ
πατὴρ ἕν ἐσμεν, καὶ ὁ ἐμὲ ἑωρακὼς, ἑώρακε τὸν πατέρα.
καὶ ὁ παρ' αὐτοῦ κηρύττειν ἀποσταλεὶς ἀπόστολος γρά-
φει. ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς
ὑποστάσεως αὐτοῦ. αὐτοὶ δὲ τολμῶσι διαιρεῖν. καὶ ἀλλό-
τριον αὐτὸν τῆς τοῦ πατρὸς οὐσίας καὶ ἰδιότητος λέγειν.
καὶ τρεπτὸν εἰσάγειν οἱ ἄθεοι. οὐ βλέποντες ὅτι ταῦτα
λέγοντες, οὐκέτι ποιοῦσιν αὐτὸν ἓν μετὰ τοῦ πατρός. ἀλλὰ
μετὰ τῶν κτισμάτων. τίς γὰρ οὐχ ὁρᾷ, ὅτι ἀδιαίρε-
τόν ἐστι τὸ ἀπαύγασμα πρὸς τὸ φῶς. καὶ ἴδιον αὐτοῦ
φύσει, οὐκ ἐπιγενόμενον ὕστερον. εἶτα τοῦ πατρὸς λέγοντος,
οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. καὶ τῶν γραφῶν
λεγουσῶν. τοῦτον εἶναι τὸν τοῦ πατρὸς λόγον, ἐν ᾧ καὶ οἱ
οὐρανοὶ ἐστερεώθησαν. καὶ ἁπλῶς, πάντα δι' αὐτοῦ ἐγέ-
νετο. οὗτοι καινῶν ἐφευρεταὶ δογμάτων, καὶ πλάσται γενό-
μενοι, ἕτερον ἐπεισάγουσι λόγον. καὶ ἄλλην σοφίαν τοῦ
πατρὸς εἶναι, ἐν ᾗ καὶ τοῦτον πεποίηκε. καὶ λοιπὸν κατ'
ἐπίνοιαν αὐτὸν διὰ τὰ λογικὰ λέγεσθαι λόγον, καὶ

σοφίαν, οὐχ ὁρῶντες ἐκ τούτου τὸ ἄτοπον. εἰ γὰρ διʼ ἡμᾶς
λέγεται κατʼ ἐπίνοιαν λόγος καὶ σοφία, τί ἂν εἴη, αὐτὸς
οὐκ ἂν εἴποιεν. εἰ γὰρ ταῦτα λέγουσιν αὐτὸν εἶναι αἱ γρα-
φαί, οὗτοι δὲ ταῦτα εἶναι τὸν κύριον οὐ θέλουσι, φανερῶς
οὐδὲ ὑπάρχειν αὐτὸν θέλουσιν οἱ ἄθεοι, καὶ τῶν γραφῶν
ἐναντίοι. καὶ τοῦτο οἱ μὲν πιστοὶ δύνανται παρʼ αὐτῆς τῆς
πατρικῆς φωνῆς, καὶ παρὰ τῶν προσκυνούντων αὐτὸν ἀγγέλων
καὶ τῶν περὶ αὐτοῦ γραψάντων ἁγίων μαθεῖν. οὗτοι δὲ ἐπεὶ τὴν
διάνοιαν οὐ θέλουσι καθαράν, οὐδὲ δύνανται θείων ἐπαΐ-
ειν καὶ θεολόγων ἀνδρῶν, δύνανται κἂν παρὰ τῶν ὁμοίων
αὐτοῖς δαιμόνων μανθάνειν, ὅτι μὴ ὡς πολλῶν ὄντων ἀνε-
φώνουν, ἀλλὰ τοῦτον μόνον εἰδότες ἔλεγον, σὺ εἶ ὁ ἅγιος
τοῦ θεοῦ καὶ ὁ υἱὸς τοῦ θεοῦ. καὶ γὰρ καὶ ὁ τὴν ἀρχὴν αὐ-
τοῖς ὑποβαλών, πειράζων ἐν τῷ ὄρει, οὐκ ἔλεγεν, ἐὰν
σὺ υἱὸς εἶ τοῦ θεοῦ ὡς ὄντων ἄλλων. ἀλλʼ εἰ σὺ εἶ ὁ υἱὸς τοῦ
θεοῦ, ὡς μόνου ὄντος αὐτοῦ. ἀλλʼ οἱ θαυμαστοὶ ὥσπερ Ἕλληνες
τῆς περὶ τοῦ ἑνὸς θεοῦ ἐννοίας, εἰς πολυθεότητα κατῆ-
λθον, οὕτω καὶ οὗτοι μὴ πιστεύοντες ἕνα εἶναι τὸν τοῦ
πατρὸς λόγον, εἰς πολλῶν ἐπίνοιαν πεπλώκασι. καὶ τὸν
μὲν ὄντως ὄντα θεόν, καὶ ἀληθινὸν λόγον ἀρνοῦνται. κτί-
σμα δὲ αὐτὸν κἂν ἐνθυμεῖσθαι τετολμήκασιν. οὐ βλέ-
ποντες ὅσης ἀσεβείας μεστόν ἐστι τὸ φρόνημα. εἰ γὰρ
κτίσμα ἐστί, πῶς αὐτὸς τῶν κτισμάτων ἐστὶ δημιουργός.
ἢ πῶς τὰ μὲν πάντα κτίσματα, αὐτὸς δὲ υἱός, καὶ σοφία.
καὶ λόγος ἐστί. λόγος γὰρ οὐ κτίζεται, ἀλλὰ γεννᾶται.
καὶ τὸ κτίσμα οὐ γέννημα, ἀλλὰ ποίημα. ἔπειτα εἰ
τὰ κτίσματα διʼ αὐτοῦ γέγονε, κτίσμα δέ ἐστι καὶ αὐτός,
διά τινος ἄρα καὶ αὐτὸς γέγονεν. ἀνάγκη γὰρ τὰ ποιή-
ματα διά τινος γίνεσθαι. ὥσπερ οὖν καὶ γέγονε διὰ τοῦ
λόγου, ὅτι μὴ αὐτός ἐστι ποίημα, ἀλλὰ λόγος τοῦ πατρός. καὶ
πάλιν, εἰ ἄλλη ἐστὶν ἡ ἐν τῷ πατρὶ σοφία παρὰ τὸν κύριον.
καὶ ἡ σοφία ἐν σοφίᾳ γέγονεν. ἡ δὲ σοφία ἐστὶν ὁ τοῦ
θεοῦ λόγος. εἴη ἂν καὶ ὁ λόγος ἐν λόγῳ γενόμενος. καὶ εἰ
ὁ λόγος τοῦ θεοῦ ἐστιν ὁ υἱός, εἴη κατʼ αὐτούς, καὶ ὁ υἱὸς
ἐν τῷ υἱῷ ποιηθείς. πῶς τοίνυν ὁ κύριος λέγει, ἐγὼ ἐν
τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί. ὄντος γὰρ ἑτέρου ἐν τῷ
πατρί, ἐν ᾧ καὶ αὐτὸς ὁ κύριος γέγονεν, ὡς οἱ Ἀρειανοὶ νο-
μίζουσιν, οὐκ ἂν εἴη αὐτὸς ἐν τῷ πατρί. πῶς δὲ καὶ Ἰωά-
ννης ἀφεὶς ἐκεῖνον, περὶ τούτου διηγεῖται λέγων,
πάντα διʼ αὐτοῦ ἐγένετο. καὶ χωρὶς αὐτοῦ ἐγένετο

οὐδὲ ἕν

οὐδὲ ἕν. εἰ γὰρ πάντα τὰ βουλήματι γινόμενα δι' αὐτοῦ γέγονε, πῶς καὶ αὐτὸς εἷς τῶν γεγενημένων ἐστί· πῶς δὲ καὶ τοῦ ἀποστόλου λέγοντος, δι' οὗ τὰ πάντα καὶ δι' ὃν τὰ πάντα, οὗτοι λέγουσιν, οὐχ ἡμεῖς δι' αὐτόν, ἀλλ' ἐκεῖνος δι' ἡμᾶς γέγονεν. ἔδει γάρ, εἴπερ οὕτως ἦν, εἰπεῖν αὐτὸν δι' οὓς γέγονεν ὁ λόγος. νῦν δὲ μὴ τοῦτο λέξας, ἀλλὰ δι' ὃν τὰ πάντα, δείκνυσι τούτους αἱρετικούς, καὶ συκοφάντας. ἄλλως τε, εἰ τεθαρσήκασιν ἄλλον εἶναι λόγον ἐν τῷ θεῷ, ἐπεὶ μὴ φανερὰς ἔχουσι τὰς ἐκ τῶν γραφῶν ἀποδείξεις, κἂν ἓν ἔργον αὐτοῦ δεικνύτωσαν. ἢ τοῦ πατρὸς ἔργα, ἃ χωρὶς τοῦ λόγου γεγόνασιν. ἅτινα δοκοῦσι πρόφασιν ἔχειν τῆς ἑαυτῶν ἐπινοίας. τοῦ μὲν γὰρ ἀληθινοῦ λόγου πᾶσιν ἐστὶ φανερὰ τὰ ἔργα. ὡς καὶ ἐξ αὐτῶν αὐτὸν ἀναλόγως θεωρεῖσθαι. ὡς γὰρ τὴν κτίσιν ὁρῶντες διανοούμεθα τὸν ταύτην κτίσαντα θεόν, οὕτω βλέποντες μηδὲν ἄτακτον ἐν τοῖς γενομένοις, ἀλλὰ πάντα τάξει καὶ προνοίᾳ κινούμενά τε καὶ μένοντα, ἐνθυμούμεθα λόγον εἶναι τοῦ θεοῦ, τὸν ἐπὶ πάντων ὄντα τε καὶ ἡγεμονεύοντα. τοῦτο καὶ αἱ γραφαὶ μαρτυροῦσι λέγουσαι, αὐτόν τε εἶναι τὸν τοῦ θεοῦ λόγον. καὶ ὅτι δι' αὐτοῦ τὰ πάντα ἐγένετο. καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ἐκείνου δὲ περὶ οὗ λέγουσιν, οὐδὲν οὔτε ῥητόν, οὔτε ἔργον ὑπ' αὐτοῦ δείκνυται. καὶ γὰρ αὐτὸς ὁ πατὴρ λέγων, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, οὐδένα ἕτερον παρ' αὐτὸν εἶναι σημαίνει. οὐκοῦν κατὰ τοῦτο καὶ μανιχαίοις λοιπὸν προστέθησαν. καὶ γὰρ κἀκεῖνοι, μόνον ἄχρις ὀνόματος ἀγαθόν, τινα θεὸν ὀνομάζουσι. καὶ ἔργον μὲν αὐτοῦ, οὔτε βλεπόμενον, οὔτε ἀόρατον ἀποδεικνύειν δύνανται. τὸν δὲ ἀληθινόν, καὶ ὄντως ὄντα θεόν, τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς, καὶ πάντων τῶν ποιημάτων ἀρνούμενοι, παντελῶς εἰσι μυθολόγοι. τοῦτο δὲ καὶ οὗτοι πάσχειν μοι δοκοῦσιν οἱ κακόφρονες.* τοῦτο ἀληθινοῦ λόγου, καὶ μόνου ὄντος ἐν τῷ πατρί, τὰ ἔργα βλέπουσι. καὶ τοῦτον μὲν ἀρνοῦνται, ἄλλον δὲ ἑαυτοῖς ἀναπλάττοντες λόγον, ὃν οὔτε ἐξ ἔργων, οὔτε ἐξ ἀκοῆς, ἀποδεικνύειν δύνανται. εἰ μὴ ἄρα σύνθετον τὸν θεὸν ὡς ἄνθρωπον λαλοῦντα, καὶ ἀμείβοντα τοὺς προτέρους λόγους, καὶ πάλιν οὕτω νοοῦντα καὶ σοφιζόμενον, ὑπονοοῦντες μυθολογοῦσιν, οὐ νοοῦντες εἰς ὅσην ἀλογίαν ταῦτα λέγοντες ἐκπεπτώκασιν. εἰ μὲν γὰρ ἐπισυμβαίνοντας ἔχει τοὺς λόγους, πολὺ τοῦτον ἀνθρώπῳ ὁμοιοῦσιν, ὡς ἄνθρωπον

* τούτου

ὀφείλειν γράφεσθαι. ἵν' ᾖ οὕτως πολὺ τοῦτον ἀνοη-
νομήσαιν. εἰ δὲ καὶ ἐξ αὐτοῦ προφέρονται, καὶ λοιπὸν
ἀφανίζονται, ὡς οἱ τῶν ἀνθρώπων μειζόνως ἀσεβοῦ-
σιν. ὅτι τὰ ἐκ τοῦ ὄντος, εἰς τὸ μὴ εἶναι ἀναλύουσιν.
εἰ γὰρ ὅλως γεννᾶν αὐτὸν ὑπονοοῦσι, βέλτιόν ἐστι, καὶ
εὐσεβέστερον λέγειν, ἑνὸς εἶναι γεννήτορα τὸν θεὸν λόγου
ὅς ἐστι καὶ τὸ πλήρωμα τῆς θεότητος αὐτοῦ. ἐν ᾧ καὶ
πάσης οἱ θησαυροὶ τῆς γνώσεως,* πάσης εἰσὶν ἀπόκρυφοι. καὶ
τοῦτον λέγειν εἶναί τε καὶ συνυπάρχειν τῷ ἑαυτοῦ πατρί.
δι' οὗ καὶ τὰ πάντα γέγονεν. ἢ πολλῶν μὴ φαινομένων,
πατέρα ὀνομάζειν τὸν θεόν, ἢ ὡς ἐκ πολλῶν συγκείμενον
ἀνθρωποπαθῆ καὶ ποικίλον τὸν ἁπλοῦν ὄντα τῇ φύσει
φαντάζεσθαι. εἶτα τοῦ ἀποστόλου λέγοντος, Χριστὸς θεοῦ δύναμις
καὶ θεοῦ σοφία, οὗτοι ταῖς πολλαῖς δυνάμεσιν, ἕνα καὶ τοῦ-
τον συναριθμοῦσι. καὶ τὸν Χριστὸν χείριστον, ὅτι καὶ τῇ κάμπῃ,
καὶ τοῖς ἄλλοις ἀλόγοις, τοῖς δι' ἐπιτιμίαν πεμπομέ-
νοις δι' αὐτοῦ, παραβάλλουσιν αὐτόν, οἱ παράνομοι. εἶτα
τοῦ κυρίου λέγοντος, οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός.
καὶ πάλιν, οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν
παρὰ τοῦ πατρός, πῶς οὐκ ἀληθῶς εἰσὶ θεομάχοι οὗτοι, λέ-
γοντες μήτε ὁρᾶσθαι, μήτε γινώσκεσθαι τὸν πατέρα
παρὰ τοῦ υἱοῦ τελείως. εἰ γὰρ ὁ κύριος λέγει καθὼς
γινώσκει με ὁ πατήρ, κἀγὼ γινώσκω τὸν πατέρα. οὐκ
ἐκ μέρους δὲ γινώσκει ὁ πατὴρ τὸν υἱόν, πῶς οὐ μαίνονται
φλυαροῦντες, ὅτι ἐκ μέρους, καὶ οὐ πλήρως ὁ υἱὸς ~~ἀρ-~~
~~χὴν δὲ ἔχει καὶ τὰ πάντα εἰς τὸ γεγενῆσθαι.~~ γι-
νώσκει τὸν πατέρα. εἶτα ἀρχὴν ἔχει εἰς τὸ εἶναι ὁ υἱός.
τίνος ἐστὶ πρώτου λεγέτωσαν. ἀλλ' οὔτε, τί εἰπεῖν ἔχου-
σιν, οὔτε τοῦ λόγου τοιαύτην ἀρχὴν ἐπινοεῖν δύνανται
οἱ πανοῦργοι. τοῦ γὰρ πατρός ἐστιν ἀληθινόν, καὶ ἴδιον
γὰρ αὐτοῦ γέννημα. καὶ* ἐν ἀρχῇ ἦν ὁ λόγος. καὶ ὁ λόγος
ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. περὶ γὰρ τοῦ
λέγειν αὐτοὺς μὴ εἰδέναι τὸν υἱὸν τὴν ἑαυτοῦ οὐσίαν,
περιττόν ἐστιν ἀποκρίνασθαι. ἢ μόνον μανίας αὐτῶν κα-
ταγνῶσιν, εἴ γε ἑαυτὸν οὐκ οἶδεν ὁ λόγος. ὁ τοῖς
πᾶσι τὴν γνῶσιν τὴν περὶ τοῦ πατρὸς καὶ ἑαυτοῦ
χαριζόμενος. μεμφόμενος δὲ τοὺς μὴ γινώσκοντας ἑαυ-
τούς. ἀλλὰ γέγραπται φασίν, ὁ κύριος ἔκτισέ με ἀρ-
χὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ. ἀπαίδευτοι, καὶ

φρένας

φρένας ἐμβεβροντημένοι. καὶ ἄλλος ἐν ταῖς γραφαῖς ἐλέχθη. καὶ παιδίσκης υἱός. καὶ ἀρνίον. καὶ πρόβατον, καὶ ὅτι κεκοπίακε, καὶ ἐδίψησε. καὶ ἐτυπήθη. καὶ πέπονθεν· ἀλλ' ἔχει τὴν πρόφασιν καὶ τὸ αἴτιον εὔλογον. ἐγγὺς τὰ τοιαῦτα πάλιν ἐκ τῶν γραφῶν σημαινόμενα. ἔστι δὲ τοῦτο, διότι ἄνθρωπος, καὶ υἱὸς ἀνθρώπου γέγονε, λαβὼν τὴν τοῦ δούλου μορφήν, ἥτις ἦν ἡ ἀνθρωπίνη σάρξ. ὁ λόγος γάρ φησὶν ὁ ἰωάννης σὰρξ ἐγένετο. εἰ δὲ ἄνθρωπος γέγονεν, οὐ δεῖ τινὰ ἐπὶ ταῖς τοιαύταις φωναῖς σκανδαλίζεσθαι. ἀνθρώπου γὰρ ἴδιόν ἐστι τὸ κτίζεσθαι. τὸ γίνεσθαι. τὸ πλάττεσθαι. τὸ κοπιᾷν. τὸ πάσχειν. τὸ ἀποθνήσκειν. καὶ ἐκ νεκρῶν ἐγείρεσθαι. καὶ ὥσπερ λόγος ὢν καὶ σοφία τοῦ πατρός, ἔχει πάντα τὰ τοῦ πατρός. τὸ ἀΐδιον. τὸ ἄτρεπτον. τὸ κατὰ πάντα καὶ ἐν πᾶσιν ὅμοιον. τὸ μὴ πρότερον, καὶ ὕστερον, ἀλλὰ τὸ συνυπάρχειν τῷ πατρί. καὶ αὐτὸ τὸ τῆς θεότητος εἶδος αὐτὸν εἶναι. καὶ τὸ δημιουργεῖν. καὶ μὴ κτίζεσθαι. ὅμοιος γὰρ ὤν, καὶ κατὰ τὴν οὐσίαν τοῦ πατρός, οὐκ ἂν εἴη κτιστός, ἀλλὰ κτίστης. ὡς αὐτὸς εἴρηκεν. ὁ πατήρ μου, ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. οὕτως ὁ αὐτὸς ἄνθρωπος γεγονώς, καὶ σάρκα φορέσας, ἐξ ἀνάγκης καὶ κτίζεσθαι λέγεται. καὶ ποιεῖσθαι. καὶ πάντα τὰ ἴδια τῆς σαρκὸς ὑπομένειν. κἂν οὗτοι ὡς ἰουδαϊκοὶ κάπηλοι, τὸν οἶνον σμίγουσιν ὕδατι, ταπεινοῦντες τὸν λόγον, καὶ τὴν θεότητα αὐτοῦ, ταῖς τῶν γεννητῶν ἐννοίαις ὑποβάλλοντες. διὰ τοῦτο γάρ, ἐνθέως καὶ δικαίως, οἱ μὲν πατέρες ἠγανάκτησαν, καὶ ἀνεθεμάτισαν τὴν ἀσεβεστάτην ταύτην αἵρεσιν. οὗτοι δὲ ὡς εὐέλεγκτον καὶ πανταχόθεν οὖσαν σαθράν, φοβοῦνται καὶ κρύπτουσι. καὶ γὰρ βραχέα μὲν ταῦτα, πρὸς κατάγνωσιν αὐτῶν ἡμεῖς ἐγράψαμεν. ἂν δέ τις θελήσῃ πλατυτέρῳ τῷ κατ' αὐτῶν ἐλέγχῳ χρήσασθαι, εὑρήσει τὴν αἵρεσιν ταύτην, ἑλλήνων μὲν οὐ μακράν. τῶν δὲ ἄλλων αἱρέσεων ἐσχάτην, καὶ τρύγα τυγχάνουσαν. ἐκεῖναι μὲν γάρ, ἢ περὶ τὸ σῶμα καὶ τὴν ἐνανθρώπησιν τοῦ κυρίου πλανῶνται. αἱ μὲν οὕτως, αἱ δὲ ἐκείνως καταψευδόμεναι. ἢ μηδ' ὅλως ἐπιδεδημηκέναι τὸν κύριον, ὡς ἰουδαῖοι νομίζοντες ἐπλανήθησαν. αὕτη δὲ μόνη, μανικώτερον εἰς αὐτὴν τὴν θεότητα τετόλμηκε, λέγουσα, μηδ' ὅλως εἶναι τὸν λόγον. μηδὲ τὸν πατέρα ἀεὶ πατέρα εἶναι. ὅθεν εὐλόγως ἄν τις κατ' αὐτὸν

ἐκεῖνον εἴποι γεγράφθαι τὸν ψαλμόν· εἶπεν ἄφρων ἐν
καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός· διεφθάρησαν, καὶ ἐβδελύχθησαν
ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. ἀλλὰ καὶ ἰσχύομεν φασί, καὶ
δυνάμεθα ταῖς πανουργίαις προστῆναι τῆς αἱρέσεως. βέλτι-
ον δ' ἂν αὐτῶν γένοιτο ἡ ἀπολογία, ἐὰν μὴ τέχνῃ τινὶ καὶ
σοφίσμασιν Ἑλληνικοῖς, ἀλλ' ἁπλῇ τῇ πίστει ταύτης προσ-
τῆναι δύνωνται. οὐκοῦν εἰ τεθαρρήκασι, καὶ γινώσκουσιν ἐκ-
κλησιαστικὴν εἶναι ταύτην, λεγέτωσαν φανερῶς τὸ φρό-
νημα, καὶ μὴ δι' αἰνιγμάτων παρατιθέσθωσαν. οὐδεὶς γὰρ
ἅψας λύχνον, τίθησιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν
λυχνίαν· καὶ λάμπει πᾶσι τοῖς εἰσερχομένοις. εἰ τοίνυν
καὶ οὗτοι προστῆναι δύνανται, γραψάτωσαν τὰ πεφρονημέ-
να, καὶ δειξάτωσαν πᾶσι ὡς λύχνον γυμνὴν τὴν ἑαυ-
τῶν αἵρεσιν. φανερῶς τε κατηγορείτωσαν Ἀλεξάνδρου
τοῦ μακαρίτου ἐπισκόπου, ὡς ἀδίκως ἐκβαλόντος τὸν Ἄρει-
ον λέγοντα ταῦτα, καὶ μεμφέσθωσαν τὴν ἐν Νικαίᾳ σύν-
οδον, ἀντὶ τῆς ἀσεβείας ὑπομνήσασαν, καὶ γράψασαν
τὴν εὐσεβῆ πίστιν. ἀλλ' οὐ ποιοῦσιν εὖ οἶδα. ὅτι οὐχ οὕτως
εἰσὶν ἀγνοοῦντες, ὧν ἐπλάσαντο, καὶ φιλονεικοῦσιν ἐπισπ-
εῖραι κακῶν. ἀλλὰ μάλα γινώσκουσιν, ὅτι κἂν κατὰ
τὴν ἀρχὴν τοὺς ἀκεραίους διὰ κακῆς ἀπάτης ὑφαρπά-
σωσιν, ἀλλ' εὐθὺς ἡ ἔννοια αὐτῶν, ὡς φῶς ἀσεβῶν σβέννυται,
καὶ στηλιτεύονται πανταχοῦ, ὡς τῆς ἀληθείας ἐχθροί. διὰ
τοῦτο δ' οὖν πάντα κακῶς ποιοῦσιν, ὡς μωροὶ λαλοῦντες·
τοῦτο μόνον ὡς υἱοὶ τοῦ αἰῶνος ὄντες· φρονίμως πεποιήκασι.
κρύπτοντες ὑπὸ τὸν μόδιον, τὸν ἑαυτῶν λύχνον ἵνα νομί-
ζηται φαίνειν, καὶ μὴ φαινόμενος ἀποσβεσθῇ. καταγινω-
σκόμενος γὰρ καὶ αὐτὸς Ἄρειος, ὁ τῆς μὲν αἱρέσεως ἐξ-
άρχος. εὐσεβείας δὲ κοινωνός, κληθεὶς, ἐκ σπουδῆς τότε
τῶν περὶ Εὐσέβιον, παρὰ τοῦ μακαρίτου Κωνσταντίνου τοῦ
Αὐγούστου. καὶ ἀπαιτούμενος ἐγγράφως εἰπεῖν τὴν ἑαυτοῦ
πίστιν, ἔγραψεν ὁ δόλιος. κρύπτων μὲν τὰς ἰδίας τῆς
ἀσεβείας λέξεις. ὑποκρινόμενος δὲ καὶ αὐτὸς ὡς ὁ διά-
βολος, τὰ τῶν γραφῶν ῥήματα. εἶτα λέγοντος τοῦ μα-
καρίτου Κωνσταντίνου, εἰ μηδὲν ἕτερον ἔχοις παρὰ
ταῦτα ἐν τῇ διανοίᾳ, μάρτυρα τὴν ἀλήθειαν δός.
ἀμύνεται γάρ σε ἐπορκήσαντα αὐτὸς ὁ Θεός. ὤμοσεν
ὁ ἄθλιος μήτε ἔχειν ἄλλα παρὰ τὰ νῦν γραφέντα,

κἂν εἰρηκὼς

κἂν εἰρῆσθαί ποτέ τι παρ' αὐτοῦ, ἢ πεφρονῆσθαι. ἀλλ' εὐθὺς
ἐξελθὼν ὥσπερ δι᾽ ἀκηνδύος, κατέπεσε. καὶ πρηνὴς γενόμενος
γρ. καὶ ὡραῖον πάν. ἐλάκησε μέσος· πᾶσι μὲν οὖν ἀνθρώποις, κοινὸν τοῦ βίου τέλος, ὁ θά-
νατός ἐστι. καὶ οὐ δεῖ τινὰς ἐπεμβαίνειν, κἂν ἐχθρὸς ᾖ ὁ τε-
λευτήσας. ἀδήλου ὄντος, μὴ ἐφ' ἑσπέρας, καὶ αὐτοὺς καταλά-
βοι τοῦτο· τὸ δὲ τέλος ἀρείου, ἐπεὶ μὴ ἁπλῶς γέγονε, διὰ
τοῦτο καὶ διηγήσεως ἄξιόν ἐστι. τῶν γὰρ περὶ εὐσέβιον ἀπει-
λούντων εἰσαγαγεῖν αὐτὸν καὶ εἰς τὴν ἐκκλησίαν, ὁ μὲν
ἐπίσκοπος τῆς κωνσταντινουπόλεως ἀλέξανδρος ἀντέλεγεν.
ὁ δὲ ἄρειος ἐθάρρει τῇ βίᾳ, καὶ ταῖς ἀπειλαῖς εὐσεβίου.
σάββατον γὰρ ἦν, καὶ προσεδόκα τῇ ἑξῆς συνεισάγεσθαι.
πολὺς τοίνυν ἀγὼν ἦν. ἐκείνων μὲν ἀπειλούντων, ἀλεξάνδρου
δὲ εὐχομένου. ἀλλ' ὁ Κύριος κριτὴς γενόμενος. ἐβράβευσε κατὰ
τῶν ἀδικούντων. οὔπω γὰρ ὁ ἥλιος ἔδυ, καὶ χρείας αὐτὸν ἑλκυ-
σάσης εἰς τὸν τόπον, ἐκεῖ κατέπεσε. καὶ ἀμφοτέρων. τῆς τε
κοινωνίας, καὶ τοῦ ζῆν εὐθέως ἐστερήθη. καὶ ὁ μὲν μακαρίτης
κωνσταντῖνος εὐθὺς ἀκούσας ἐθαύμασεν, ἰδὼν ἐλεγχθέντα
τοῦτον ἐπίορκον. πᾶσι *τε τοῦτο γέγονε φανερόν. ὅτι τῶν δὲ
μὲν περὶ εὐσέβιον, ἠθένησαν αἱ ἀπειλαί. καὶ ἡ ἐλπὶς ἀρείου,
ματαία γέγονεν. ἐδείχθη δὲ πάλιν, ὅτι παρὰ τοῦ σωτῆρος,
ἀκοινώνητος γέγονεν, ἡ ἀρειανικὴ μανία, καὶ ὧδε καὶ τῇ
πρωτοτόκων ἐν οὐρανοῖς ἐκκλησίᾳ. τίς οὖν οὐ θαυμάσειεν,
ὁρῶν τούτους ἀδίκως φιλονεικοῦντας, οὓς ὁ Κύριος κατέκρινε.
καὶ βλέπων αὐτοὺς ἐκδικοῦντας τὴν αἵρεσιν, ἣν ὁ Κύριος ἀκοι-
νώνητον ἤλεγξε, μὴ ἀφεὶς τὸν ταύτης ἔξαρχον εἰσελθεῖν
εἰς τὴν ἐκκλησίαν. καὶ μὴ φοβουμένους τὸ γεγραμμένον,
ἀλλὰ ἀδύνατον ἐπιχειροῦντας. ἃ γὰρ ὁ θεὸς βεβούλευται, τίς
διασκεδάσει. καὶ ὃν ὁ θεὸς κατέκρινε τίς ὁ δικαιῶν. ἐκεῖ-
νοι μὲν οὖν ὡς ἰδίας φαντασίας ἐκδικοῦντες γραφέτωσαν
ἃ θέλουσιν. ὑμεῖς δὲ ἀδελφοὶ ὡς τοῦ Κυρίου σκεύη φέροντες,
καὶ τὰ τῆς ἀληθείας ἐκδικοῦντες δόγματα, παρακαλῶ
δοκιμασταὶ γένεσθε τοῦ πράγματος. καὶ εἰ μὲν ἑτέρας παρὰ
τὰς προειρημένας ἀρείου λέξεις γράφουσιν, αὐτόθεν ὡς
ὑποκριτῶν αὐτῶν καταγνῶτε, κρυπτόντων μὲν τὸν ἰὸν
τοῦ φρονήματος. σαινόντων δὲ κατὰ τὸν ὄφιν, τοῖς διὰ
χειλέων ῥήμασι. καὶ γὰρ καὶ ταῦτα γράφοντες, ἔχουσι
μεθ' ἑαυτῶν τοὺς ἐκβληθέντας τότε μετὰ ἀρείου. σε-
κοῦνδον τὸν πενταπολίτην. καὶ τοὺς ἐν ἀλεξανδρείᾳ τότε
λεχθέντας κληρικούς. τούτους τε γράφουσιν ἐν τῇ ἀλεξ-

ἀνδρείᾳ. καὶ τοῦτο θαυμαστόν, ἡμᾶς μὲν καὶ τοὺς μεθ'
ἡμῶν, ἐποίησαν διωχθῆναι. καίτοι τοῦ εὐσεβεστάτου κων-
σταντίνου μετ' εἰρήνης ἀποστείλαντος ἡμᾶς εἰς τὴν πατρίδα,
καὶ τὴν ἐκκλησίαν, καὶ κηδομένου τῆς ὁμονοίας τοῦ λαοῦ. τού-
τοις δὲ νῦν παραδοθῆναι πεποιήκασι τὰς ἐκκλησίας. ἵνα
πᾶσιν ἐλέγξωσιν, ὅτι τούτων χάριν, ἡ πᾶσα καθ' ἡμῶν ἐξ
ἀρχῆς καὶ κατὰ τῶν ἑτέρων, γέγονεν ἐπιβουλή. πῶς οὖν
ταῦτα ποιοῦντες δύνανται γράφοντες πιστεύεσθαι. εἰ γὰρ
ἔγραφον ὀρθῶς, ἐξήλειψαν, ἣν ἔγραψεν ὁ ἄρειος
θάλειαν. καὶ ἀπέβαλον ἂν τὰς τῆς αἱρέσεως παραφυάδας.
μαθηταὶ γὰρ αὐτοί, καὶ κοινωνοί, τῆς τε ἀσεβείας, καὶ τῆς
ἐπιτιμίας γεγόνασιν ἀρείου. ὅσον μὴ ἀποβάλλοντες τούτους,
ἔκδηλοι πᾶσιν εἰσί, μὴ ἔχοντες τὸ φρόνημα ὀρθόν, κἂν
μυριάκις γράφωσι. διὰ τοῦτο γρηγορεῖν προσήκει. μή-
ποτε τῇ περιβολῇ τῶν γραμμάτων, ἀπάτη τις γένηται.
καὶ παρενέγκωσι τινὰς ἀπὸ τῆς εὐσεβοῦς πίστεως. ἂν δὲ
τολμήσαντες τὰ ἀρείου γράφωσιν, ὁρῶντες ἑαυτοὺς ἐνδο-
λουμένους καὶ εὐθυνομένους, οὐδέν ἐστι λοιπόν, ἢ τῇ πολλῇ
παρρησίᾳ χρήσασθαι, μνημονεύοντας τῶν ἀποστολικῶν προρ-
ρήσεων. ἃς διὰ τὰς τοιαύτας αἱρέσεις, προμηνύων
ἔγραψεν. ὥστε καὶ ἡμᾶς εἰπεῖν πρέπει, οἴδαμεν, ὅτι
ὡς γέγραπται ἐν καιροῖς ἐσχάτοις, ἀποστήσονταί τινες
τῆς ὑγιαινούσης πίστεως προσέχοντες πνεύμασι πλάνοις,
καὶ διδασκαλίαις δαιμονίων ἀποστρεφομένων τὴν ἀλή-
θειαν. καὶ ὅσοι μὲν θέλουσι εὐσεβῶς ζῆν ἐν χριστῷ, διωχ-
θήσονται. πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες, προκόψουσι ἐπὶ
τὸ χεῖρον πλανῶντες, καὶ πλανώμενοι. ἀλλ' ἡμᾶς οὐδὲν
τι πείσει τούτων, οὐδὲ χωρίσει τῆς ἀγάπης τοῦ χριστοῦ. κἂν
οἱ αἱρετικοί, θάνατον ἡμῖν ἀπειλῶσι. χριστιανοὶ γάρ
ἐσμεν, καὶ οὐκ ἀρειανοί. εἴθε δὲ μηδὲ οἱ ταῦτα γράψαντες.
ἐφρόνουν τὰ ἀρείου. ναὶ ἀδελφοί. τοιαύτης παρρησίας
χρεία νῦν. οὐ γὰρ ἐλάβομεν πνεῦμα δουλείας πάλιν εἰς
φόβον. ἀλλ' ἐπ' ἐλευθερίᾳ κέκληκεν ἡμᾶς ὁ θεός. καὶ
ἔστιν ἀληθῶς αἰσχρόν, ἐὰν ἣν παρὰ τοῦ σωτῆρος διὰ
τῶν ἀποστόλων ἔχομεν πίστιν, ταύτην δι' ἄρειον, ἢ τοὺς
τὰ ἀρείου φρονοῦντας καὶ πρεσβεύοντας, ἀπολέσωμεν.
ἤδη μὲν οὖν πλεῖστοι καὶ τῶν μετὰ τούτων, μαθόντες τὴν
τῶν γραφόντων πανουργίαν, ἕτοιμοι μέχρις αἵματός εἰσιν
ἀντικαταστῆναι πρὸς τὰς ἐκείνων μεθοδείας. ἀκούοντες
μάλιστα τὰ περὶ τῆς ὑμῶν στερρότητος. ἐπειδὴ δὲ

ἐφ' ὑμῶν

ἐφ' ὑμῶν ἐξήλειπται ὁ κατὰ τῆς αἱρέσεως ἔλεγχος, καὶ
ὡς ὄφις ἐκ τῶν φωλεῶν ἡ αἵρεσις ἀποκεκάλυπται· παρ'
ὑμῶν τε τετήρηται τὸ παιδίον ὅπερ ἡρώδης τότε ἀνε-
λεῖν ἐπεζήτει. καὶ ζῇ ἐν ὑμῖν ἡ ἀλήθεια, καὶ ὑγιαίνει
παρ' ὑμῖν ἡ πίστις. διὰ τοῦτο παρακαλῶ, ἔχοντες ἐν διανοίᾳ
τὴν παρὰ τῶν πατέρων πίστιν, καὶ ταύτην ἐκδικοῦντες πολλῇ
προθυμίᾳ, καὶ τῇ εἰς τὸν κύριον πεποιθήσει. τύποι γίνεσθε
τοῖς πανταχοῦ διακειμένοις, ἀγῶνα προκεῖσθαι νῦν πρὸς τὴν
αἵρεσιν, ὑπὲρ τῆς ἀληθείας. καὶ ποικίλας εἶναι τοῦ διαβό-
λου τὰς μεθοδείας. οὐ γὰρ μόνον τὸ μὴ θῦσαι λίβανον, δείκ-
νυσι μάρτυρας. ἀλλὰ καὶ τὸ μὴ ἀρνήσασθαι τὴν πίστιν,
ποιεῖ τὸ μαρτύριον τῆς συνειδήσεως λαμπρόν. καὶ οὐχ
οἱ κλίνοντες εἰς εἴδωλα μόνοι κατεκρίθησαν ὡς ἀλλό-
τριοι, ἀλλὰ καὶ οἱ προδιδόντες τὴν ἀλήθειαν. ἰούδας γοῦν
οὐ θύσας ἀπεβλήθη τῆς ἀποστολικῆς τιμῆς, ἀλλὰ προδότης
γενόμενος. καὶ ὑμέναιος μὲν, καὶ ἀλέξανδρος, οὐκ εἰς εἴδωλα
τραπέντες ἀπεπήδησαν, ἀλλ' ὅτι περὶ τὴν πίστιν ἐναυά-
γησαν. πάλιν δὲ ἀβραὰμ ὁ πατριάρχης, οὐκ ἀναιρεθεὶς
ἐστεφανώθη, ἀλλ' ὅτι πιστὸς γέγονε τῷ θεῷ. οἵ τε ἄλλοι
ἅγιοι, περὶ ὧν ὁ παῦλός φησι. γεδεών. βαράκ. σαμψών.
ἰεφθάε. δαβίδ, τε καὶ σαμουήλ. καὶ οἱ σὺν αὐτοῖς, οὐχ αἵ-
ματος ἐκχυθέντος ἐτελειώθησαν, ἀλλὰ διὰ πίστεως
ἐδικαιώθησαν. καὶ μέχρι νῦν θαυμάζονται. ὅτι καὶ θά-
νατον ὑπομένειν ἦσαν ἕτοιμοι, διὰ τὴν εἰς τὸν κύριον εὐ-
σέβειαν. εἰ δὲ δεῖ προθεῖναι καὶ τὸ γενόμενον ἐφ'
ἡμῶν, οἴδατε πῶς ὁ μακαρίτης ἀλέξανδρος, μέχρι
θανάτου κατὰ τῆς αἱρέσεως ταύτης ἠγωνίσατο.
καὶ ὅσας θλίψεις, καὶ πηλίκους πόνους, καίτοι γέρων ὤν
ὑπομείνας ἐν τῇ πρεσβυτικῇ ἡλικίᾳ, προσετέθη καὶ
αὐτὸς πρὸς τοὺς πατέρας. πόσοι δὲ καὶ ἄλλοι, πόσους καμά-
τους ἐσχήκασι, κατὰ τῆς ἀσεβείας ταύτης. διδάσκο-
ντες, καὶ τὸ καύχημα τῆς ὁμολογίας ἔχουσιν ἐν χριστῷ.
οὐκοῦν ὡς περὶ τοῦ παντὸς ὄντος ἡμῖν ἀγῶνος καὶ προ-
κειμένου νῦν ἀρνήσασθαι, ἢ τηρῆσαι τὴν πίστιν, σπουδὴν
ταύτην καὶ πρόθεσιν ἔχωμεν. ἃ μὲν παρελάβομεν, φυ-
λάττειν ἔχοντες πρὸς ὑπόμνησιν, τὴν ἐν νικαίᾳ γρα-
φεῖσαν πίστιν. τὰς δὲ καινοτομίας ἀποστρέφεσθε. καὶ
διδάσκειν τοὺς λαοὺς μὴ προσέχειν πνεύμασι πλάνου.

ἀλλὰ παντελῶς ἐκκλίνειν ἀπὸ τῆς ἀσεβείας τῆς τῶν
ἀρειομανιτῶν, καὶ τῆς τῶν μελιτιανῶν περὶ αὐτοὺς συνω
μοσίας. ὁρᾶτε γὰρ ὡς τὸ πρότερον μαχόμενοι πρὸς αὐτούς,
νῦν ὡς ἡρώδης καὶ πόντιος συνεφώνησαν, εἰς τὴν κατὰ τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βλασφημίαν. ἐφ' ὧν καὶ μισήσειεν ἄν
τις αὐτοὺς δικαίως. ὅτι τὴν μὲν ἰδίαν ἔχθραν ἀπεχθάνον
το πρὸς ἀλλήλους. εἰς δὲ τὴν κατὰ τῆς ἀληθείας ἔχθραν,
καὶ τὴν εἰς τὸν θεὸν ἀσέβειαν, φίλοι γεγόνασι, καὶ ἀλ
λήλους δεξιοῦνται. πάντα τε παρὰ γνώμην πάσχειν ὑπο
μένουσι, διὰ τὴν ἑκάστου τῆς προθέσεως ἡδονήν. μελι
τιανοὶ μέν, διὰ τὴν προστασίαν καὶ τὴν μανίαν τῆς φι
λαργυρίας. ἀρειομανῖται δέ, διὰ τὴν ἰδίαν ἀσέβειαν.
ἵν' ἐν τῇ τοιαύτῃ συνωμοσίᾳ τὴν ἰδίαν ἀλλήλοις κακό
νοιαν περιποιεῖν δύνωνται. καὶ οὗτοι μέν, τὴν ἀσέβειαν
τούτων ὑποκρίνωνται. οὗτοι δέ, τῇ πονηρίᾳ συντελοῦσιν
ἐκείνων τῇ κακίᾳ. καὶ λοιπόν, κοινῇ τὰ ἴδια ἑαυτῶν πο
νηρεύματα, ὥσπερ τὸ τῆς βαβυλῶνος ποτήριον κε
ράσαντες, ἐπιβουλεύουσι τοῖς εὐσεβοῦσιν ὀρθῶς, εἰς τὸν
κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἦν μὲν οὖν ἡ πονηρία, καὶ ἡ συκο
φαντία τῶν μελιτιανῶν, καὶ πρὸ τούτου πᾶσι φανερά.
ἦν δὲ καὶ ἡ ἀσέβεια καὶ θεομάχος αἵρεσις τῶν ἀρειανῶν,
πάλαι πανταχοῦ καὶ πᾶσιν ἔκδηλος. οὐ γὰρ ὀλίγος
ἐστὶ χρόνος. ἀλλ' οἱ μέν, πρὸ πεντήκοντα καὶ πέντε
ἐτῶν, σχισματικοὶ γεγόνασιν. οἱ δέ, πρὸ τριάκοντα
καὶ ἓξ ἐτῶν, ἀπεδείχθησαν αἱρετικοί, καὶ τῆς ἐκκλη
σίας ἀπεβλήθησαν, ἐκψηφίσεως πάσης τῆς οἰκουμε
νικῆς συνόδου. ἐξ ὧν δὲ νῦν ἔδρασαν, δέδεικται λοι
πόν, καὶ τοῖς δοκοῦσιν ἀποπεριποιεῖσθαι φανερῶς, ὡς
δι' οὐδὲν ἕτερον καθ' ἡμῶν, καὶ κατὰ πάντων τῶν
ὀρθοδόξων ἐπισκόπων, τὴν ἐξ ἀρχῆς ἐπιβουλὴν πε
ποιήκασιν, ἢ διὰ τὴν ἰδίαν τῆς ἀσεβείας ἑαυτῶν
αἵρεσιν. ἰδοὺ γὰρ τὸ πάλαι σπουδαζόμενον τοῖς περὶ
εὐσέβιον, γέγονε νῦν. καὶ ἀφ' ἡμῶν μὲν πεποιήκασιν
ἁρπαγῆναι τὰς ἐκκλησίας, ἐπισκόπους τε, καὶ
πρεσβυτέρους μὴ κοινωνοῦντας αὐτοῖς, ἐξώρισαν ὡς
ἠθέλησαν. καὶ τοὺς λαοὺς ἀποστρεφομένους αὐτοὺς
ἐζημίωσαν, καὶ ἐξέκλεισαν τῶν ἐκκλησιῶν. τοῖς
δὲ ἀρειανοῖς τοῖς πρὸ τοσούτου χρόνου καταγνωσθεῖσιν,

παραδε

παρεσκευάκασιν αὐτάς· ἵνα σώζωσιν αὐτοῖς καὶ τῆς μελι-
τιανῶν ὑποκρίσεως, ἐπ' ἀδείας ἔχωσιν ἐν αὐταῖς, τὰ
τῆς ἑαυτῶν ἀσεβείας ἀποπτύειν ῥήματα, καὶ προκατα-
σκευάζειν, ὥστε νομίζουσι τῷ τὴν αἵρεσιν αὐτοῖς ἐπισπ-
είραντι, τῷ ἀντιχρίστῳ τὴν τῆς ἀπάτης ὁδόν. ἐκεῖνοι
μὲν οὖν τοσαῦτα νοσήσαντες, φανταζέσθωσαν μάτην. οἴδα-
μεν γάρ, ὅτι καὶ ὁ φιλάνθρωπος βασιλεὺς ἀκούσας, κατα-
λύσει τὰς πονηρίας αὐτῶν. οὐ γὰρ χρονίσουσιν, ἀλλὰ κα-
τὰ τὸ γεγραμμένον, καρδίαι τῶν ἀσεβῶν, ταχέως
ἐκλείψουσιν, [redacted] ἡμεῖς δέ, ὡς πρὸς ἀποστάτας,
καὶ θέλοντας μανίαν ἐν οἴκῳ θεοῦ καταπῆξαι, ἠμφιεσμένοι
κατὰ τὸ γεγραμμένον τοῖς λόγοις τῶν θείων γραφῶν,
ἀντικαταστῶμεν. καὶ μήτε θάνατον σωματικὸν φοβη-
θῶμεν, μήτε τὰς τούτων ὁδοὺς ζηλώσωμεν. ἀλλὰ παντὸς
μᾶλλον προκρινέσθω τῆς ἀληθείας ὁ λόγος. καὶ γὰρ
καὶ ἡμεῖς ὡς οἴδατε πάντες, ἀξιούμενοι τότε παρὰ τῶν
περὶ εὐσέβιον, ἢ ὑποκρίνασθαι σὺν αὐτοῖς τὴν ἀσέβειαν,
ἢ προσδοκᾶν ἐπιβουλὴν παρ' αὐτῶν, οὐκ ἠθελήσαμεν
αὐτοῖς συγκαταθέσθαι. ἀλλὰ μᾶλλον εἱλόμεθα διώκεσθαι
παρ' αὐτῶν, ἢ τὸν ἰούδα μιμήσασθαι τρόπον. ἀμέλει πεποί-
ηκασιν ὅπερ ἠπείλησαν. καὶ μιμησάμενοι τὴν ἰεζάβελ, ἐξ
καθέτους ἑαυτοῖς τοὺς μελιτιανοὺς κατεσκεύασαν. εἰδότες
πῶς κατὰ τοῦ μακαρίτου πέτρου τοῦ ἐπισκόπου καὶ μάρτυ-
ρος, καὶ μετ' αὐτὸν τοῦ μεγάλου ἀχιλλᾶ. εἶτα, κατὰ τοῦ μα-
καρίτου ἀλεξάνδρου γεγόνασιν. ἵν' οὕτω καὶ μεθ' ἡμῶν ὥσπερ
τοῦτο μελετήσαντες, ὑποκρίνωνται μὲν οὗτοι, ἅπερ ἂν αὐτοῖς
ὑποβληθῇ· ἐκεῖνοι δὲ πρόφασιν λάβωσι τοῦ διώκειν, καὶ ζη-
τεῖν ἡμᾶς ἀποκτεῖναι· τοῦτο γὰρ διψῶσι. καὶ οὐ παύονταί γε
μέχρι νῦν τὸ αἷμα θέλοντες ἡμῶν ἐκχέειν. ἀλλὰ τούτων οὐδεμία
μοι φροντίς. οἶδα γὰρ καὶ πέπεισμαι, ὅτι τοῖς ὑπομένουσιν,
ἔσται μισθὸς παρὰ τοῦ σωτῆρος. καὶ ὅτι ὑμεῖς ὑπομείναντες ὡς οἱ
πρὶν τύποι γενόμενοι τοῖς λαοῖς καὶ ἀνατρέποντες τὴν ξένην
ταύτην καὶ ἀλλοτρίαν ἐπίνοιαν τῶν ἀσεβῶν, ἕξετε μὲν
τὸ καύχημα λέγοντες, τὴν πίστιν τετηρήκαμεν. ἀπολή-
ψεσθε δὲ τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο τοῖς ἀγα-
πῶσιν αὐτόν. γένοιτο δὲ κἀμοὶ μεθ' ὑμῶν τῶν ἐπαγγελιῶν, τὰς
μὴ μόνον τῷ παύλῳ τηρηθείσας, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγα-
πηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ τοῦ κυρίου, καὶ σωτῆρος,
καὶ θεοῦ, καὶ παμβασιλέως ἡμῶν ἰησοῦ χριστοῦ. δι' οὗ τῷ πατρὶ

ἡ δόξα καὶ τὸ κράτος, ἐν πνι ἁγίῳ· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:

Τῶν πρακτικῶν τῆς πρώτης συνόδου, τέλος.

# ΘΕΟΔΩΡΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΟΥ ΡΑΙΘΟΥ

προπαρασκευὴ* καὶ γυμνασία, τῷ βουλομένῳ μαθεῖν, τίς ὁ τρόπος τῆς θείας ἐνανθρωπήσεως καὶ οἰκονομίας, καθ' ὃν πέπρακται· καὶ τίνα τὰ πρὸς τούτους τὴν μὴ ὀρθῶς νοοῦντας λεγόμενα, παρὰ τῶν τῆς ἐκκλησίας τροφίμων. ως

Ἄτοπον οἶμαι, καὶ κακῶς γε τοῦτο νενόμικα (καὶ γάρ ἐστιν ὄντως ἄτοπον) εἰ οὗτοι μὲν οἱ ἐξ ἐναντίας, καὶ δουλεύοντες τῷ ψεύδει συνιστάμενοι, καὶ στρατευόμενοι κατὰ τῆς ἀληθείας, οὕτω καρτερῶς καὶ ἀδιαλείπτως πολεμοῦσι τὴν μόνην καθολικὴν καὶ ἀποστολικὴν τοῦ θεοῦ ἐκκλησίαν, ὥστε καὶ τὰ παρ' αὐτοῖς παιδία, μήπω τρανωθείσης αὐτοῖς τῆς γλώσσης, πρὶν εἰς διδασκάλους φοιτῆσαι, καὶ τὰ πρῶτα στοιχεῖα μαθεῖν, ἀκονᾶσθαι, καὶ ἐμβιβάζειν, ὅπως λέγειν καὶ ἀμύνειν δύναιτο, ὑπὲρ τοῦ παρ' αὐτοῖς πρεσβευομένου δόγματος, ἡμᾶς δὲ οὕτω καταρραθυμεῖν καὶ *πεπλωκέναι, ὡς μηδὲ αὐτὸ τοῦτο σπουδάζειν εἰδέναι, τίς ἡ διαφορὰ τούτων πρὸς τὴν ἐκκλησίαν, καὶ ἐκ ποίων ἀρχῶν, ὁ πρὸς ἡμᾶς αὐτοῖς συνέστηκε πόλεμος. τίνες τε καὶ οἱ ἡγεμόνες αὐτῶν εἰσι, ἀφ' ὧν ἔχουσι τὴν προσωνυμίαν. διὰ ταῦτα μὴ πάρεργον ἡγεῖσθαι ὀφείλομεν τὴν περὶ ταῦτα σχολήν. μηδὲ ἐπεὶ θεοῦ χάριτι καὶ εὐμενείᾳ, εἰρηνεύει τὰ τῆς ἐκκλησίας, ἐν γαλήνῃ τε καὶ ἀταραξίᾳ ἐσμέν, πάσης αἱρέσεως ἐκποδών, εἰς τοὺς ἑαυτῆς φωλεοὺς κατακεκρυμμένης, ἤδη καὶ ἡμεῖς ἄοπλοί τινες ὦμεν, καὶ ἀπειροπόλεμοι, μήπως καὶ ἄφνω ἐνστάντος πολέμου, γυμνοὶ καὶ ἀπαράσκευοι εὑρεθέντες, ὑπὸ τῆς δυσσεβείας ἀναιρεθῶμεν. ἕως ἐξ εὐδίας πλεῖς, φοβήθητι τὸ ναυάγιον, ὁ θεολόγος φησὶ Γρηγόριος, καὶ ἧττον ναυαγήσεις, τῇ δειλίᾳ βοηθῷ χρώμενος. τοίνυν κατὰ τὴν ἐντολὴν τοῦ κορυφαίου τῶν ἀποστόλων, ἕτοιμοι γενώμεθα πρὸς ἀπολογίαν ἀεί, παντὶ τῷ αἰτοῦντι ἡμᾶς λόγον, περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, μετὰ πραΰτητος καὶ φόβου συνείδησιν ἔχοντες ἀγαθήν, ἵνα εἰ τὸν ὁ πολέμιον πάντως ἡμῖν ἀπαξιοῖ διὰ τῆς τοιαύτης ἀξιεπαίνου σπουδῆς, ἢ τὸ σώζειν τοὺς ἀπολογίζοντας ἑαυτούς, καὶ ἐκ τῆς πονηρᾶς διακρίσεως ταύτης αὐτοὺς ἐξαρπάζειν, κατὰ παραινεῖ ὁ κατ' ἐπίκλην ἀδελφὸς τοῦ κυρίου. ἢ εἰ μὴ τοῦτο, κἂν

*ἀναπεπτωκέναι

ἀποφαίνειν αὐτοῦ τὸ σῶμα τοῖς δικαίοις ἐλέγχοις, ὡς μηδὲ καιρὸν ἔχειν αὐτοὺς ἀθυρογλωττεῖν κατὰ τῆς ἀληθείας· ὃ δὲ τούτου τιμιώτερόν τε καὶ μεῖζον, ἵνα ἡμεῖς αὐτοὶ γινώσκωμεν, καὶ τῇ πληροφορώμεθα, ἐφ' οἷα πίστει ἑστήκαμεν· καὶ καυχώμεθα παρρησιαζόμενοι, καὶ ἐλευθεροστομοῦντες τῇ αὐτῆς ὁμολογίᾳ· οὗ χάριν, τὰς ταύτῃ ἀντικειμένας ἀποστρεφόμεθα. πέπεισμαι δὲ, ὅτι καὶ κατὰ τὸν καιρὸν τῆς ἀνταποδόσεως, μείζων ὁ μισθὸς ἔσται, καὶ ἡ ἀποδοχὴ πλείων τῆς μεταγνώσεως ἐπιμελοῦς, ἀγαθότητι καὶ ἐρασμίως ἐχομένους τῆς εὐσεβείας, τῶν ἁπλῶς καὶ ὡς ἔτυχεν, ἐκ πατροπαραδότου συνηθείας, ἐν τῇ αὐτῇ πίστει γνωριζομένων. οἱ μὲν γὰρ κατατετριμμένως μόνον, οἱ δὲ καὶ ἀπὸ διανοίας καὶ γνώμης πιστοὶ γενόμενοι εὑρίσκονται, ὡς εἴπερ ἔτυχεν ἐκείνους τοὺς ῥαθύμους, καὶ οὐκ ἐξεταστικοὺς ὑπὸ αἱρετικῶν γονέων ὑπάρξαι, οὐδ' ἂν ἐστράφησαν τὴν πατρῴαν δυσσέβειαν ἀποδύσασθαι. οὕτω καταγνωστὸν ἡ ἀμαθία, καὶ τὸ μὴ θέλειν διδάσκεσθαι. διὰ τοῦτο καὶ εἴρηται· σοφίαν καὶ παιδείαν ὁ ἐξουθενῶν, ταλαίπωρος. ὁ δὲ ἀγαπῶν παιδείαν, εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης. ἵνα δὲ εὔληπτα γένηται παντὶ τῷ ἐντυγχάνοντι τῷ προκειμένῳ πονήματι, τὰ πρὸς τοὺς δι' ἐναντίας λεγόμενα μικρά τινα περὶ εἰσαγωγὴν συντάξαι, ἀναγκαῖον ἐνόμισα. ὧν καὶ ἀρχόμενος, οὕτω φημί: Δόξα Μάνεντος.

ἀντιθέου α'. Μάνης ὁ τοῦ* ἀντιθέου σκότους ἐφευρετής, μᾶλλον δὲ τῆς ἐξουσίας τοῦ σκότους ἀνάπλασμα, φαντασίᾳ ψιλῇ καὶ σχήματι διακένῳ σώματος ἀνθρωπίνου πεφανερῶσθαι, τὸν Χριστὸν ἐφαντάσθη, ὡς ἀληθῶς, καὶ ὡς ὀνειρώξεν.* ὥστε φησὶ καὶ πάσχειν δοκεῖν αὐτόν, καὶ πράττειν ἀπεργάζεσθαι. καὶ πεπονθέναι καθ' ἡμᾶς* μηδὲν δὲ τούτων, πράγματι, καὶ ἀληθείᾳ ὑπάρξαι, ἀλλὰ δοκήσει μόνον καὶ ἀπάτῃ ἀποσχολεῖν τοὺς ἀνθρώπους. οἷς καὶ συναναστρέφεσθαι νενόμικε· διὰ τοῦτο καὶ δύο φύσεις παραιτεῖται λέγειν ἐπὶ τοῦ Χριστοῦ. ἀλλὰ μίαν τὴν τῆς θεότητος· ὡς ἅτε* τοῦ πεφενακισμένου ἐκείνου σχήματος, μὴ ἀξιουμένου παρ' αὐτοῦ, ἀνθρωπίνην φύσιν κατονομάζεσθαι:

[margin: φησὶ γὰρ καὶ / καὶ μηδ.]

[margin: τὸ πεφενακισμένον παρ' αὐτοῦ ἀνθρωπίνην φύσιν καλεῖ.]

Δόξα Παύλου Σαμοσατέως:

β'. Παῦλος δέ τις, τούτῳ τῷ Μάνεντι σύγχρονος γενόμενος, Σαμοσατεὺς μὲν τὸ γένος. Ἀντιοχείας δὲ τῆς Συρίας πρόεδρος, ψιλὸν ἄνθρωπον εἶναι

τὸν Χριστὸν

τοῦ Χριστοῦ ἐβλασφήμησεν· ὥσπερ δὲ εἰς ἕκαστον τῶν προφητῶν, οὕτω καὶ ἐν αὐτῷ γενέσθαι, τοῦ θεοῦ λόγου τὴν οἴκησιν. ἔνθεν καὶ δύο φύσεις διῃρημένας ἐχούσας, καὶ ἀκοινωνήτους πρὸς ἑαυτάς, παντάπασιν, εἶναι ἐν τῷ Χριστῷ, ὡς ἄλλου ὄντος αὐτοῦ τοῦ Χριστοῦ, καὶ ἄλλου τοῦ ἐν αὐτῷ κατοικοῦντος θεοῦ λόγου. αὗται μὲν οὖν αἱ πρῶται φωναὶ τοῦ τὴν μίαν φύσιν, καὶ τὰς δύο, κακῶς καὶ δυσφήμως λέγεσθαι ἐπὶ τοῦ σωτῆρος Χριστοῦ. τὸ μὲν, ἐπ' ἀναιρέσει τῆς ἀνθρωπότητος, τὸ δὲ, τῆς θεότητος: χρόνου δὲ οὐ μακροῦ προϊόντος.

δόγματα, ἀπολιναρίου:

γ' Ἀπολινάριός τις, πρόεδρος γενόμενος Λαοδικείας τῆς Συρίας τῆς παράλου, ἑτέρας ματαιοφροσύνης ἦρξατο. τῶν γὰρ ἀρειανῶν πάλαι πᾶσαν ἄψυχον λεγόντων τὴν τοῦ Χριστοῦ σάρκα, αὐτὸς ὁ Ἀπολινάριος ἔφη, ὅτι σάρκα μὲν ἐψυχωμένην ψυχῇ ζωτικῇ, ἀνέλαβεν ὁ θεός. νοῦν δὲ τὸν ἡμέτερον οὐ προσείληφε. μὴ δὲ γὰρ δεηθῆναι νοὸς ἀνθρωπίνου ἐκείνην τὴν σάρκα, ἡγεμονευομένην, ὑπὸ τοῦ αὐτὴν ἐνδεδυκότος θεοῦ λόγου. ἀλλὰ μὴ δὲ χωρεῖν αὐτὴν, ἄλλην νοερὰν δύναμιν παρὰ τὴν θείαν. μὴ δὲ γὰρ αὐτὸν τὸν ἀνθρώπινον νοῦν ὑποστῆναι δύνασθαι τὴν μετὰ τοῦ κρείττονος καὶ δεσπότου ἐνοίκησιν. ταῦτα ὑποθέμενος, διατείνεται μίαν εἶναι φύσιν τοῦ λόγου καὶ τῆς σαρκός. ὡς ἅτε τῆς σαρκὸς ἀτελοῦς οὔσης, εἰς τὸ εἶναι ἄνθρωπον ὅλον. καὶ διὰ τοῦτο μὴ δὲ ἀξίας φύσιν προσαγορεύεσθαι.

δόγματα θεοδώρου *μομψεστίας: μοψυεστίας

δ' Μετὰ τοῦτον δὲ τὸν Ἀπολινάριον, εὐθέως ἀναφαίνεταί τις θεόδωρος, τῆς *μομψεστίας πόλεως, οὕτω λεγομένης, ἐν τῇ Συρίᾳ τῶν Κιλίκων (μοψυεστίας) τὴν ἡγεμονίαν λαχών. ὃς ἐκ διαμέτρου τῷ Ἀπολιναρίῳ φερόμενος, ὕβρεσιν οὐ ταῖς τυχούσαις, τολμηρᾷ ψυχῇ καὶ ἀφόβῳ καρδίᾳ *καταλέγει τοῦ δεσπότου Χριστοῦ (καταλέγει). αὐτὸν ἕνα τῶν καθ' ἡμᾶς κοινὸν ἀποκαλῶν. καὶ ἐκ προκοπῆς λαβόντα τὴν χάριν τοῦ θεοῦ, θεὸν ὀνομάζεσθαι. καὶ ἐκ τοῦ ἐν τῷ Ἰορδάνῃ βαπτίσματος, ἀξιωθῆναι ἐν πρώτοις τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς, εἰς ὄνομα πατρὸς καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος βαπτισθέντα. τὸν δὲ θεὸν λόγον, διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν κατ' εὐδοκίαν αὐτῷ κατοικήσαντα, μεταδοῦναι αὐτῷ τῆς θεϊκῆς ἀξίας καὶ προσκυνήσεως, εἰς ὕστερον μετὰ τὴν τελείωσιν. ταῦτά τε καὶ ἕτερα πολλὰ δυσφημήσας τοιαῦτα δύο φύσεις ἰδιοπεριορίστους φησὶν εἰδέναι ἐπὶ Χριστοῦ. σχέσει τινὶ, καὶ μόνον ἀλλήλαις ἐρχειριμένας. δευτέρα καὶ αὕτη *πλάσει τοῦ μίαν φύσιν καὶ δύο φύσεις, ἰδιοπεριορίστους, μὴ κατὰ τὸν ὀρθὸν λόγον φυσιολογεῖσθαι ἐν τῷ Χριστῷ. (πλάνη)

δόγμα νεστορίου:

Μετὰ *τούτους δὲ γίνεταί τις νεστόριος ὀνόματι. ὃς ὡρμᾶτο μὲν ἀπὸ (δὲ τοῦτον)

γερμανικίας

*γερμανικείας τῆς ἐν συρίᾳ· καλεῖται δὲ ἐν ἀντιοχείᾳ τῇ παρὰ τὸν
ὀρόντην ποταμόν· κωνσταντινουπόλεως δὲ τὸν θρόνον λαμβάνει· οὗτος
πάλιν τῇ φωνῇ τῶν δύο φύσεων τῶν ἐν Χριστῷ, κακοφρόνως ἀποκέχρηται,
ὁμοίως παύλῳ καὶ θεοδώρῳ τοῖς ἑαυτοῦ προγόνοις· οὐχ ἵνα τὴν ἀλη-
θότητα τῆς κατὰ Χριστὸν* θεότητος, καὶ ἀνθρωπότητος, καὶ τὴν τούτων ἀτρεψίαν
καὶ ἐπιμονὴν καὶ ἀσυγχυσίαν σημάνῃ, τὸν ἀριθμὸν τῶν δύο καταφράσει
φύσεων, ἀλλ' ἵνα δύο πρόσωπα, διὰ τοῦ τῶν δύο ἀριθμοῦ δολερῶς ὑπ-
αινίξηται, τὴν τῶν φύσεων κλῆσιν ἀντὶ τῶν προσώπων λαμβάνων, καὶ
κρύφιος ὡς ἀληθῶς καὶ κακοήθης, τῇ πεπαρρησιασμένῃ προσωνυμίᾳ τῶν
φύσεων, τὸ ἀπηγορευμένον τῶν προσώπων εἰσάγων· ὥστε ἄλλον εἶναι
παρ' αὐτῷ τὸν Χριστόν, καὶ ἄλλον τὸν θεοῦ λόγον, κατὰ τὴν πατρῴαν αὐ-
τοῦ πλάνην· υἱὸς γὰρ ἦν τοῦ κίλικος· τοῦ δὲ σαμοσατέως, ἀπόγονος.
καὶ διὰ τοῦτο πρὸς τὴν σεμνὴν παρθένον, ἄσπονδον ἤρατο πόλεμον.
μὴ δυσωπηθεὶς, τὴν θεομήτορα καὶ ἁγνὴν μαρίαν ὡς δεσπότου
μητέρα· ἀλλ' ὡς δοῦλος τραχηλιαστὴς καὶ ἀναιδῶς ἀρνούμενος τὸν
ἑαυτοῦ Χριστὸν, καὶ ἀτιμάζων τὴν *δέσποιναν ἑαυτοῦ. βασκαίνων οὐ τοσοῦ-
τον αὐτῇ τῆς *θεοτόκου προσηγορίας, ὅσον τῆς θεότητος, τῷ ἐξ αὐτῆς
γεννηθέντι. οὗτος μὲν οὖν ὁ νεστόριος, πρῶτος προστάτης τῆς ἰουδαϊκῆς
ταύτης αἱρέσεως γεγονὼς, εἰς ἑαυτὸν αὐτὴν περιέσπασεν.

θεότητός τε

ἐκείνου μητέρα.

θεοτόκου π. ὅ. τ. θεότητος τῷ

Δόξα εὐτυχοῦς:

Τῆς δὲ ἀντιθέτου μοίρας τῆς κατὰ μάνην καὶ ἀπολινάριον, τρίτος
πάλιν προστάτης, ὁ εὐτυχὴς ἀναφαίνεται. ὃς ἦν ἡγούμενος μονα-
στηρίου ἑνὸς τῶν περὶ τὸ βυζάντιον. οὗτος γὰρ μὴ ἀνεχόμενος ὁμοούσιον
ἡμῖν καὶ ὁμοφυῆ τὴν σάρκα τοῦ Χριστοῦ ὁμολογεῖν, τὰς δύο φύσεις ἀπ-
ηρνεῖτο ὀρθοδόξως λέγειν ἐν τῷ Χριστῷ, μετὰ τῆς τούτων ἑνώσεώς τε καὶ
συμφυΐας. οὐ μόνον δὲ, ἀλλὰ καὶ τερατώδη τινὰ καὶ ἀλλόκοτα ἐπ-
λάττεν. ἐξ οὐρανοῦ λέγων κατενεχθῆναι τοῦ Χριστοῦ τὸ σῶμα· καὶ ὡς διὰ σω-
λῆνος τῆς παρθένου παραδεχομένην τὸν θεοῦ λόγον οὐρανόθεν, τοῦτο ἐνδε-
δυμένος, ἵνα δόξῃ δῆθεν γεγεννῆσθαι ἐκ γυναικὸς, καὶ πρὶν μὴ γεγεννη-
μένος. μανιχαῖος ὁ λοιπὸς οὗτος, καὶ πεφαντασιασμένος, πολλῷ μᾶλλον
ἐκείνου. καὶ οὗτος οὖν μίαν φύσιν τὸν Χριστὸν, διεστραμμένῃ καρδίᾳ ἐπρέ-
σβευσε*· τῶν οὖν δύο μερῶν τούτων, τῆς τε κατὰ μάνην, καὶ ἀπολινάριον
καὶ εὐτυχέα, καὶ τοῦ κατὰ παῦλον καὶ θεόδωρον, καὶ νεστόριον, τῶν μὲν
μίαν φύσιν· τῶν δὲ, δύο φύσεις ἐξ ἐναντίας ἀλλήλων τὸν δεσπότην
Χριστὸν ἀμαθῶς εἰρηκότων, τὰς ἐφ' ἑκάτερα κακίστας μετατροπὰς, καὶ

ὅρος τῆς ἐκκλησίας.

δυσσεβεῖς

δυσσεβεῖς παρεγκλίσεις ἀποπανομένη ἡ καθολικὴ ἐκκλησία, μέσην ἀμφοῖν
βαδίζει, ὁδὸν βασιλικὴν πορευομένη· μὴ ἐκκλίνουσα εἰς τὰ δοκοῦντα δεξιά,
μηδὲ εἰς τὰ προφανῆ ἀριστερά· κατὰ γὰρ μάνητα, καὶ ἀπολινάριον,
καὶ εὐτυχέα, μίαν φύσιν ἁπλῶς ἐπὶ Χριστοῦ λέγειν οὐ παραδέχεται· ἀλλὰ
μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην. διὰ τῆς προσθήκης τοῦ σεσαρ-
κωμένην, δηλοῦσα τὴν φύσιν τῆς ἀνθρωπότητος. ἡ γὰρ φύσις τοῦ θεοῦ λόγου
προσλαμβανομένη, ἅμα τε καὶ συνοῦσα ταύτῃ, εἷς καὶ ὁ Ἰησοῦς Χριστὸς γέγονεν.* οὐδὲ — αὐτὴ γὰρ ἡ τ. θ. λ. φ. οὐδὲ ἑτ.
αὐτὴ ἡ τοῦ θεοῦ λόγου φύσις, ἑτέρα παρ' ἑαυτήν, καὶ τῶν κατ' αὐτὴν* θεο- — θεοπρεπῶν
πρεπῶν ἀνοχιμάτων* γενομένη, εἰ καὶ ἐν προσλήψει σαρκὸς γέγονε σαρκὸς — ἐξ[illegible]
δὲ οὐχ ἁπλῶς (τοῦτο γὰρ ἀρειανικόν) ἀλλὰ σαρκὸς ἐμψυχωμένης· καὶ οὐχὶ
ἐμψυχωμένης μόνον (πάλιν γὰρ ἀπολιναρίου καὶ τοῦτο) ἀλλ' ἐμψυχωμένης
ψυχῇ νοερᾷ καὶ λογικῇ. οὐδὲ μὴν τὴν ἀνθρώπου φύσιν ἧς ἐν προσλήψει γέγονεν,
εἰς ἑαυτὴν ἀνέχεεν, ἢ αὐτὴν ἐκείνην ἠλλοίωσεν, ἔξω τοῦ κατὰ τὸν φυ-
σικὸν αὐτῆς καὶ οὐσιώδη ὅρον καὶ λόγον. οὐδὲ ὡς κηρὸν πῦρ τὴν ἐξε-
δαπάνησεν. ὥστε τὸν* ὅλον ὅρον τὸν ταῦτα δηλοῦντα, οὑτωσί λέγεσθαι — ὅρον ὅλον ταῦτα
παρὰ τῶν εὐσεβῶν, μία φύσις τοῦ θεοῦ λόγου σεσαρκωμένη· σαρκὶ ἐμψυ-
χωμένῃ ψυχῇ νοερᾷ καὶ λογικῇ. πάλιν δὲ κατὰ παῦλον, καὶ θεόδωρον,
καὶ νεστόριον, δύο φύσεις ἁπλῶς ἐπὶ Χριστοῦ λέγειν, ἀποδεδοκίμακεν ὁ
λόγος ὁ ἐκκλησιαστικός· ἀλλὰ δύο φύσεις οὐσιωδῶς ἡνωμένας· διὰ τῆς
ἐπαγωγῆς ταύτης, ἀποβαλλόμενος πᾶσαν διαιρετικὴν ἔννοιαν. καὶ τὸν καθ'
ὁτιοῦν ἐπιχειροῦντα διαζευγνύναι, τὴν* οὕτως ὑπερφυᾶ καὶ θαυμάσιον ἕνω- — ὄντως
σιν. καὶ οὐ μόνον δύο φύσεις οὐσιωδῶς ἡνωμένας, ἀλλὰ καὶ ἑνώσει τῇ καθ'
ὑπόστασιν, ἀδιασπάστως ἅμα, καὶ ἀσυγχύτως*: Ἐξήγησις τοῦ ὅρου: — σημαίνων.

Ὁ δὲ τοιοῦτος ὅρος, διὰ μὲν τοῦ λέγειν δύο φύσεις, σημαίνει τὸ ἑτερογενές,
καὶ ἑτερούσιον, τῶν συνελθουσῶν δύο φύσεων· τῆς, τε προσλαβούσης θεότητος,
καὶ τῆς προσειλημμένης ἀνθρωπότητος. διὰ δὲ τοῦ λέγειν οὐσιωδῶς ἡνω-
μένας, σημαίνει τὸ μὴ κατ' εὐδοκίαν, ἢ ἑτέραν τινὰ σχετικὴν ἔν-
νοιαν νοεῖσθαι τὴν τῶν δύο φύσεων ἕνωσιν. ἀλλ' αὐτὰς οὐσίας καὶ ὑποκει-
μένας, καὶ πράγματι συνυφεστάναι ταύτας καὶ συντεθεῖσθαι. διὰ δὲ τοῦ
λέγειν ἑνώσει τῇ καθ' ὑπόστασιν, σημαίνει τὸ μὴ* προτέραν διαπεπλάσθαι — προτέραν
τὴν ἀνθρωπότητα, καὶ οὕτως αὐτῇ εἰσδεδοχέναι τὴν θεότητα. ἀλλ' ὅτι κατ'
αὐτὸ τὸ ὑφίστασθαι τὴν πρώτην ἀρχήν, ἥνωται τῇ θεότητι. διὰ δὲ τοῦ
ἐπάγειν ἀδιασπάστως ἅμα καὶ ἀσυγχύτως, σημαίνει* μηδὲ καινοτομη- — μὴ καιν.
θῆναι τὰς συνελθούσας φύσεις διὰ τῆς ἑνότητος. ἀλλὰ καὶ τὴν ἕνωσιν
τούτων, ἀεί τε καὶ ὡσαύτως διαπεφυλάχθαι, καὶ ἑκατέραν τῶν φύσεων

μένων ἀμειώτως ἐπὶ τοῦ θεσπιώδει αὐτῆς ὅρου καὶ λόγου. ταῖς οὖν τοιαύταις
ἀντιπαρεξάσοις ἐπωνυμίαις, τοὺς ἐξ ἑκατέρου μέρους ἀποσφαλέντας,
μακρὰν ἀποπέμπεται ὁ λόγος τῆς ἐκκλησίας. καὶ τοῖς συκοφαντεῖν
ἐθέλουσι τὴν ἀλήθειαν, χώραν οὐ δίδωσιν. εἰ μὲν γάρ τις φιλοδιαιρέ-
της διὰ τῆς τῶν δύο φύσεων ὁμολογίας, δύο ὑποστάσεις, ἤγουν δύο
πρόσωπα συναγαγεῖν ἐπιχειρήσειεν, οὐχ ἥκιστα μὲν καὶ ταῖς προλεχθείσαις
ἐπωνυμίαις. πολλῷ δὲ μᾶλλον τῷ ἑτέρῳ τῶν ὅρων διελέγχεται, καὶ
μάλα ῥᾳδίως. φημὶ δὲ τῷ, μία φύσις τοῦ θεοῦ λόγου σεσαρκωμένη.
παρίστησι οὐκ α. π. ἐ. ὐ. γνωσθῆναι — οὗτος γὰρ ὁ ὅρος ἐναργῶς* παρίστησι, μὴ ἄν ποτε ἐν ὑποστάσει τὸ καθόλου
γνωσθῆναι, τὴν κατὰ Χριστὸν ἀνθρωπότητα, εἰ μὴ ἡ τοῦ λόγου θεία καὶ φύ-
σις ὑπεισελθοῦσα τὴν παρθενικὴν νηδύν, ἐξ αὐτῆς ἀρρήτως λόγῳ ταύ-
την ἑαυτῇ περιεμόρφου καὶ περιέπλαττεν. ὥστε μὴ δὲ αὐτὰς τὰς πρώ-
τας τῆς ζωοπλασίας ἀρχάς, ἐσχηκέναι τὴν προσληφθεῖσαν φύσιν,
ἄνευ τῆς θεσπιώδους καὶ φυσικῆς ἐμφιλοχωρήσεως, τῆς προσλαβομένης
αὐτὴν θεοῦ λόγου φύσεως. καὶ τί λέγω τὰς τῆς θεοπλασίας ἀρχάς; ὅπου γε
οὐδ' ἂν αὐτὴ ἡ μακαρία παρθένος ὑπὲρ τὸν ὅρον τῆς φύσεως, γόνιμον
ἔλαβε δύναμιν εἰς τὸ τεκνῶσαι, μὴ διὰ τῆς ἐνδημίας τοῦ λόγου, εἰς
τοῦτο παρορμηθεῖσα. πῶς οὖν αὕτη ἡ ἐν Χριστῷ ἀνθρωπότης, ἐν ἰδιαζούσῃ ὑπο-
στάσει καθ' ἑαυτὴν οὐ ποτε γενομένη, ἀλλ' ἐν τῷ προσλαβομένῳ αὐτὴν
θεῷ λόγῳ, τὸ εἶναί τε, καὶ ὑποστῆναι λαχοῦσα, ὑπόστασις ἂν λεχθείη ποτὲ
ἢ πρόσωπον ἰδιοσύστατον, καθ' ἑαυτὸ καὶ ἀνὰ μέρος γνωριζόμενον; ἐστὶν ἠλί-
θιον ὄντως καὶ μάταιον, τὸ ταῦτα συνομολογεῖν. καὶ δύο ὑποστάσεις ἢ
πρόσωπα ζητεῖν ἐπὶ τοῦ τοιούτου ἀποτελέσματος. εἰ μή τι ἄρα τις
τοῖς χείλεσι μὲν τιμᾷ καὶ ἀσπάζεται ταῦτα, ἡ δὲ καρδία αὐτοῦ, πόρ-
ρω ἀπέχει ἀπ' αὐτῶν. ὥστε εἴ τις γνησίως, καὶ ἐκκλησιαστικῶς ὁμο-
λογεῖν ἐθέλει τὰς ἐν Χριστῷ δύο φύσεις, καὶ τό, μία φύσις τοῦ θεοῦ λό-
γου σεσαρκωμένη, ὑπτίαις χερσί, καὶ ὁλοκλήρῳ καρδίᾳ καταδέξασθαι,
ὡς τὰ προειρημένα δηλοῖ. εἰ δὲ συγχεῖν ἡμᾶς διὰ τοῦτο νομίζει
τὴν θείαν οἰκονομίαν, ὡς τοῦ σεσαρκωμένου, καὶ ἄλλως νοεῖσθαι δυναμένου
παρὰ τοῦ τῆς εὐσεβείας λόγου λαβὼν τὴν ἐπωνυμίαν ταύτην, σαρκὶ
ἐμψυχωμένην, ψυχῇ νοερᾷ καὶ λογικῇ, πανσάθρῳ λοιπὸν τοῦ προ-
φασίζεσθαι, προφάσεις ἐν ἁμαρτίαις. οἷον δέ τι λέγω, τό, σεσαρ-
φησὶ καί τις, ὃ — κωμένη* φησί, δύναται καὶ ῥῆμα φύσει προσκεῖσθαι. καὶ ἑτέραν φύ-
σιν ταύτῃ μὴ ἐπεισάγειν. τροπὴν δέ τινα, ἤτοι μεταβολὴν ταύτης

σημαίνειν

σημαίνειν. ὥσπερ λέγομεν τὸν* κρύσαλον φύσιν ὕδατος εἶναι κεκρυ- κρύσταλλον φ. ὕ. ἐ. κε. κρυσταλλωμένην. sic deinceps.
σαλωμένην. ἰδοὺ γὰρ τὴν φύσιν τοῦ ὕδατος μίαν εἰδότες, καὶ τό, κε-
κρυσαλωμένην ταύτῃ ἐπάγοντες, ἑτέραν φύσιν, διὰ τῆς τοιαύτης
σημασίας οὐ προσημαίνομεν. μόνον δὲ πῆξίν τινα περὶ αὐτὴν γενο-
μένην ἐνοήσαμεν, διὰ τῆς, κεκρυσαλωμένης φωνῆς, πρὸς* τοῦτο τοῦτο δὲ
φαμέν, ὅτι ἐπὶ τῶν τοιούτων ἀποτελεσμάτων, οὐκ ἀναδιπλασιάζ-
ονται αἱ τοιαῦται φωναί.* ὁ γὰρ ἀναδιπλασιασμὸς ἐνταῦθα, ση- ὁ δὲ
μασίαν φύσεως ἑτέρας ποιεῖται. οἷον οὐ δυνάμεθα λέγειν ὕδατος
φύσιν κεκρυσαλωμένην κρυσάλῳ,* ἐπεὶ παρ᾽ αὐτὰ ἐσημάναμεν ἐπείπερ οὕτως σημή-ναιμεν ἄν
ἑτέραν εἶναι τὴν τοῦ ὕδατος φύσιν, καὶ ἑτέραν τὴν τοῦ κρυσάλου.
ὥσπερ ἡνίκα λέγομεν ξύλον κεχρυσωμένον χρυσῷ. διὰ γὰρ τοῦ ἀναδι-
πλασιασμοῦ τούτου, ἐνοήσαμεν, ἄλλο τι εἶναι τὸ ξύλον. καὶ ἄλλο τὸν
χρυσόν.* οὕτω μὲν ἐνταῦθα ὅταν εἴπωμεν μίαν φύσιν τοῦ θεοῦ λόγου σε- οὕτως οὖν
σαρκωμένην,* καὶ ἐπαγάγωμεν τό, σαρκί, τὴν τῆς σαρκὸς φύσιν ἄλλο τι εἶναι τὴν θεότητα, καὶ ἄλλο τι τὴν σ.
ἐναργῶς ὑπεσημηνάμεθα. καὶ ὅτι μὴ αὐτὴ ἡ θεότης εἰς σάρκα μεταπεποί-
ηται. ἀλλὰ μείνασα ὅπερ ἦν, διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς
προσληφθείσης ὑπ᾽ αὐτῆς σαρκὸς ἡμῖν πεφανέρωται. ἐντελῶς ἄρα
καὶ ἡ τοιαύτη ἔννοια διὰ τοῦ ἀναδιπλασιασμοῦ ἀποδέδοται τούτου.
εἰ δέ τις πάλιν ἀναχοτικὸς καὶ συμφύρτης προσποιεῖται μὲν τὸν τοιοῦτον
ὅρον, ὡς συντρέχοντα δὲ τῷ αὐτοῦ δυσσεβήματι, μάλιστα μὲν καὶ αἱ
προλεχθεῖσαι ἐπαγωγαὶ ὡς πορρωτάτω τὴν αὐτοῦ κακόνοιαν ἀπο-
σείονται. πολλῷ δὲ μᾶλλον ὁ ἕτερος ὅρος, ὁ τὸν Χριστὸν ἐν δύο φύσεσι
γνωριζόμενον ἀπαγγέλλων, καὶ λαθροκακουργοῦντα αὐτὸν* ἀπελέγχει. ἀπελέγχων.
οὗτος γὰρ ὁ ὅρος διαρρήδην βοᾷ, τὸ ἑδραῖον καὶ ἀνεκφοίτητον τὴν
θατέρας φύσεως ἰδιότητα, κἂν τῇ ἑνώσει μεμενηκέναι. ὥστε ῥᾳδί-
ως διαγινώσκειν δύνασθαι, τί ἴδιον ἑκάστου τῶν συνελθόντων, καὶ τί
τῶν οἰκείων ἕκαστον ἀλλήλοις παρέχον, τὰ παρὰ τοῦ συνυφεστῶτος
καὶ συγκειμένου ἀντικομίζεται. τοῦτο δέ, διορθουμένης ὄντως καὶ
καθαρωτάτης ἑνώσεως, τὸ τὰ κοινὰ τοῦ συναμφοτέρου, καὶ τὰ ἴδια
ἑκάστου τῶν συνημμένων ἐμφαίνειν. εἰ γὰρ μὴ ἡ ἰδιότης πρῶτον νοη-
θείη, οὐδ᾽ ἂν ἡ κοινότης ἐπιγνωσθήσεται. πῶς γὰρ ἡ ἔν τινι κοι-
νωνία γενήσεται, μὴ ἔχοντος ἑκάστου τῶν κοινωνούντων, ἴδιόν τι. σκό-
πει δὲ οὕτως. ἴδιον τῆς* προσλαμβανομένης θεοῦ λόγου φύσεως, τὸ προσλαβομένης
εἶναι υἱὸν θεοῦ, ἴδιον τῆς προσληφθείσης αὐτοῦ φύσεως, τὸ εἶναι ἀνθ.

ἀνθρώπου· κιρναμένων οὖν τῶν τούτων φύσεων, καὶ περιχωρουσῶν εἰς ἀλλήλας
τῷ λόγῳ τῆς συμφυΐας, καὶ τῆς ἑνώσεως κιρνῶνται, καὶ περιχωροῦσιν
εἰς ἀλλήλας, ὡσαύτως καὶ αἱ κλήσεις· καὶ γίνεται ἀμφότερα εἷς
υἱός, θεοῦ τε ὁμοῦ καὶ ἀνθρώπου· τουτέστι, τοῦ πατρὸς, καὶ τῆς παρθένου μητρὸς μαρίας·
ὅσιον, σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. καὶ ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν
γενόμενον — αὐτοῦ γενόμενον ἐκ γυναικός· ἄρα οὖν ἀμεμφῶς ὁ ἐκκλησιαστικὸς λό
θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, δύο φύσεις τὸν αὐτὸν ἕνα κύριον Ἰησοῦν χριστόν — γος· διὰ μὲν τὸ εἶναι ἕνα καὶ ἰν χν* ἀπαγγέλλων. τὸ γὰρ θεὸς, φύσεως
ὄνομα· καὶ τὸ ἄνθρωπος, ὡσαύτως φύσεως ὄνομα. ἐπειδὴ οὖν ὁ αὐτὸς θεὸς
ἐστι καὶ ἄνθρωπος, διὰ τοῦτο δύο φύσεις, εἷς καὶ ὁ αὐτὸς ὁμολογεῖται καὶ πά
λιν δὲ, διὰ τὸ εἶναι αὐτὸν ἕνα υἱόν, τοῦ τε θεοῦ καὶ πατρὸς, καὶ τῆς παρ
θένου μητρός· τὸ δὲ υἱὸς ὄνομα, ὑποστάσεως ὑπάρχει σημαντικόν,
καὶ οὐ φύσεως· διὰ τοῦτο καὶ μία ὑπόστασις, τό τε θεῖον ὁμοῦ καὶ ἀνθρώ
πινον ὁ Χριστὸς, παρὰ τῶν εὐσεβούντων δοξάζεται· μίαν οὖν ὑπόστασιν, καὶ
δύο φύσεις πρεσβεύων ὁ λόγος τῆς ἐκκλησίας, μέσην τινὰ ὁδὸν
πορεύεται· οὔτε διὰ τὴν ἕνωσιν μανιχαΐζων, καὶ τὰς φύσεις φύρων
ἀναπλάττων, οὔτε διὰ τὴν διαίρεσιν τὴν κατ' ἐπίνοιαν τῶν ἡνω
μένων φύσεων παυλιανίζων, καὶ τὴν ὑπόστασιν, ὑποστάσεις ποιῶν,
ὅτι μὴ ἀνὰ μέρος ἓν τῶν ὁποτέρων ποιεῖται, ἢ τὴν διαίρεσιν χωρὶς
τῆς ἑνώσεως, ἢ τὴν ἕνωσιν χωρὶς τῆς διαιρέσεως, ἀλλ' ἅμα καὶ μετ'
ἀλλήλων· ἡνωμένως γὰρ διαιρεῖ· μίαν μὲν ὑπόστασιν λέγων, φύσεις δὲ
δύο, καὶ διακεκριμένως συνάπτει. δύο μὲν φύσεις λέγων, ὑπόστασιν δὲ
ἔμπαλιν τῆς θεολογίας — μίαν.* ἔμπαλιν ἐπὶ τῆς θεολογίας, κατὰ τὸν μέγαν γρηγόριον· ἐκεῖ
μὲν γὰρ ταῖς ὑποστάσεσι διαιρῶν, ἑνοῖ τῇ φύσει· ἐνταῦθα δὲ τῇ ὑπ
οστάσει ἑνίζων, διακρίνει ταῖς φύσεσιν· ἐκεῖ μὲν γὰρ ὑποστάσεις
διάφοροι· φύσις δὲ ἡ αὐτή. ἐνταῦθα δὲ, φύσεις μὲν διάφοροι,
ἐκλαμβάνει — ὑπόστασις δὲ ἡ αὐτή. εἴ τις οὖν κατὰ τὸν νοῦν τῆς ἐκκλησίας* ἐκ
λαμβάνει, τὸ μίαν τοῦ θεοῦ λόγου φύσιν σεσαρκωμένην, ἀστασιάστως
καταδεξάσθω· καὶ τὸ δύο φύσεις ὁσίως δὲ ἡνωμένας λέγειν ἐν
τῷ Χριστῷ. εἰ γὰρ ἐπὶ παραστάσει καὶ σημασίᾳ τῆς ἀνθρωπίνης φύ
ἐπάγει — σεως, μετὰ τὸ εἰπεῖν μίαν φύσιν τοῦ θεοῦ λόγου,* ἐπάγει τὸ, σεσαρ
κωμένην· τίνι λόγῳ λοιπὸν ἀναλύεται, τὸ δύο φύσεις ὁμολογεῖν·
μίαν μὲν, τὴν τοῦ θεοῦ λόγου. ἑτέραν δὲ τὴν ἀνθρωπίνην, ἣν
αὐτὸς διὰ τῆς σεσαρκωμένης λέξεως, ἀπαγγέλλειν διισχυρίζε
ται· ἃ γὰρ ὁμολογεῖ, καὶ ἀριθμείτω κατὰ τὸν μέγαν βασίλειον.
εἰ δὲ αἰτιᾶται τὸν δύο ἀριθμὸν ὡς διαστατικόν, τινὰ καὶ διαιρετικόν,

γινωσκέτω

γινωσκέτω μὴ εὔλογον εἶναι τὴν τοιαύτην παραίτησιν· εἰ μὲν γὰρ
ὡς καὶ ἀνωτέρω εἴρηται, εἰπὼν ὁ ὅρος δύο φύσεις ἁπλῶς ἐν τῷ Χριστῷ
γινώσκειν, καὶ μηδὲν ἕτερον προσεπιφέρων ἀπεσιώπα, χώραν ἴσως
ἐδίδου ταῖς τοιαύταις ὑποψίαις, ὡς μή πω τὴν ἑαυτοῦ ἔννοιαν τρα-
νῶς παραστήσας, ὅπως οἶδε τὰς τοιαύτας δύο φύσεις ἔχειν πρὸς
ἑαυτάς. εἰ δὲ ἐπάγει τό, ἡνωμένας, καὶ πρὸς τούτοις τὴν μίαν* κη- κηρύττει
ρύττειν ὑπόστασιν. οὐδὲ* ἐθελοντί, συκοφαντίας τόπον παρέχεται. ἐθελοντί τινι
δέδεικται οὖν ἐκ παντὸς, ὅτι ταυτὸν ἀμφοτέροις τοῖς ὁρισμοῖς
τούτοις τὸ βούλημα· καὶ ὁ ἕτερος τοῦ ἑτέρου, ἑρμηνευτικὸς μᾶλλον
καὶ οὐκ ἐναντίος ὑπάρχει. καὶ ταῦτα μὲν ὡς ἐν παρεισαγωγῆς εἴδει
λελέχθω τανῦν.* ὃ δ' ὁ λόγος ὥρμητο διηγήσασθαι, ὅτι τῆς ἐκκλησίας ὃ δ' οὖν ὁ λ. ὡρμήθω
παρωσαμένης τὰς ἐφ'* ἑκάτερα τῶν ἐναντιοδοξιτῶν παρατροπάς, μέ- ἑκάτερα τροπὰς
σην τε καὶ ἀληθεστάτην τεμνούσης ὁδόν,* σευῆρός τις, τῇ τῶν ἐν ἀντιο- σευῆρος sic deinceps
χείᾳ προεδρίᾳ ἑαυτὸν εἰσωθήσας, τὴν ἑτέραν τῶν ὁμομοίρων τούτων,
τουτέστι τὴν κατὰ μάνην, ἀπολινάριόν τε καὶ εὐτυχέα, διακρατεῖν
ἐπειρᾶτο. κυκῶν, ὅσον δύναμις αὐτῷ, τὴν τῆς ἐκκλησίας εἰρήνην.
ἐλαθεὶς δὲ τῆς ἀντιοχέως ὡς στασιώδης καὶ ταραξίας, τῇ ἀλεξαν-
δρέων κουφότητι, λαίλαπος καὶ θυέλλης δίκην ἐνέσκηψεν. ἔνθα
καὶ ἑτέρας καταιγίδος ἀντιπνευσάσης αὐτῷ, ἡμερώτερος μὲν, καὶ
ἧττον ζαλώδης αὐτὸς ἑαυτοῦ γίνεται. οἱ δὲ ὑπ' αὐτοῦ* κλυδονιζόμενοι ἀπαληθέντες κλυ
καὶ περιφερόμενοι, διεσπάρησαν ἀπ' ἀλλήλων, καὶ διηρέθησαν χει-
ρόνως, ἢ πρότερον. διεσκέδασε γὰρ αὐτοὺς ἰουλιανός, ἐπίχαρμα τῶν
ἐχθρῶν αὐτοῦ, καθὼς γέγραπται. ἰουλιανὸς δὲ οὗτος,* ἁλικαρνασσοῦ μὲν ἁλικαρνασοῦ
τῆς ἀσίας ἐπίσκοπος ἦν· τῆς δὲ* εὐτυχιανικῆς συμμορίας προαγω- εὐτυχιανῆς
νιστὴς εὐθυμότατος. σευήρῳ τε τὰ πρῶτα συνήθης καὶ φίλος. συγκε-
κροτημένοι, τὼ ἄμφω, κατὰ τῆς ἀληθείας. ὕστερον δὲ ἐμπεσούσης
αὐτοῖς τοῦ τοιούτου ζητήματος, πότερον, φθαρτὸν φύσει λέγειν* τὸ σῶ- ἔχει τό
μα τοῦ Χριστοῦ ποτὲ, ἢ οὐδέποτε· ἀλλ' ἐξ αὐτῆς τῆς ἑνώσεως ἀπαρνη-
θῆναι τῆς φθαρτῆς φύσεως τὸ ἰδίωμα ὡς μιᾶς φύσεως γινο-
μένων τῶν δύο, καὶ τῆς τοιαύτης διαφορᾶς, ἀμφοῖν μηκέτι γινω-
σκομένης· τοῦ δὲ κρείττονός τε καὶ θείου μᾶλλόν πως ἐκνικήσαντος,
ἅμα τῇ πρώτῃ συναφείᾳ, καὶ πρὸς τὸ ἑαυτοῦ ἰδίωμα τὸ ἧττον
ἐν ἀκαρεῖ μεθαρμόσαντος, τῆς κατ' αὐτὸ φυσικῆς ἰδιότητος.

κοινὸν δὲ ἀμφοτέροις, ἰουλιανῷ καὶ σευήρῳ τοῦτο τὸ ἀπόρρημα.
ἀφορμὰς γὰρ τῆς συγχυτικῆς προειλήφασιν ἑνώσεως: ἰουλιανοῦ δόξα.
γʹ χρῶν Ἰουλιανὸς* οὖν, καλῶς ποιήσειν οἰόμενος, εἰ παντάπασιν ἐξ ἀπόπτου
καὶ ἵνα χωρήσοι κατὰ τῆς ἀληθείας* καὶ μὴ ἑαυτῷ τε καὶ ταύτῃ πολέμιος
ᾖ καὶ ἀνάρμοστος. ἀκόλουθον εἶναι νομίσας τῷ λέγοντι μίαν φύσιν,
ποιεῖν μὴ πρὸς ἑαυτὴν ἐναλλάξαι, καὶ διαφερομένην πολὺ ταύτην* ποιεῖ.
διαφορᾶς δὲ μὴ οὔσης, ἀσεβέστερον φάναι, τὸ χεῖρον μετελθεῖν πρὸς
τὸ κρεῖττον. τουτέστι, τὸ φθαρτὸν πρὸς τὸ ἄφθαρτον. ταῦτα δὴ συλλο
γισάμενος, καὶ μηδὲν ἕτερον ἐναντιούμενον ἑαυτῷ προϊδών, ἄφ
θαρτον ἀεί τε καὶ κατὰ πάντα τὴν τοῦ χριστοῦ σάρκα, ἐξουσιαστικῶς
ἀπεφήνατο. σευῆρος δὲ τούτοις μὴ ἀρεσθεὶς ὡς διαρρήδην κηρύττουσι
τὴν ἀνάχυσίν τε καὶ συμφυρμὸν ἅμα, ὅτε ἀσπάσασθαι πρὸς τὴν ἐκκλησίαν φι
λελο, ὡς ἀκολούθως τῇ διαφορᾷ καὶ ταῖς ἰδιότησι, καὶ τὰς φύσεις
ἀπαριθμοῦσαν, περὶ ἃς ἡ διαφορὰ θεωρεῖται, καὶ ὧν οὐσῶν αἱ ἰδιό
τητες, φυσικῶς αὐταῖς ἐνυπάρχουσι. καὶ τὸ συνθετὸς τοῖς ἰουλιανοῦ
τολμηρίαις, ἀναιδὲς ἅμα καὶ προπετὲς ὑπελάμβανε. καὶ οὐδὲν ἕτερον,
ἢ γυμνῇ τῇ κεφαλῇ, καὶ ἀπερικαλύπτῳ τῷ στόματι, πολεμεῖν
τὴν εὐσέβειαν. Δόξα σευήρου.

Ἐκ τούτου σευῆρος γίνεται καὶ ἑαυτῷ, καὶ τῇ ἀληθείᾳ. καὶ τῷ γείτονι
αὐτοῦ ψεύδει, ἀντίθετος. καὶ οὔτε ὅλος ἀληθής, οὔτε ὅλος ψευδής. ἀλλ'
ἐπινενοημένη οἷον εἰπεῖν ψευδαληθής. ὅμοιος τῇ ὑπ' αὐτοῦ* νενοημένῃ συνθέτῳ φύ
οὕτω σει. διὰ τοῦτο καὶ πρὸς ἑαυτὸν μάχιμος, καὶ παλίμβολος, ἠλιθίως* ὄντως
καὶ ἀμαθῶς. μέσον τι χρῆμα ψεύδους, καὶ ἀληθείας ζητῶν, ὅπερ οὐκ
ἔστι. μεσότητα γὰρ ἀληθείας, καὶ ψεύδους, οὔτε εὑρεῖν, οὔτε ἐπινοῆσαι
δυνατόν. ἡ μὲν γὰρ ἀλήθεια, μέση ἀεὶ καὶ ἀπαρέγκλιτος. καὶ διὰ τοῦτο
εὐθύτονος. οὐ παραδέχεται ἑδραία, καὶ πάντοθεν ἴση. καὶ* εὐθύτομος. οὐ παραδέξεται οὖν ἕτερόν
τι, τὸ ἐγκάρσιον αὐτὴν ἀποτελοῦν, καὶ ἐξιστῶν τῆς οἰκείας στάσεως,
καὶ μονιμότητος. ἐκτοξεύει δέ, πᾶν τὸ ἐπιβούλως αὐτῇ προσπελάζον,
καὶ τὸ μέσον αὐτῆς διασαλεύειν πειρώμενον. ὅπερ καὶ σευῆρον ὑπ'
αὐτῆς πεπονθότα εὑρίσκομεν. ἐπειδὴ γάρ, ὡς ἔφαμεν, καινόν τι
ἰῶν μέσον παρὰ τὴν ἀλήθειαν εὑρεῖν ἐπεχείρησε, πλαγιασθεὶς* ὡς
οὐκ ἔγνω, μέσην ἑαυτοῦ καὶ τοῦ ὁμοφύλου ἑαυτοῦ ψεύδους, πεποί
ηκε ταύτην. αὐτοῦ γὰρ σευήρου μίαν φύσιν λέγοντος εἶναι

τοῦ χριστοῦ, καὶ

τὸν Χ(ριστό)ν, καὶ τὴν διαφορὰν τὴν ἐν αὐτῷ δεχομένης. ἰουλιανοῦ δέ, τοῦ χριστοῦ
*μίαν μέν, κατὰ σύνθεσιν λέγοντος φύσιν, ἀναιροῦντος δὲ τὴν μίαν
διαφοράν, ἡ ἀλήθεια, τουτέστιν ὁ ἐκκλησιαστικὸς λόγος, τὴν
μεσότητα ἑαυτῆς πανταχοῦ διασώζουσα, δέχεται μὲν τὴν δια-
φοράν, οὐ κατὰ σύνθεσιν δέ. οὐδὲ γὰρ οἶδέ ποτε μίαν φύσιν
αὐτὴν ἑαυτῇ ἐναντίαν. δύο γὰρ φύσεις ἐν τῷ Χ(ριστ)ῷ γινώσκουσα,
*θεότητα, καὶ ἀνθρωπότητα, τούτων καὶ διαφορὰν τὴν πρὸς ἄλληλα θεότητος καὶ ἀνθρωπότητος,
τηλαυγέστατα θεωρεῖ. οὐ γὰρ ταυτὸν θεότης, καὶ ἀνθρωπότης,
εἰ καὶ εἷς ὁ Χ(ριστὸ)ς ὁ ἐν ἀμφοτέραις ὑπάρχων, καὶ *ἀμφότερα. εἰ ἀμφότερον.
γὰρ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει. τῇ δὲ συνόδῳ
*ὁ ἐκκλησιαστικὸς κῆρυξ ἀριδήλως βοᾷ. μὴ δεχομένη δὲ ἡ ἐκ- ὡς ὁ
κλησία κατὰ σύνθεσιν τὴν διαφοράν, ἀλλὰ κατὰ τὸν ἑαυτῆς
λόγον οὐκ ἀποβάλλεται ταύτην, καθ' ὁμοιότητα τοῦ ἁλικαρνα-
σέως. σάρκα γὰρ ἀληθῆ, καὶ ψυχὴν νοερὰν μετὰ τῶν φυσικῶν
ἰδιωμάτων ἀναλαβόντα τὸν λόγον ἐπίσταται, καὶ ἑνωθὲν οἶδε τῷ
φθαρτῷ, τὸ ἀθάνατον, ὡς ὁ περιφανὴς θεόλογος γρηγόριος
ἔφη. ἆρ' οὖν ὅπερ ἐλέγομεν, μέσον μεμένηκεν ἀμφοτέρων καὶ ὁρῶ-
ντες ἡ ἀλήθεια. ἀποβαλλομένη μὲν τὸ λέγειν κατὰ σύνθεσιν
μίαν φύσιν καὶ διαφοράν. αἰνίγματος γάρ, καὶ τερατομυθίας,
οὐδὲν ἧττον διενήνοχε τοῦτο. πῶς γὰρ ἡ αὐτὴ φύσις δύο ἔσται
τὰ ἐναντία. πῶς δὲ καὶ ὑποστήσεται κατ' αὐτὸ τὸ πεπονθέναι πολε-
μουμένη ὑφ' ἑαυτῆς, καὶ αὐτὴν πολεμοῦσα. καὶ ἐν τούτῳ δὲ κατὰ και-
ρὸν μνημονεύειν τοῦ σωτῆρος φωνῆς, ὅτι πᾶσα οὐσία, ἡ βασιλεία καθ'
ἑαυτὴν μερισθεῖσα, οὐ σταθήσεται. εἰ οὖν κατ' αὐτὸν ἡ μία φύσις
ἐμερίσθη ἐφ' ἑαυτήν, πῶς σταθήσεται ἡ ταύτης ὕπαρξις. ἆρ' οὖν
κατὰ τὰς κοινὰς ἐννοίας, κατά τε αὐτὸν τὸν τοῦ σωτῆρος λόγον, ἔοικε
ποιῶν ὁ τῆς ἐκκλησίας λόγος, οὐ παραδέχεται μίαν φύσιν πρὸς
ἑαυτὴν διαιρεθεῖσαν, καὶ *αὐτῇ ἐναντία κατὰ τὴν τοῦ σευήρου ἑαυτῇ ἐναντίαν
ἄστατον καὶ μαχιμωτάτην ἐπίνοιαν. ἀλλὰ μήν, οὐδὲ κατὰ ἰου-
λιανὸν παντάπασι τὴν διαφορὰν ἀποβάλλεται ἡ τοῦ θεοῦ ἐκκλη-
σία. εἰ γὰρ μία μὲν φύσις κατ' ἐκεῖνον ὁ Χ(ριστό)ς, καὶ διαφορὰν οὐδ-
όλως μὴ καθ' ὁτιοῦν παραδέδεκται, ἣν τῶν ὁποτέρων ἀνάγ-
κη πάντως ὁμολογεῖν, τὸν ταῦτα διϊσχυριζόμενον, ἢ ἄνου ψιλὸν

εἶναι τὸν Χριστόν, καὶ τὰ λεγόμενα ἐπ' αὐτοῦ θεῖα, οὐχ ὡς θεοῦ ὄντος, ἀλλὰ
καὶ ἐν αὐτῷ οὖσαν,
κατὰ θείαν δόσιν ἑτέραν παρ' αὐτὸν οὖσαν,* καὶ ἐνεργοῦσαν πεπρά-
χθαι. ἢ θεὸν γυμνόν, καὶ μὴ ἐνανθρωπήσαντα εἶναι τὸν Χριστόν. καὶ τὰ λεγόμε-
να ἐπ' αὐτοῦ ἀνθρώπινα μὴ ὡς ἀνθρώπου, ἀλλ' ὡς θεοῦ ταῦτα παθεῖν, εἰς τὴν
μίαν αὐτοῦ φύσιν ταῦτα ἀναδεχόμενον. ἢ εἰ μηδὲ ἓν τῶν εἰρημένων
δεδρακέναι ἅπερ ἔδρασε, ἤτοι τὰ θεῖα, ἤτοι τὰ ἀνθρώπινα· καὶ τὸ παράπαν ψευδῆ εἶναι τὴν περὶ αὐτοῦ
φαντασίᾳ τινί, καὶ ἀπάτῃ λέγειν περὶ αὐτοῦ* πᾶσαν εὐαγγελικὴν ἱστο-
ρίαν, καὶ μάτην ἀπατᾶσθαι τοὺς Χριστιανούς, καὶ κενὴν ματαίαν εἶναι
τὸ δὴ λεγόμενον, τὴν εἰς Χριστὸν ἐλπίδα. χωρεῖ δὲ λοιπόν, καὶ τὸ τοῦ ἀπο-
ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κ.
στόλου λέγειν. κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν. εὑρισκόμεθα δὲ καὶ* ψευδο-
μάρτυρας τοῦ θεοῦ, ὅτι ἐψευδομαρτυρήσαμεν κατὰ τοῦ θεοῦ, ὅτι ἤγει-
δὲ μᾶλλον ὄντ.
ρε τὸν Χριστόν, ὃν οὐκ ἤγειρε. ματαιότης* ὄντως οἱ τοιοῦτοι συλλογισμοί, καὶ
θεόλογον
τῆς πίστεως ἀνατροπὴ κατὰ τὸν* μέγαν Γρηγόριον. ἐκ παντὸς οὖν
ἀποδέδεικται κεκαθαρμένην ἀντιρρήσεως ἁπάσης, καὶ ἀνεξέλε-
γκτον εἶναι, καὶ μόνην ἐπὶ τῆς ἀληθείας ἑστάναι τὴν δόξαν τῆς
ἁγίας τοῦ θεοῦ, καὶ καθολικῆς ἐκκλησίας. ὅταν μὲν γὰρ τὸν τρόπον
καθ' ὃν γέγονεν ἡ ἐκ θείας φιλανθρωπίας πρὸς ἡμᾶς συγκατά-
βασις βούλεται παριστᾶν τὴν μίαν τοῦ θεοῦ λόγου φύσιν σεσαρκω-
ὁμολογοῦσαν, ὡ. ἅ. τ. θεοῦ λόγου
μένην* ὁμολογοῦσα, ὡς ἅτε τοῦ λόγου ἀνάρχου τε ὄντος, καὶ ἀϊδίως
ἐν τῷ πατρί. ἐν ὑστέρῳ δὲ δι' ἡμᾶς, καὶ τὴν ἡμετέραν σωτηρίαν
ἐνανθρωπήσαντος, καὶ σπέρματος Ἀβραὰμ ἐπιλαβομένου, καὶ κα-
τὰ πάντα ἡμῖν ὁμοιωθέντος, δίχα μόνης τῆς ἁμαρτίας. ὅταν
δὲ τὰ ἐν οἷς ὁ Χριστός, ἢ καὶ ὅπερ ὁ Χριστὸς βούλεται θεωρεῖν, δύο φύσεις
ὁμολογοῦσαν, κ. τ. παριστῶσαν πρὸς ἡμᾶς, κ.
ἀσυγχύτως ἡνωμένας* ὁμολογοῦσα, κἀκ τούτου παριστῶσα τὸ μεγα-
λεῖον τοῦ ἐλέους, καὶ τῶν οἰκτιρμῶν τοῦ θεοῦ,* περὶ ἡμᾶς καταδε-
δεξαμένου διὰ τὴν πρὸς ἡμᾶς στοργήν, συνεῖναί τε καὶ συναρ-
θῆναι τῇ ἑαυτοῦ φύσει τὴν ἡμετέραν. καὶ χάρις τῷ θεῷ, ἐπὶ
Hæc desunt in editione Bezæ.
τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. καὶ ταῦτα μὲν, εἰς τοσοῦτον.* ἐπει-
δὴ δὲ ὁ Σευῆρος ψιλαῖς προσκαθέζεται φωναῖς, ἐν ῥήμασί τε
μόνοις καὶ ἤχοις τὴν εὐσέβειαν ὑποτίθεται. καίτοι γε τοῦ ἀποστό-
λου λέγοντος, οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ θεοῦ, ἀλλ' ἐν δυνάμει
καὶ ἀληθείᾳ. οὗτος δὲ παρ' αὐτῷ Σευήρῳ κράτιστος θεολόγος
γνωρίζεται, ὃς ἂν τὰς κατηγορίας Ἀριστοτέλους, καὶ τὰ λοιπὰ
τῶν ἔξω φιλοσόφων κομψά, ἠσκημένος τυγχάνοι. ἀναγκαῖον

ἡμᾶς τὰ

Καὶ σὺ ὁ Θεός μου, δύναμίς μου· καὶ κατευθύνοι τοὺς πόδας μου,
ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου, τῆς ζωῆς.

ἡμᾶς τὰ σημαινόμενα ἑκάστης λέξεως τῶν εἰς τὰ πρὸς αὐτοὺς συνήθη λεγόμενα χρησίμως λαμβανομένων, ἐπὶ καιροῦ σαφηνίσαι, κατὰ τὸν νοῦν τῶν ἐκκλησιαστικῶν διδασκάλων, καθ' ὃν ταῦτα ἐξειλήφασιν· ἵν' ἔχοιεν οἱ ἐντυγχάνοντες τοῖς ὑπογεγραμμένοις λόγοις ἐκ πρώτης ἐντεύξεως νοεῖν, τῶν λεγομένων τὴν δύναμιν. καὶ μὴ διὰ τὴν ἄγνοιαν τοῦ σημαινομένου τῶν λέξεων, πρὸς τὴν κατάληψιν τῶν ἐν αὐτοῖς θεωρημάτων παραποδίζονται.

## Τοῦ ἁγίου Ἀναστασίου πατριάρχου Ἀντιοχείας, περὶ τῶν καθ' ἡμᾶς ὀρθῶν τῆς ἀληθείας δογμάτων, λόγος α΄.

Τὸν περὶ τῆς ὑγιοῦς ἡμῶν πίστεως, καὶ τῶν ἀληθῶν τῆς ἐκκλησίας δογμάτων ἀκραιφνῆ καὶ ἀκίβδηλον λόγον, πάλαι πρότερον ἡνίκα γράφειν ἐξῆν, καὶ παρρησίᾳ λαλεῖν, μηδενός που τολμῶντος ἀναίδην εἰπεῖν σιώπα καὶ μὴ λαλήσῃς, ἐν διαφόροις λόγοις ἐπ' ἐκκλησίας δημοσιευθεῖσιν ἐκθέμενος, ἀρκεῖν ἐνόμιζον τὰ γραφέντα τότε, πρός τε τοῦ ψεύδους ἔλεγχον, καὶ παράστασιν γνήσιον τῆς ἀληθείας. καὶ οὐκ ᾤμην ἔτι δεῖν περαιτέρω μαθεῖν· οὐ μόνον τὴν ἐκ τῆς πολυλογίας ὑφορώμενος ἁμαρτίαν, ἀλλὰ καὶ νομίσας ὡς ᾤμην ἐντελῶς ἔχειν τὰ φθάσαντα παρ' ἐμοῦ παραδοθῆναι γραφῇ, καὶ ἐκδοθῆναι πᾶσι τοῖς ἔχουσι φιλομαθῆ σκοπόν· οἷς ἦν ἐντυγχάνοντας τοὺς βουλομένους, γνῶναι δογμάτων ἀκρίβειαν. καὶ τοὺς οἴκοθεν ἤδη γινώσκοντας, ἢ μαθεῖν ἢ δεξιᾶς γνώμης ἀξιῶσαι ψήφου τοὺς πόνους, ἐὰν τοιοῦτοι φανείησαν ὄντες. ἴσως δ' ἂν καὶ ἑτέρα ξυμφανῶ. πάντων γὰρ εἶναι τὴν ψῆφον ἴσην, ἀδύνατον. διότι διαθέσεσι διαφόροις μεμερίσμεθα, καὶ οὐχ ὡσαύτως περὶ τοῦ αὐτοῦ δοξάζομεν ἅπαντες· πλὴν ὡς ἂν κρίνωσιν οἱ τοῖς γεγραμμένοις, ὡς εἰκὸς ἐντυγχάνοντες, εἴπερ ἄρα τῶν γνησίων εὐπορήσαιεν, καὶ ὑπὸ ἐχθρῶν ἀρᾳδιούργητοι γνησίως μεμενήκασιν, ἐγὼ λίαν ὅμως τεθάρρηκα, μηδὲν ἀπᾴδειν ἐκεῖνα τῆς ἀληθείας. πάντα δὲ ταῖς ἀκιβδήλοις εἶναι σύμφωνα τῶν πατέρων διδασκαλίαις, αἷς κατακολουθεῖν ἐσπουδάσαμεν ἐκ βρέφους, καὶ ἐξ ἁπαλῶν ὀνύχων· τὸ δὴ λεγόμενον, οὐδαμῶς ἑτέροις ἐξακολουθήσαντες ἴχνεσι, μόνοις δὲ τοῖς ὑπὸ τοῦ πνεύματος πεφωτισμένοις· πρῶτον, ἀποστόλοις. δεύτερον, προφήταις.

τοῦτο τοῦ ἁγίου [illegible], ἡ α΄ [illegible] σάλλος.

τρίτον, διδασκάλοις. πῶς οὖν ἀπαθῶς οἷς ἔφημεν ἐντυγχάνων, οὐ
χαλεπὸν εἰπεῖν, ὅτι σαφεστάτην εὑρήσει καὶ τηλαυγῆ φανέρωσιν
μετὰ τῆς ἀληθείας. ἀνατεθραπὼν δέ, τῆς θεολογικῆς γνώσεως.
πίστις γὰρ ὄντως ἐστὶν ἡ ὑπαγορεύσασα, καὶ ἀληθής ἐστι. καὶ οὐχ ἔστιν
ἐν αὐτοῖς ψεῦδος. ἀληθῆ δὲ λέγω ταύτην, οὐχ ὅτι παρ' ἐμοῦ
γεγράφθαι. μὴ τοῦτό με οἰέσθω λέγειν τις. μὴ δὲ φρονεῖν μετὰ
ἐμαυτοῦ παρ' ὃ δεῖ φρονεῖν ὑπονοείτω. οἶδα γὰρ νῦν καὶ ἄσοφος
ὑπάρχων, καὶ λόγον οὐκ ἔχων ἄξιον τοῦ κηρύγματος. ἀλλ' ὅτι θεολόγων
ἀνδρῶν ἐστι διδασκαλία. καὶ παράδοσις ἀκριβὴς κατελθοῦσα
εἰς ἡμᾶς, ὡς πατρῷος κλῆρος νομίμως κατελθών, ἐπὶ παῖδας
γνησίους, ἀπὸ γονέων πνευματικῶν. οἷς ἑπόμενος καὶ πειθόμενος, ἐπὶ τὴν
φθάσασαν παρῆλθον γραφήν, τὰ τῶν ἐμῶν πατέρων οἰκειούμενος
δίκαια. νόμος γὰρ οὗτος ἄριστα διακείμενος, καὶ ὡς ἐπ' ἀγαθοῖς
ἰδίοις τοῖς αὐτῶν πόνοις ἐναβρυνόμενος. καὶ οὐδὲ τοῦτο χωρὶς
τοῦ καθήκοντος. μηδεὶς οὖν λοιδορείτω μάτην. οἱ γὰρ γονεῖς, οὐχ οὕτως
τοῖς τοσοῦτον ὅσον τοῖς τέκνοις θησαυρίζουσι. τοῦτο καὶ Παύλῳ δοκεῖ
τῷ ἐν Χριστῷ λαλοῦντι, καὶ Σολομὼν δέ φησιν ὁ σοφός. καύχημα τέκνων
πατέρες αὐτῶν. ἐπεὶ τοίνυν δεῖ τὸν ἀδόλως μεταδόντα λόγους, καὶ μά-
λιστα περὶ πίστεως (κρηπὶς γὰρ τῶν λοιπῶν αὕτη) καὶ αὐτὸν ἀφθό-
νως μεταδιδόναι τοῖς χρήζουσιν, ἢ καὶ αἰτοῦσι, καὶ μηδὲν κρύπτειν
ὧν ἐδιδάχθη. δεδιότα τὸ παράδειγμα, τοῦ, τὸ τάλαντον κατα-
χώσαντος. τοῦτο λαθὼν λέγων καὶ γράφων οὐκ ἐπαυσάμην ὅτε καιρὸς
ἦν. καίτοι πρὸς οὐδετέραν ἐπιτηδείως ἔχων παντελῶς. παιδείας
ἀμέτοχος ὑπάρχων, καὶ διδάσκαλον. οὐδένα τῶν ἔξω σοφῶν ἐπι-
γραφόμενος. τοῦτο δὲ θαρρῶ λέγειν, ὅτι τῆς ἀληθείας οὐκ ἐξέτρα-
πον πώποτε, κἂν ὁ λόγος ἠσθένησε, πρὸς τὴν ταύτης ἀπόδειξιν.
οὐδὲ τοὺς ἐν δόγμασι λόγους τοῦ θεοῦ. ἐμούς γε εἶναι, ἢ τὰ ὀπίσω
ἀπέστρεψα, καὶ κατόπιν ὁμολογίας ἦλθον. ἀλλὰ τὰς τῶν πρώην μου
πατέρων ἰχνηλατῶν, ὅσον ἦν ἐφικτὸν ἐμοί. οἱ ἔλεγον, καὶ ἐδίδασκόν
με λέγοντες, ἐρηρείσθω δὴ ὁ ἡμέτερος λόγος εἰς σὴν διάνοιαν.
φύλαξαι ἐντολάς. μὴ ἐπιλάθῃ. μὴ δὲ παρίδῃς ῥήσεις ἐμοῦ στο-

μάτων.

μάτων· τῇ πορείᾳ τῶν ποδῶν αὐτῶν, ἐν τοῖς θείοις δόγμασιν ἠκο-
λούθησα· μηδαμῶς ἐκκλίνας δεξιά, ἢ ἀριστερά· διὸ καὶ ἐκέρδησα
τὸ ἔλεος τοῦ θεοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ ἀπὸ συναγωγῆς πολλῆς·
λαλῆσαι ἐν ἐκκλησίᾳ λαοῦ πολλοῦ, τὰ δικαιώματα τοῦ θεοῦ ἃ ἐπε-
μεμάθηκα παρὰ τῶν πατέρων. ὥστε τοὺς πρὸς ἐντυχίας διαλέγον-
τας δι' ἐμοῦ, εἰ μὴν τολμηρὸν τοῦτο λέγειν, οἳ τοῖς παρ' ἐμοῦ πάλαι
συγγεγραμμένοις ἐντυχεῖν ἀπαθῶς· ἀπὸ γὰρ τῶν πόνων αὐτῶν,
ἔστιν ὡς ἐκ πλουσίας πηγῆς, νοτὶς ὀλίγη, καὶ ἐξ ἀενάου ποταμοῦ ῥεῖ-
θρον βραχύ. ἐάν τις γὰρ πρὸς ποταμὸν ἔτι τὰ παρ' ἐμοῦ πρὸς τὰ
ἐκείνων, εἰ καὶ συγγενῆ καθεστήκασιν ἐκείνων· ὧν ἐκδεδομένων
ἤδη τοῖς βουληθεῖσι τότε, περιττὸν ἂν ἦν, ὁ παρὼν πόνος, εἰ τὰ
παρῆν ἐκεῖνα· τήν τε γὰρ ἀπολογίαν ὑπὲρ ἑαυτῶν ποιήσασθαι
ἦν ἱκανά· καὶ τοῖς καθ' ἡμᾶς φιλομαθέσι τὸ χρεὼν ἀποπληρῶσαι.
ἐπεὶ δὲ νῦν ἐκεῖνα μὴ πάρεστι, διὰ τὴν περὶ ἡμᾶς συνουσίαν θείαν
ἐπίσκεψιν, φιλανθρώπως παρακαλοῦσαν ἡμᾶς καὶ ὑπομνήζουσαν,
πρὸς καταφρόνησιν πάντων τῶν γηΐνων. ὧν ἡ σύστασις πρόσκαιρος
καὶ οὐ μόνιμος. καὶ μόνα κτήσεως ἡγεῖσθαι ἄξια, τὰ συλλάβῃ μὴ πε-
φυκότα. σὺ δὲ φίλων ἄριστε, καὶ ἀνδρῶν τιμιώτατε, πυκνὰς
ἡμῖν αἰτήσεις διαπέμπῃ γνωσθῆναί σοι τὴν ἐκείνων δύναμιν
ἀξιώσας. καὶ καθά φῃς, σὺν ὅσοι τινὲς ἕτεροι πλεῖστοι, δεῖν ἰθύνειν
τὸν ἐκείνοις νοῦν κατ' ἐπιτομὴν ἀναδεξάμενος, σύνδημόν σοι ποιή-
σασθαι ὡς ἂν εἴποι τις ἀνακεφαλαίωσιν, πολλὰ ἐν ὀλίγοις περι-
λαμβάνουσαν· καὶ ἴσως τῷ περὶ ἡμᾶς ἀγωνοδίαν καιρῷ, καὶ τῇ
συνεχούσῃ τῶν βιβλίων ἀπορίᾳ· καὶ ἐπειδὴ τοὺς πλείστους οἶδα
πρὸς τὸ πλῆθος τῶν γραφομένων οἱονεὶ ναυτιῶντας, ὥσπερ οἱ
μακρὰ πελάγη διαπεραιούμενοι, καὶ πρὸς αὐτὴν τὴν θέαν τοῦ
πολυεποῦς τεύχους ἀπαγορεύσαντας· διὰ τοὺς τοιούτους μάλιστα
βέλτιον ἐνόμισα, συντετμημένην ποιήσασθαι τὴν γραφήν· καὶ
τὸ περιοχὲς τοῦ λόγου φυλάξασθαι. καὶ διὰ σοῦ πᾶσι προθεῖναι,
τετορνευμένην δογματικὴν ἔκθεσιν· ἱκανὴν οὖσαν γνῶσιν
ἐμποιῆσαι τοῖς χρωμένοις αὐτῇ. ποῖα τε φρονεῖν δεῖ τῶν λεγο-

μένων, καὶ τίνων ἀπέχεσθαι. προβήσεται δὲ τάξει καὶ ἀκολουθίᾳ,
καθ' ὅσον μοι δυνατὸν ὁ λόγος. ἀπὸ τῶν ὑψηλοτέρων καὶ τῶν ὑπὲρ
ἡμᾶς ἀρχόμενος, καὶ τελευτῶν εἰς τὰ καθ' ἡμᾶς, ἢ δι' ἡμᾶς ταπεινά.
μέλλοντες δὲ τοῖς τοιούτοις προσβαίνειν λόγοις, εὐχῇ πρότερον τὸν
θεὸν ἱκετεύσωμεν λέγοντες, ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κα-
τανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. νόμον τὴν πᾶσαν νοοῦντες
θεόπνευστον γραφὴν, καὶ ἁγίαν. ἐξ ἧς, ὥσπερ ἐκ διδασκαλικοῦ θησαυ-
ροῦ προφέροντες καινὰ καὶ παλαιά, τοῖς συνδούλοις διανέμειν σπου-
δάζομεν. ἡ δὲ τοιαύτη διανομὴ, θείας χάριτος χρήζει. σοφίας τε καὶ
φρονήσεως. τίς γάρ φησιν ἐστὶν ὁ σοφὸς οἰκονόμος, καὶ φρόνιμος, ὃν κα-
ταστήσει κύριος ἐπὶ τῆς οἰκίας, διδόναι τὴν τροφὴν ἐν καιρῷ. θείας
οὖν ἐλλάμψεως χρεία τῷ περὶ θεοῦ λαλοῦντι. ἄνευ γὰρ αὐτοῦ λαλεῖν
τι περὶ αὐτοῦ, λίαν ἐστὶν ἐπικίνδυνον. οὐκοῦν πᾶσαν καθάραντες αἴσ-
θησιν, μᾶλλον δὲ πᾶσαν αἴσθησιν καταλιπόντες, καὶ ὑπὲρ τὴν γῆν
αὐτὴν γενόμενοι, καὶ τὸν ἀέρα πάλιν ὑπερβάντες, καὶ πρὸς αὐτὸν
κουφισθέντες τὸν οὐρανόν. εἰ δὲ δυνατόν, καὶ τούτου χωρήσαντες ἀνω-
τέρω, πάσης τε σωματικῆς φαντασίας τὸν νοῦν ἐλεύθερον κα-
ταστήσαντες, γυμνῇ διανοίᾳ τοῖς ἀσωμάτοις προσομιλήσωμεν.
ὑφ' ὧν χειραγωγούμενοί τε καὶ διδασκόμενοι, φύσιν ὑπερφυᾶ θε-
ωρήσωμεν, καὶ οὐσίαν ὑπερούσιον. οὐκ ἐκ καταφάσεως μὲν γινωσ-
κομένην ὅπερ ἐστίν, ἀλλ' ὅτι μόνον ἐστίν. ἐξ ἀποφάσεων δέ, τὸ τί
οὐκ ἔστι λεγομένην. οὐ γὰρ ἀληθεύει θέσις κατηγορουμένη τῆς ὑπὲρ
λόγον οὐσίας. ἀφαίρεσις δὲ μᾶλλον ἀληθεύουσι ἀποφασκομένη
αὐτῆς. εἰ δὲ καὶ ἀληθεύουσι κατ' αὐτῆς ποτε θέσεις, οὐ τὸ τί ἐστι
δηλοῦσι τοῖς ἀκούουσιν. οὐδὲ γνωρίζει φύσιν ἄγνωστον, ἀλλὰ τὸ
πῶς ἔχει πρὸς τὰ ἐξ αὐτῆς παραστήσει. καὶ τοῦτο λίαν ἀμυδρῶς
καὶ μετρίως. ὡς εἰ καὶ ἐν ὕδατι τὸν ἥλιον, ἢ ἐν κατόπτρῳ τὶς
εἶναι διεβεβαιοῦτο τὸ ἴνδαλμα τοῦ ἡλίου. καὶ τὴν σκιὰν ὑποδεχ-
νος ἐν τῷ ὕδατι καὶ τῷ κατόπτρῳ. πῶς οὖν ἐστὶ δυνατὸν ὑμνῆσαι
λόγῳ τὸν ὑπὲρ λόγον; ἢ τί φθεγξάμενός τις ἀξίως ἀποδεῖξαι
εἴη τῇ ἐννοίᾳ τὸν ὑπὲρ ἔννοιαν. οὗτος ἐστὶν ἡ πάντων ἕδρα.

ἡ πάντων κρηπίς· ἡ ἀρχὴ τῶν πάντων, ἐξ ἧς πεφύκασι τὰ πάντα, καὶ πρὸς
ἣν τὰ πάντα νένευκεν· ἡ ἀρχὴ καὶ τὸ τέλος· τὸ ἄλφα φησὶ καὶ τὸ ω.
καλῶς ἔφη θεολογικῶν, ὁ τῶν θεολόγων σοφίσας· ἡ αἰτία τοῦ εἶναι τοῖς
οὖσιν· ἡ τὰ μηδέπω συστάντα, οὐσιώσασα· ἡ τῶν οὐσιωθέντων ἐχομένη ὄντων
τάξις, καὶ διαμονή, καὶ συντήρησις· ἡ δημιουργὸς φύσις· ἡ ποιητική, καὶ
ἐποπτική, καὶ προνοητικὴ δύναμις· ἡ ζωή, καὶ ζῶσα, καὶ ζωοποιὸς
οὐσία· ἡ μόνη* μεθεκτικὴ φύσις· ἡ διὰ πάντων χωροῦσα, ὑπ᾽ οὐδενὸς     *ἢ μεθεκτ.
δὲ χωρουμένη· καὶ τί ἄν, εἴποι τις μωρίᾳ περὶ τοῦ ἀφθέγκτου ἐμπλα-
νησάμενος· τὸ γὰρ ἅπαξ ἄρρητον, οὐ φραθήσεται· καὶ τὸν ἐπέκεινα
νοῦ παντός, οὐ καταλήψεται νοῦς οὐδείς, εἰ καὶ ὁ πάντων εἴη διαβα-
τικώτατος, καὶ θεωρητικώτατος· μηδεὶς οὖν οἰέσθω καταλήψεσθαι
τὸν ἀκατάληπτον· μηδὲ εὑρήσειν τὸν ἀνεύρετον· ἀνόητον γὰρ καὶ
τὸ διώκειν, τὸ μὴ καταλαμβανόμενον· μωρίαις οὖν εὐφρονολο-
γίαις χρώμενοι, δόξομεν μόνον ἀνέμους τὸ δὴ λεγόμενον συν-
άγειν ἐν κόλπῳ, καὶ συστρέφειν ὕδωρ ἐν ἱματίῳ. εἰ γὰρ αὐτὰ
τῆς δημιουργίας τὰ ἔσχατα, τοῖς θνητοῖς ἡμῖν ἐστιν ἄγνωστα· τίς
γὰρ τὸ ὕψος τοῦ οὐρανοῦ διεμέτρησεν, ἢ τίς κατέλαβε τῆς
θαλάσσης τὸ βάθος, ἀέρος χύσιν· ἀνέμων ῥύματα· γῆς βάρος· καὶ
τὰ λοιπὰ τῆς σωματικῆς οὐσίας, πῶς αὐτὴν τὴν δημιουργοῦ φύσιν
οἴεσθαι κατειληφέναι, οὐ τῆς ἐσχάτης παραφροσύνης ἐστί, σιωπή-
σωμεν οὖν ἀναγκαίως ἡμεῖς, λόγον οὐκ ἔχοντες· καὶ βροντάτω πά-
λιν ἄνωθεν ὁ τῆς βροντῆς υἱὸς ἐκ τῶν ὑπερκοσμίων ὅθεν ἐπαιδεύ-
θη τῇ σοφίᾳ φθεγγόμενος· διδότω καὶ τῷ προκειμένῳ λόγῳ προοί-
μιον· ὁδηγείτω καὶ ἡμᾶς σὺν τῷ ἡγεμονικῷ πνεύματι οὗ μετέσχε· καὶ
ᾧπερ ἐμαθήτευσεν, ἐφ᾽ ᾧ πονοῦμεν, καὶ λεγέτω. ἐν ἀρχῇ ἦν
ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν
ἐν ἀρχῇ πρὸς τὸν θεόν. πάντα δι᾽ αὐτοῦ ἐγένετο. διὰ γὰρ τῶν
ὀλίγων τούτων προτάσεων τὸ γνωστὸν τοῦ θεοῦ, τοῖς ἀξίοις τοῦ
θεοῦ ἐφανέρωσε· γνωστὸν δέ φημι, Παύλῳ μαθητεύσας ἐκ τοῦ γνω-
στοῦ· καὶ ἄγνωστον, τί εἶναι σημαίνοντι τοῦ θεοῦ. τὸ τοίνυν γνωστὸν
αὐτοῦ ὡς ἔφην, διὰ τούτων ὁ Ἰωάννης μεγαλοφώνως παρίστησι,
τοὺς ἐν σκότῳ ἀγνοίας φωτίζων διὰ τοῦ φωτός, τοῦ φωτίζοντος

πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, καὶ ἐμφράττων διὰ τῆς ἀποδείξεως(?)
τοῦ λόγου, πᾶν στόμα λαλοῦν κατὰ τοῦ θεοῦ ἀδικίαν, καὶ τὴν ἀΐδιον θεότητα
τοῦ μονογενοῦς ἀρνούμενον, ἐξ οὗ γέγονεν ἡμῖν τοῦ πατρὸς ἡ γνῶσις· εἰ γὰρ ἦν
ἐν ἀρχῇ, πρὸς τὸν θεόν, θεὸς ὢν λόγος καὶ αὐτός, εὔδηλόν ἐστιν ἅπασι τοῖς νοῦν
ἔχουσιν, ὅτιπερ ἦν τις ἀρχή, ἐν ᾗ ἦν ὁ λόγος· πάντως ἦν θεὸς πρὸς ὃν ἦν ὁ
λόγος· ὥσπερ οὖν τὴν ἀρχὴν οὐ καταλήψεται νοῦς ἀεὶ χωρῶν πρὸς τὸ ἄνω,
πάντως γὰρ ἀνωτέραν εὑρήσει ἑαυτοῦ τὴν ἀρχήν, οὕτως ἀδύνατον ὑπερ-
βαθῆναι τὸ ἦν· περιπαντὸς γὰρ ἀεὶ τὸ ἦν, ὑπερτιθέμενον πάσης ἐπι-
νοίας καὶ ἀναβάσεως, καὶ πρὸς τὸ ὑψηλότερον ἀνατάσεως· ὅσον γὰρ
ἄν τις ἑαυτὸν ἀνατείνει τῇ διανοίᾳ προτρέχων ἐπὶ τὸ ἔμπροσθεν, τὸ ἦν
οὐχ ὑπερβήσεται πώποτε· φθάνει δὲ καὶ ἡ ἀρχὴ τὸ πέρας, μὴ συγχωροῦ-
σα τινὶ πρεσβεύειν αὐτῆς· εἰ γὰρ ἔστιν ἀρχή, δευτέρα τινὸς οὐκ ἔστι·
τὸ γὰρ δεύτερον, οὐκ ἀρχή· καὶ τὸ ἐν ἀρχῇ, οὐ μετὰ τὴν ἀρχήν· εἰ οὖν
ὁ λόγος ἦν ἐν τῇ ἀρχῇ, ἀνάγκη(?) πᾶσα θεωρεῖν ἅμα τὸν λόγον τὸν
ἐν τῇ ἀρχῇ, καὶ τὴν ἀρχὴν ἐν ᾗ ἦν ὁ λόγος, καὶ ἐξ ὅτου φα-
μὲν εἶναι τὴν ἀρχήν, ἐξ ἐκείνου συνομολογεῖν καὶ τὸν ἐν τῇ ἀρχῇ
οὐκ ἦν λόγον· οὐκοῦν τὸ *ἦν χώραν οὐκ ἔχει· διότι ἐναντίον ἐστὶ τῷ ἦν,
τὸ οὐκ ἦν· καὶ εἰ ἦν, πῶς οὐκ ἦν· τί οὖν ῥητέον, ἢ ὅτι οὐκ ἦν τὸ οὐκ ἦν·
οὐδὲ γὰρ οὐκ ἦν, ἀλλ' ἦν ἀεὶ ὑφεστός, ὁ περὶ οὗ τὸ ἦν λέγεται· καὶ
ἦν ἐν τῷ πατρί, καὶ πρὸς τὸν πατέρα· δευτέρα μὴ φέρων τινός, ἢ χρόνου,
ἢ αἰῶνος· ἵνα μὴ μέσον τινὶ διείργηται τῆς ἐν ᾗ ἦν ἀρχῆς· καὶ ἀρχὴν
λάβῃ, διὰ τῆς ἀτόπου θέσεως, τὸ οὐκ ἦν· τὸ γὰρ ὑφ' ἑτέρου
προφθανόμενον, ἀϊδίως ἐν τῇ ἀρχῇ θεωρεῖσθαι οὐ δύναται, οὐδὲ
τὸ ἦν ἐπιδέχεται· εἰ δὲ ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ εἰ πρὸς θεὸν
ἔστιν ὁ λόγος, δηλονότι τὸν πατέρα, οὐκ ἔστι θεωροῦσα θεόν, μὴ συνθε-
ωροῦντα τὸν πρὸς αὐτὸν ὄντα λόγον· καὶ εἰ δι' αὐτοῦ πάντα ἐγένετο,
καὶ τὸ ποτὲ δι' αὐτοῦ ἐγένετο· χρόνου γὰρ μόριόν ἐστι τὸ ποτέ· καὶ οἱ
αἰῶνες γοῦν δι' αὐτοῦ γεγόνασι· πῶς οὖν τὸ ποτὲ δύναται πρεσβύ-
τερον εἶναι τοῦ ποιητοῦ τῶν αἰώνων· μάταιος οὖν ὁ λόγος, ὁ τιθεὶς
ποτὲ μὴ εἶναι τὸν ὄντα· ἦν γὰρ ὁ ὢν ἀεί· ὁ ὑπάρχων πρὸ τῶν αἰ-
ώνων· ὁ χωρὶς μεσιτείας προελθὼν ἐκ τοῦ πατρὸς γεννητῶς· οὐ
ἦν γὰρ *τὸ μεσιτεῦον τῇ ἀφράστῳ καὶ θείᾳ γεννήσει, οὐδὲ συμ-
παρῆχεν ὅλως τι τῇ θείᾳ φύσει, ἵνα καὶ μεσιτεύσῃ· οὐχ ὅλως
ἄλογος καὶ ἄτακτος ὥς φασιν οἱ μεμηνότες, καὶ ὅλως ἀλογίᾳ

συζῶντες,

συζῶντες, καὶ ἀταξία. οὐ χάος ἄπειρον καὶ ἀχώριστον. οὐ σκότος, οὐ βυθός.
οὐ σιγή. οὐχ ὅσα πλάττει διάνοια, τὴν ἑαυτῆς ἀγνοοῦσα πλάσιν, καὶ
τῷ ἰδίῳ πλάσματι σφαλερῶς πειθομένη, μηδαμῶς σκοποῦσα τὸ
ἑπόμενον ἄτοπον, μᾶλλον δὲ ἄτοπα, τῇ πεπλανημένῃ δόξῃ. εἰ
γάρ τι μέσον ἐμβληθείη τοῦ γεννήσαντος, καὶ τοῦ γεννηθέντος, ὃ τοῦτο
τολμῶσι ποιῆσαι, τέμνει τὴν οὐσίαν ἀκόσμως, καὶ διΐστησιν αὐτὴν
ἑαυτῆς, μέσῳ διατειχίσματι, τῇ τομῇ μεσολαβουμένην. κἀκεῖνο
γέμον τῷ τινί, κἀκείνου πάλιν αἴτιος ὁ πατὴρ εὑρεθήσεται μᾶλλον
ἢ τοῦ υἱοῦ. καὶ πῶς ἂν ἔτι λέγοιτο πρωτότοκος πάσης κτίσεως, εἰ πρὸ
ἑτέρου πρωτεύοιτο. πρωτότοκος γὰρ ὤν, πάντων πρωτεύει. καὶ αὐτός
ἐστι* πάντων ᾗ φησὶν ὁ ἀπόστολος, ὡς συναΐδιος ὢν τῷ πατρί, τῷ ἀϊ πρὸ πάντ(ων)
δίως ὄντι πατρί, τοῦ ἀϊδίως ὄντος υἱοῦ. θεὸς γὰρ οὐ μόνον ἐστίν, ἀλλὰ
καὶ πατήρ. καὶ ἐξ οὗ θεός, ἐξ ἐκείνου πατήρ. πατὴρ δὲ υἱοῦ ὁ πατήρ, οὐκ ἄλλως
δυνάμενος εἶναι πατήρ, ἢ πάντως ὑφεστῶτος υἱοῦ. χωρὶς γὰρ υἱοῦ, πατὴρ οὐκ
ἔστι. πρὸ πάντων οὖν ἄρα ἐστὶν ὁ υἱός. ὁ ἀρρήτως προελθών, ἐκ τοῦ
γεγεννηκότος αὐτὸν πατρός. οὐ γὰρ ἐξ οὐκ ὄντων ὑπέστησεν αὐτόν, ὥσπερ τὰ
μέρη τῆς κτίσεως. ἐξ αὐτοῦ ζῶντος, ζῶντα, καὶ ὑφεστῶτα λόγον, καὶ
θεόν, καὶ υἱόν. ὁ τοίνυν ἐκ μὴ ὄντων λέγων εἶναι τὸν ἐκ τοῦ ὄντος
προελθόντα κατὰ τοῦ γεννήσαντος μᾶλλον, ἢ τοῦ γεννηθέντος προφέ
ρει τὸ βλάσφημον. τί γὰρ ἀσεβέστερον, τοῦ τὸν ὄντα, μὴ ὄντα
λέγειν. εἰ γὰρ ἐκ τοῦ πατρὸς μὲν γεγέννηται, ὁ ὢν δέ ἐστιν ὁ πατήρ,
φασὶ δέ τινες αὐτὸν ἐκ μὴ ὄντων γεγεννῆσθαι, τὸ ἄτοπον ὅσον,
ἔξεστι παντὶ σκοπεῖν. ἢ γὰρ ἀνάγκη τὸ μὴ ὂν τιμιώτερον εἶναι
τοῦ ἐξ αὐτοῦ προελθόντος. καὶ εὑρίσκεται τὸ ἀνούσιον, τῆς οὐσίας
κρεῖττον. καὶ ἡ στέρησις τῆς ἕξεως. ἢ μὴ ὄντα τὸν πατέρα τὸν γεγεννη
κότα τὸν υἱόν, καὶ ἐξ οὗ προῆλθεν ὁ υἱὸς εἰπεῖν. ὃν φασὶν ἀντὶ
τοῦ πατρὸς ἐξ οὐκ ὄντων εἶναι. εἶτα δέ, πῶς δυνατόν, ἐξ ἀνουσίου
τοῦ μὴ ὄντος, μηδὲ τὴν ἀρχὴν ὑφεστῶτος, τοιαύτην προελθεῖν
οὐσιώδη δύναμιν. εἰ γὰρ οὐκ ἔστιν, ἀνύπαρκτόν ἐστι. καὶ πῶς ἐκ τοῦ
μὴ ὑπάρχοντος ὕπαρξις ἔσται, καὶ ἐκ τοῦ μηδαμῶς ὄντος, τὸ ὂν
οὐσιωθήσεται. εἰ γὰρ *ὅλως ἐστίν, ἕν τι τῶν πάντων ἐστί. καὶ εἰ ἓν τῶν ὄν
πάντων ἐστί, διὰ τοῦ υἱοῦ πάντως ἐγένετο. δι' αὐτοῦ γὰρ
πάντα ἐγένετο. εἰ δὲ μὴ ὄν ἐστι, καὶ λέγουσι τὸν υἱὸν ἐκ μὴ

ὄντων, πρότερον αὐτὸ τὸ μὴ ὂν δοξάζουσι· καὶ τότε διδόασιν αὐτῷ
δύναμιν προφέρειν τοιαῦτα γεννήματα· μὴ λανθανέτω κἀκεῖνο,
λίαν ὂν ἀναγκαῖον πρὸς τὴν προκειμένην ὑπόθεσιν· ὅτι πᾶν γεγονὸς
ἐκ μὴ ὄντων, δύναμιν ἔχει πρὸς τὸ μὴ ὂν χωρῆσαι πάλιν· κἂν
ἐπικρατῇ τῆς φυσικῆς αὐτοῦ ἰδιότητος, κρείττων δύναμις·
τοιαύτην δὲ λαβεῖν περὶ τοῦ υἱοῦ ἔννοιαν, ἔσχατός ἐστι ψυχῆς ὄλεθρος.
μὴ ἐκ τῶν μη οὐκοῦν ἐκ τοῦ πατρός ἐστι κατὰ φύσιν καὶ (*) ἐκ τῶν μὴ ὄντων ὁ υἱός· εἰ
δὲ κατὰ φύσιν ἐστὶν ἐκ τοῦ πατρὸς ὁ υἱός, ὁμοούσιός ἐστιν ἄρα τῷ
γεγεννηκότι πατρί· πᾶν γὰρ γέννημα κατὰ φύσιν ὁμοούσιόν ἐστι
τῷ γεγεννηκότι πατρί· καὶ τὸ πεφυκὸς γεννᾶν, ὁμοούσιον αὐτῷ γεννᾶν
πέφυκε· ταύτῃ λέγουσιν αὐτὸν οἱ ἐν Νικαίᾳ πατέρες θεὸν ἐκ θεοῦ· καὶ πάλιν,
φῶς ἐκ φωτός· οἷος γὰρ ὁ πατήρ ἐστι, τοιοῦτος κατ' οὐσίαν ὁ υἱὸς ἀναδείκ-
νυται· καὶ δηλοῖ τοῦτο σαφῶς ἡ ἐνέργεια· καὶ γὰρ ὧν ἐστιν ἡ ἐνέργεια
μία, μία ἐστὶν ἡ οὐσία· καὶ ἔμπαλιν, ὧν ἡ οὐσία μία, μία πάντως καὶ ἡ
ἐνέργεια· καὶ πρὸς ἔλεγχον τῶν Ἰουδαίων γογγυσάντων κατὰ τοῦ κυ-
ρίου εἰπόντος, ὅτι υἱὸς θεοῦ εἰμί, δείκνυσιν ἀντ' ἄλλης πάσης ἀνάγκης τὴν
ἐνέργειαν μαρτυροῦσαν τῇ ἀληθείᾳ, λέγων αὐτός· εἰ οὐ ποιῶ τὰ ἔργα
τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς
ἔργοις μου πιστεύετε· ἵνα γνῶτε καὶ γινώσκητε, ὅτι ἐγὼ ἐν τῷ πατρί,
καὶ ὁ πατὴρ ἐν ἐμοί· ὥστε παντελὴς ἀπόδειξις, καὶ ἀποχρῶσα, καὶ ἀναν-
τίρρητος τῆς θείας ὁμοουσιότητος, ἡ αὐτὴ πατρὸς καὶ υἱοῦ ἐνέργεια·
ἃ γὰρ βλέπει τὸν πατέρα ποιοῦντα, ποιεῖ ὁ υἱός· οὐχ οἷα ποιεῖ, ἀλλ' ἅπερ ποιεῖ·
τὸ αὐτὸ καὶ περὶ τοῦ ἁγίου πνεύματος, καὶ πιστεύομεν καὶ ὁμολογοῦμεν, ὅτι ὁμοούσιον
ἐστὶ πατρὶ καὶ υἱῷ, καὶ συναΐδιον, ὡς ἀεὶ συνυπάρχον· ὃ γάρ ἐστι τὴν οὐσίαν ὁ
γεννήσας πατήρ, καὶ ὁ γεννηθεὶς υἱός, τοῦτο καὶ τὸ πνεῦμα τὸ ἅγιόν ἐστι.
καὶ ὥσπερ ὁ υἱὸς ἐκ τοῦ πατρός, οὕτω καὶ τὸ πνεῦμα ἐκ τοῦ θεοῦ· ὁ μὲν γεννώ-
μενος· διὸ καὶ υἱός· τὸ δὲ ἐκπορευόμενον, καὶ ἔστι πνεῦμα· μᾶλλον δὲ
χρὴ λέγειν, τὸν μὲν ἀεὶ γεννώμενον· τὸ δὲ ἐκπορευόμενον· οὕτω γάρ
φησιν ὁ κύριος· περὶ μὲν ἑαυτοῦ· πρὸ πάντων βουνῶν γεννᾷ με· περὶ δὲ
τοῦ πνεύματος, ὅτι παρὰ τοῦ πατρὸς ἐκπορεύεται· τὸ δὲ τῆς γεννήσεως καὶ
τῆς ἐκπορεύσεως, διάφορον, οὐ δείκνυσιν οὐσίας διαφοράν· οὐ γὰρ
τὸ εἶναι σημαίνει τὸ διάφορον τῆς ὑπάρξεως, ἀλλὰ τὸ πῶς εἶναι
δηλοῖ, μενούσης τῆς αὐτῆς οὐσίας· τοῦ, τε ἐξ οὗ, καὶ τῶν ἐξ αὐτοῦ
φάντων, κατὰ διάφορον ἔκληψιν. ὁ μὲν οὖν τρόπος ὡς εἴρηται τῆς
ὑπάρξεως.

ὑπάρξεως, διαφέρει· τῆς οὐσίας δὲ ὁ λόγος, ὁ αὐτός. οὐ τῷ αὐτῷ γὰρ
εἶναι μὴ ὁμοίως· μὴ θαυμάζωμεν δὲ λέγοντες τοῦ υἱοῦ, ἔξοδον ἀπὸ τοῦ
πατρὸς τὴν ἑκατέρου πρόοδον. εἶπε γάρ φησιν ἐκ τοῦ πατρὸς ἐξῆλθον, καὶ ἥκω.
καὶ πάλιν· τὸ πνεῦμα, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. εἰ γὰρ καὶ τὸ ἐξελθεῖν
καὶ τὸ ἐκπορευθῆναι ταὐτὸν ἐνταῦθα σημαίνει, τῷ πνεύματι νοῶ τὴν ἐκ-
πόρευσιν μᾶλλον κατ' ἐξαίρετον ἥρμοσεν, ὥσπερ ἑαυτῷ τὴν γέννησιν.
ὡς γὰρ πνεῦμα καλεῖται ὁ πατήρ, πνεῦμα δὲ καὶ ὁ υἱός, κατὰ τό, πνεῦμα ὁ θεός.
καὶ πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς ὁ κύριος. ἰδίως δὲ πνεῦμα ἐστὶν ἅγιον τοῦτο,
τὸ συμπληρωτικὸν τῆς ἁγίας τριάδος. οὕτως εἰ καὶ ἐξελθεῖν ἐκ τοῦ
πατρὸς ὁ υἱὸς καὶ τὸ πνεῦμα λέγονται, ἀλλ' οὖν ἡ ἐκπόρευσις διαφερόντως,
τοῦ ἁγίου πνεύματος ἐστίν, ὥσπερ ἡ γέννησις ἐστι τοῦ υἱοῦ. τὸ μὲν οὖν ἀγέννητον
καὶ τὸ γεννητόν, καὶ τὸ ἐκπορευτόν, ἅπερ τὴν ἁγίαν τριάδα καθ-
ίστησι, μιᾶς καὶ τῆς αὐτῆς ἐστι φύσεως. ἡ δὲ ἀγεννησία, καὶ ἡ γέν-
νησις, καὶ ἡ ἐκπόρευσις, οὐκ ἔστιν ἀλλήλοις ὅμοια. διαφέρει μὲν
γὰρ ἀγεννησίας γέννησις· γεννήσεως δὲ καὶ ἀγεννησίας, ἐκπόρευ-
σις. οἷς δὲ ταῦτα ὑπάρχει, συμφυεῖς εἰσι καὶ ὁμοούσιοι. τὴν αὐτὴν
οὖν οὐσίαν φαμέν, πάλιν γὰρ λέγω τῆς ἁγίας τριάδος, τριά-
δα λέγοντες οὐκ οὐσιῶν, ἀλλὰ μᾶλλον ὑποστάσεων. ἕνα γὰρ θεὸν
δοξάζομεν. οὐ τῷ ἀριθμῷ, ἀλλὰ τῇ φύσει. οὐ γὰρ πάντως τὸ ἓν
ἀριθμῷ, πάντως καὶ ἓν ἐστι τῇ φύσει. καὶ τὸ ἓν τῇ οὐσίᾳ, οὐ πάν-
τως καὶ ἓν ἐστιν ἀριθμῷ. καὶ παραδείγματος ἕνεκα, τὸν κόσμον
παραληψόμεθα. οὗτος γὰρ τῷ μὲν ἀριθμῷ εἷς ἐστιν. οὐκ ἔστι δὲ τῇ φύσει
εἷς, ἀλλὰ πολλά, ἐξ ὧν συγκεῖται. καὶ ὁ ἄνθρωπος οὔμπαλιν, εἷς μὲν τῇ φύσει
τῇ φύσει ἐστὶν ἄπειρος δὲ τῷ ἀριθμῷ. καὶ ἡ ἁγία τοίνυν τριάς, εἷς θεός
ἐστι τῇ οὐσίᾳ. τῷ ἀριθμῷ δὲ τριάς, ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι προσ-
κυνουμένη, καὶ δοξαζομένη. οὐδέποτε συστελλομένη τῆς τριάδος ἐντός,
ἢ χεομένη ταύτης ἐκτός, πρὸς ἕτερον ἀριθμόν. οὐ γὰρ θέμις ἢ δυάδα
νοεῖν, ἢ τετράδα παρεισάγειν, καὶ συνάπτειν τῷ μυστικῷ τούτῳ τῆς
ἁγίας τριάδος ἀριθμῷ. ἢ ἀφαιρεῖν, τι ἀπ' αὐτοῦ. τριὰς γὰρ
ἐστὶν ἀεί, πάσης δημιουργός. πάσης προσκυνητή. συναΐδιος ἑαυτῇ.
μόνη ἄκτιστος. κτίζει γὰρ οὐ κτίζεται. οὐδὲν αὐτῆς πρεσβύτερον
ἢ μεταγενέστερον. τὸ γὰρ πρό, καὶ μετά, χρόνου τμήματα. θεὸς δὲ
ποιητὴς χρόνων. οὐ γὰρ ὑπὸ χρόνον ἐστίν. ἀδύνατον δὲ νοῆσαί τι
τῆς τριάδος κάτω. τὸ γὰρ κάτω τῆς αὐτῆς οὐσίας τιθέμενον,

συνεπάγεται καὶ τὰ ὁμοούσια. διὰ τοῦτο μηδὲν ταπεινοφρονῶμεν περὶ
τοῦ ἑνός, ἵνα μὴ συνταπεινώσωμεν τὸ πᾶν. οὐ γὰρ ἀνέχεται τοῦ συμφυοῦς
χωρισθῆναι τὸ θεῖον. οὐδὲ δόξαν ἡγεῖται τὴν ἀτιμίαν τοῦ σὺν αὐτῷ.
ἀτιμία δὲ τὸ, ποτὲ, καὶ τὸ, οὐκ ἦν. καὶ τὸ κτιστὸν, καὶ τὸ ἐξ οὐκ ὄντων.
ἅπερ ἅπαντα τῆς περὶ θεοῦ δόξης ἐστὶν ἀλλότρια. θεὸν οὖν τὴν ἁγίαν
τριάδα δοξάζοντες, ὅσα περὶ θεοῦ ἀπεμφαίνει λεγόμενα μηδὲν
κατὰ διάνοιαν δεξώμεθα. μὴ τοίγε δὴ καὶ διὰ γλώττης προσα-
γάγωμεν μαρτυροῦντος τοῦ θεοῦ περὶ τοῦ ἐξ αὐτοῦ φύντος υἱοῦ, ὅτι
ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησεν αὐτόν. γαστέρα δὲ νοεῖ τὴν
ἀπόκρυφον, καὶ ἀπόρρητον οὐσίαν. καὶ πάλιν περὶ τοῦ ἁγίου πνεύματος
λέγοντος, ὅτι τὸ πνεῦμα παρ' ἐμοῦ ἐξελεύσεται. ὁ δὲ σωτὴρ ἡμῶν
ἰησοῦς περὶ τοῦ συμφυοῦς αὐτοῦ παρακλήτου φησίν, ὅτι παρὰ μὲν τοῦ
πατρὸς ἐκπορεύεται. λαμβάνει δὲ καὶ τοῦ υἱοῦ. τὰ πάντα τοῦ πατρὸς
οἰκειουμένου καὶ ἔχοντος. μία γὰρ ἡ οὐσία. καὶ τῆς μιᾶς οὐσίας πάν-
τα κοινά. κοινὴ δὲ καὶ ἡ οὐσία. φυσικὴ γὰρ ἡ σχέσις. καὶ τὰ πρός
τι πως ἔχοντα, συνεισάγει τὰ ἕτερα, πρὸς ἃ τὴν φυσικὴν ἔχει
σχέσιν. συνάγει τοίνυν ὁ πατὴρ τὸν υἱόν, καὶ ὁ υἱὸς τὸν πατέρα. καὶ
χωρὶς θατέρου νοηθῆναι τὸ ἕτερον ἀδύνατον. εἰ μὴ γὰρ υἱὸς ἦν,
πάντως πατὴρ οὐκ ἔστι. τίς γὰρ εἴη πατὴρ, μὴ παρόντος υἱοῦ. καὶ πάλιν.
πῶς υἱὸς ἔσται μὴ ὄντος πατρός. ὥσπερ γὰρ τοῦτο, οὕτω κἀκεῖνο. λό-
γος δὲ ὑπάρχων ὁ υἱός, συναναδείκνυσιν ἑαυτῷ τὸ πνεῦμα. λόγος γὰρ
χωρὶς πνεύματος οὐκ ἔστιν. ὥσπερ οὐδὲ νοῦς χωρὶς λόγου. νοῦν δὲ φαμὲν τὸν πατέρα τοῦ
λόγου. νοῦν ἐν ᾧ ὁ λόγος. μεθ' οὗ τὸ πνεῦμα τὸ ἅγιον. πνεῦμα στόματος τοῦ θεοῦ
χρηματίζον. στόμα γὰρ πατρὸς ὁ υἱός. ὥστε ἀναγκαίως τῆς τριάδος ὁ ἀριθ-
μός, ἐπὶ τῆς θείας λαμβάνεται φύσεως, εἰς παράστασιν τῶν χαρα-
κτηριστικῶν ὑποστάσεων, τὴν οὐσιώδη σχέσιν αὐτῶν ἐνδεικνύμενος. καὶ
συναΐδιον τῆς οὐσίας τυγχάνουσαν. τριάδα δὲ φαμὲν, τὴν οὐ κατὰ
σύνθεσιν μονάδων συντεθειμένην, καὶ προϊοῦσαν ἀπὸ μονάδος ἐπὶ τριά-
δα. προϋπάρχει γὰρ ταύτης μονάς, καὶ δυάς. καὶ πάλιν ἕπεται τε-
τράς, καὶ τὰ ἑξῆς. τῆς δὲ ἁγίας τριάδος, οὔτε προϋπάρχει μονάς,
ἢ δυάς. οὐδὲ τετρὰς αὐτῇ, καὶ ἑξῆς ἕπεται. φύσει γὰρ τριάς ἐστιν.
ὡσαύτως ἀεὶ πρὸς ἑαυτὴν ἔχουσα. μήτε λείπουσα, μήτε πλεονάζ-
ουσα. καὶ γὰρ μονὰς οὖσα, θεωρεῖται τριάς. καὶ τριὰς θεωρουμένη,
μονάς ἐστιν. ὅτε γὰρ νοοῦμεν οὐσίαν, μονάδα θεωροῦμεν ἁπλῶς. ὅτε
δὲ ὑποστάσεις,

δὲ ὑποστάσεις. τριάδα δοξάζομεν· μέχρι γὰρ τριάδος μόνης ὑποστάσεων ὁρίζεται τῆς οὐσίας ἡ μονάς. ἐπεὶ γὰρ καὶ μία φύσις ἐστὶ τῆς θεότητος, μία γὰρ καὶ ἔστιν, ἀλλ' οὐχ οὕτως ἐστὶ στενή, ὡς μιᾷ περιγραφῆναι ὑποστάσει θεότητος ἥτις μία μέν ἐστιν ὡς θεότης. ὡς δὲ χαρακτηριστικαῖς προσώπων ἰδιότησι, φαίνονται τρεῖς. ἔστι γὰρ πατὴρ ὁ πατήρ. οὐχ υἱὸς μέν. θεὸς δέ. καὶ ὁ υἱὸς ὁμοίως υἱός, καὶ οὐ πατὴρ μέν. θεὸς δέ. καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὔτε πατήρ, οὔτε υἱός. ἀλλ' αὐτὸ μὲν ὃ λέγεται πνεῦμα ἅγιον. θεὸς δέ. ὃ γάρ ἐστιν ἕκαστον τῶν εἰρημένων τῇ οὐσίᾳ, τοῦτο καὶ τὰ συνονομαζόμενα, καὶ συνόντα. περὶ γὰρ τὰς ὑποστάσεις ἡ διαφορά, οὐ περὶ τὴν οὐσίαν. ὅπερ οὖν ἐστιν ὁ γεννήσας πατήρ, τοῦτο καὶ ὁ γεννηθεὶς υἱός. καί τοι μὴ γεννήσας, ἐπεὶ κἀκεῖνος μὴ γεννηθείς, καὶ γεννήσας, ὅπερ ὁ γεγεννημένος ἐστί, τοῦτο καὶ αὐτὸς κατ' οὐσίαν ἐστίν. ὁμοίως καὶ τὸ πνεῦμα τὸ ἅγιον μήτε γεννῆσαν μήτε γεννηθέν, ὅπερ τὸ γεννῆσαν, καὶ τὸ γεννηθὲν ἐστὶ κατὰ φύσιν. ἕκαστον γὰρ τῆς αὐτῆς καὶ μιᾶς καὶ μόνης ὑπάρχον ἀχωρίστου φύσεως, ἰδιότητα ἔλαχεν ἣν οὕτως εἴποιμεν ἰδιαίτατα, χαρακτηριστικὴν προσωπικῆς ὑποστάσεως. ὁ μὲν πατήρ, τὸ ἀγέννητον. ὁ δὲ υἱός τὸ γεννητόν. τὸ δὲ πνεῦμα τὸ ἅγιον, τὴν ἐκπόρευσιν. καὶ οὐ κοινοποιεῖται ταῦτα, καθάπερ κοινὴν τὴν οὐσίαν φαμέν. οὐ γὰρ μεταπίπτει τὸ ἰδιάζον εἰς κοινότητα. πῶς γὰρ λοιπὸν ἰδιάζον ἐστί. καὶ τὸ κοινὸν πάντων, οὐκ ἂν ἴδιον γένοιτο πώποτε, τινός. οὐδὲ ἔμπαλιν. ὥσπερ γὰρ οὐκ ἴδιον τινὸς εἰ τύχοι τὸ γελαστικόν, πάντων γάρ, οὕτως οὐ πάντων τὸ σιμὸν ἢ τὸ γρυπὸν ἑνὸς γὰρ τὰ τοιαῦτα. ἀλλὰ τὰ παραδείγματα τῆς εἰκόνος ἀνάξια, σύμφημι. παράδειγμα δὲ ὅμως ἐστὶ πρὸς τὸ δηλῶσαι, μὴ παντελῶς δύνασθαι τὰ ἰδίως ὑπάρχοντα τινί, φύσεως ἀλλοίωσιν ποιεῖσθαι. κοινῆς γὰρ οὔσης ὡς ἔφην τῆς οὐσίας ἐπὶ τῆς ἁγίας τριάδος τὸ προσὸν τοῖς προσώποις ἴδιον, ἀφορίζει τὰς ὑποστάσεις. καὶ ἔστι μόνου τοῦ πατρός, τὸ ἀγέννητον ἴδιον. τοῦ δὲ υἱοῦ, τὸ γεννητόν. καὶ τοῦ πνεύματος, τὸ ἐκπορευτόν. οἷς οὐ δεῖ προσέχοντας, καὶ τῆς οὐσίας διαφορὰν ζητεῖν. ἀσεβὲς ἅμα καὶ ἀνόητον, τὸ ταῦτα περιέργως ὑπονοεῖν. ὁ γὰρ τοῦτο νομίζων ἀληθὲς εἶναι, καὶ συναλλοιοῦν τοῖς μονοτρόποις ἰδιώμασι τὴν οὐσίαν, ὑπονοείτω κατὰ τὸ ἀκόλουθον, τὸν ἀδάμ. καὶ τὴν εὔαν, καὶ τὸν ἄβελ, μὴ εἶναι τῆς αὐτῆς οὐσίας. ἐπειδή, ὁ μὲν ἐστὶ πλάσμα. ἡ δὲ τμῆμα. ὁ δὲ γέννημα. καὶ ὁ μέν, πατήρ. ἡ δὲ μήτηρ. ὁ δὲ υἱός. ἀλλὰ πάντες ἄνθρωποι κατ' οὐσίαν μηδὲν ἀλλήλων διαφέροντες, εἰ καὶ ὁ

μὴ οὐ προῆλθεν ἐκ γονέων φυσικῶς, ἀλλ' ἐπλάσθη θεοῦ χειρῶν. ἡ δὲ, μέ-
ρος ἐστὶ τοῦ πλάσματος, ἐκ τοῦ ἀνδρὸς ἀποτμηθεῖσα. ὁ δὲ προῆλθε φυ-
σικῶς, ἔκ τε τοῦ πλάσματος καὶ τοῦ τμήματος, ἐκ γονέων γεννηθείς·
τὴν γὰρ φύσιν οὐκ ἤμειψεν, ἡ πολύτροπος παραγωγή, καὶ τὸ παρηλλα-
γμένον τῆς ὑπάρξεως· ὥστε τὸ περὶ τὴν οὐσίαν ὡς πολλάκις ἔφη-
μεν ἰδίωμα, τὴν οὐσίαν οὐ συμμεταβάλλει, καὶ τέμνει. μένει γὰρ ἀδιαί-
ρετος, ἐν τοῖς διαφόρου λαχοῦσιν ὑπάρξεως. καὶ πᾶσα χωρὶς τομῆς καὶ
διαιρέσεως, ἐν ἑκάστῳ τῶν ὅλων ἐστίν, οὐκ ἐξιδιαζομένη κατὰ τὸ ἰδίωμα·
πᾶς γὰρ ἄνθρωπος, ἄνθρωπός ἐστι. πᾶσαν ἔχων ἐν ἑαυτῷ τὴν ἀμέριστον οὐσίαν.
ἐπὶ τῆς θεότητος οὖν, ὅπερ λέγεται εἶναι ὁ ἀΐδιος πατὴρ κατ' οὐσίαν θεός,
τοῦτο λέγεται, καὶ τὰ ἐκ τοῦ αὐτοῦ. τουτέστιν ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅ-
γιον. ποιότητος γὰρ οὐκ οὔσης, ἢ ποσότητος, ἢ χρόνου, ἢ τόπου, ἢ θέσεως,
πόθεν ἡ διαφορὰ τῆς οὐσίας. καὶ ἀμεροῦς αὐτῆς οὔσης κατὰ φύσιν, πό-
θεν ἀνεφάνησαν οὐσίαι μερικαί. καὶ εἰ μέρος ἐστὶν οὐσίας, πῶς τὸν πατέρα
ἐν ἑαυτῷ δείκνυσιν ὁ υἱός. ποτὲ μὲν λέγων, ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ
ἐν ἐμοί ἐστι. ποτὲ δὲ πρὸς φίλιππον, ὁ ἑωρακὼς ἐμέ, ἑώρακε καὶ
τὸν πατέρα. καὶ πάλιν ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. ἔστιν οὖν ὁ υἱὸς ἐκ τοῦ πατρός,
καὶ οὐ μέρος αὐτοῦ. φῶς ἐκ φωτός, καὶ οὐ μερικὸν φῶς. θεὸς ἐκ θεοῦ, καὶ οὐ
μέρος θεότητος, ἢ οὐσίας. ὁμοίως καὶ τὸ πνεῦμα τὸ ἅγιον. καὶ ἔστιν ἀλη-
θινὸς θεὸς ὁ πατήρ. οὕτω γὰρ καλεῖ αὐτὸν ὁ υἱὸς λέγων, ἵνα γινώ-
σκωσί σε τὸν μόνον ἀληθινὸν θεόν. ἑαυτὸν δὲ ἀλήθειαν ὀνομάζει.
λέγων, ἐγώ εἰμι ἡ ἀλήθεια. καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἀληθείας πνεῦμα.
τοῦτο δέ, παρὰ τοῦ πατρὸς μὲν ἐκπορεύεται. λαμβάνει δὲ τὰ τοῦ υἱοῦ
πάντα, τὰ τοῦ πατρὸς ὄντα, πρὸς ἀπόδειξιν καὶ φανέρωσιν τοῦ ὅτι
μία οὐσία ἐστὶ τοῦ, τε λαμβάνοντος, καὶ τοῦ παρ' οὗ λαμβάνει, καὶ τοῦ
ἐξ οὗ φυσικῶς ἐκπορεύεται. οὐδὲ γὰρ ἂν προῆλθεν ἐξ ἑτεροουσίου,
ἢ ἔλαβέ τι τοῦ μὴ ὁμοουσίου. εἰ δὲ ὁμοούσιά ἐστιν αὐτῷ, τὸ ὅθεν προ-
ῆλθε, καὶ τὸ ἐξ οὗ λαμβάνει, κἀκεῖνα πάντως, ἑαυτοῖς ἐστιν ὁμο-
ούσια. τὰ γὰρ τῷ αὐτῷ ὁμοούσια, δῆλον ὅτι καὶ ἀλλήλοις ἐστί. καὶ
ἔστιν ἀληθῶς ὁμοούσια. διὸ ἀναγκαίως, καὶ συνδοξάζεται, καὶ
συμπροσκυνεῖται, τριὰς ὁμοούσιος οὖσα. ναὶ μήν, καὶ συνονομά-
ζεται κοινῶς παραλαμβανομένη, πρὸς τὴν τῶν βαπτιζομένων
ἀναγέννησιν. ἐπεὶ γὰρ ἐξ αὐτῆς εἰς τὸ εἶναι παρήχθημεν,

δι' αὐτῆς παλαιωθέντες ἀνακτιζόμεθα. οὐ γάρ ἐστιν ἑτέρου τινὸς τὸ
ἀνακτίσαι, πλὴν τοῦ κτίσαντος ἐν ἀρχῇ. καὶ οὐκ ἄν τι ὀνομασθῇ ἐπὶ τοῦ
ἀνακαινισμοῦ, μὴ κοινωνοῦσαν τῆς ἀρχῆθεν παραγωγῆς. πάλιν οὖν ἐροῦ-
μεν, ὅτι θεὸς εἷς ἐστιν ἡ τριάς, εἰ καὶ διαφόροις καλοῖτο προσηγορίαις.
αἵ τινες, οὐ τὸ εἶναι δηλοῦσιν, ἀλλὰ τὸ πῶς εἶναι σημαίνουσιν. οὐ γὰρ ὁ
εἰπὼν πατέρα,* οὐσίωσιν ἐσήμανεν, ἀλλὰ πάντως σχέσιν. εἰ δὲ τὸ πατὴρ σχέσις οὐσίαν
ἐστὶ, πάντως, πρὸς καὶ τὸν υἱόν. ἑκάτερον γὰρ θάτερον συνεισάγει τιθέμε-
νον καὶ συναναιρεῖ ἀναιρούμενον. ἐὰν γὰρ ἀνέλῃς τῷ λόγῳ τὸν ἄβελ
συνανεῖλες τὸ εἶναι αὐτοῦ πατέρα τὸν ἀδάμ. τοῦτο γὰρ οὐσία ἐστὶν αὐτοῦ,
καὶ οὐ πρὸς ἕτερον σχέσις. ἀναλαβόντες οὖν αὖθις τὸν λόγον ἐροῦμεν. θεὸν
ἕνα καὶ μόνον εἶναι τρισὶν ὑποστάσεσι θεωρούμενον. καὶ τοῦτο καὶ μωϋσῆς,
ὁ πάντων τῶν προφητῶν πρεσβύτατος, σαφῶς ἐπιστάμενος, φησίν. ἄκουε
ἰσραήλ. κύριος ὁ θεός σου, κύριος εἷς ἐστιν. οὐ μόνον δὲ μωϋσῆς, ἀλλὰ καὶ πάντες
οἱ ἐξῆς θεολόγοι, πλουσίως μετασχόντες τοῦ θεολογικοῦ πνεύματος, ἐν θεω-
ρίᾳ γεγόνασιν ἀκριβεῖ, τῆς τρισυποστάτου θεότητος. καὶ παρέδωκαν
ἡμῖν διδασκαλίαν ἀκραιφνῆ, μονάδα δοξάζειν ἐν τριάδι· καὶ τρι-
άδα ἐν μονάδι· παράδοξον ἔχουσαν, καὶ τὴν διαίρεσιν, καὶ τὴν ἕνω-
σιν. οὔτε γὰρ ἡ διαίρεσίς ἐστιν ἀλλοτρίωσις, καὶ χωρισμός, οὔτε ἡ ἕνωσις
συναλοιφὴ καὶ σύγχυσις. ἀλλὰ καὶ ἡ ἕνωσις ἁπλότης, καὶ ἡ διαίρεσις
θαυμασία. θεοπρεπὴς δὲ ἑκατέρα. ἐπειδὴ δὲ τὴν ὑπόστασιν μερικὴν
φύσιν ᾠήθησάν τινες εἶναι, καὶ ἐδόξασαν ὧδε, φυλακτέον ἡμῖν
τὸ φρονεῖν κατ' αὐτούς. οὐ γάρ ἐστιν αὐτῶν εἰλικρινὴς ἡ δόξα καὶ
τοῖς θεολόγοις συμβαίνουσα. φύσις γὰρ ἰδικὴ, μερισμὸν δηλοῖ. οὐδὲν
δὲ μεριστὸν θεοῦ. μὴ δὲ λεγέσθω τοίνυν ἡ ὑπόστασις, ἰδικὴ φύσις. οὐ γάρ ἐστι
φύσις ἡ ὑπόστασις, ὥσπερ οὐδὲ* ἡ ὑπόστασις φύσις. ἡ γὰρ οὐσία μονοειδής ἐστι, ὑπόστασις ἡ φύσις.
καὶ ἀμέριστος. καὶ ἐν ἀμερίστῳ καὶ ἁπλῇ μέρη ζητεῖν, ἀνόητον. τοῦ γὰρ συν-
θέτου ἐστὶ, τὸ τέμνεσθαι, καὶ μερισμοὺς ὑπομένειν. ὅσοι τοίνυν οὕτω δοξά-
ζουσιν, οὐ μόνον τοῖς ἀτόποις τούτοις περιβάλλονται, ἀλλὰ καὶ τρεῖς μερι-
κοὺς θεοὺς ἀναγκαίως ὑποτίθενται εἶναι. τὴν θείαν ἐν ἑαυτοῖς δια-
λαγχάνοντες οὐσίαν. μᾶλλον δὲ οὐκ οὐσίαν, ἀλλ' οὐσίας. εἰ γὰρ τρεῖς,
οὐκέτι μία μονοειδὴς, καὶ ἁπλῆ, καὶ ἀσύνθετος. πόθεν. κἂν τὸ ὁμοούσιον
αὐταῖς ἐπιφημίζουσιν,* οἱ τολμηταὶ τῶν τοιούτων. εἰ γὰρ ἰδιάζουσα οὐδ' ὅμως πλανῶνται οἱ τ.
φύσις ἐστὶν ἑκάστου, καὶ ἀδυνάτως ἔχουσα τὴν τῆς ἑτέρας ὑπελθεῖν
ἰδιότητα, πῶς ἂν τὸ ὁμοούσιον ἔχουσιν, ὁπότε καὶ τὸ ὅμοιον λέγειν
ἐπὶ τῆς τριάδος, ἄκριτον, καὶ ἀδιανόητον. τὸ γὰρ ὅμοιον, ἡ κατὰ

ποιότητα, ἢ κατὰ ποσότητα λέγεται. ἔνθα δὲ μηδὲν τοιοῦτον ἐστιν, ἄποιος
γὰρ καὶ ἄποσος ὁ θεός, τὸ ὅμοιον πῶς ἔχει χώραν; ἡμεῖς μὲν οὖν, οὔτε ὅμοιον,
οὔτε ἀνόμοιον, τὴν ἄποιον, καὶ ἄποσον τριάδα δοξάζομεν, ἀλλ' ὁμοούσιον,
καὶ ἀδιαίρετον. οἱ δὲ διαιροῦντες, καὶ ποιοῦντες ὡς βούλονται τὴν μίαν τρεῖς,
ἰσότητα ἀσεβοῦντες. καὶ πολυθεΐαν εἰσηγούμενοι. καὶ τὴν μοναρχίαν ἀθετοῦν-
τες, μὴ διδόντες τῆς διαιρέσεως τὸν κίνδυνον. τομὴ γὰρ τῶν συμπεφυ-
κότων, ὁ μερισμὸς τῶν οὐσιῶν. καὶ τὸ ἴσαζον καὶ ἐξηλλαγμένον. τῆς δὲ παρὰ
τὴν δε. καὶ γὰρ ὁ λέγων οὐσίαν πρὸς ἰδικήν, μὴ δυναμένην εἶναι φύσιν
οὐσίας ἤγουν, ὁ λοιπὸν πως ἐξηλλαγμένην οὐσίαν, μᾶλλον δὲ* οὐσίαν εἰσάγει. καὶ τὸ ὁμο-
ούσιον, πῶς ἐν ταῖς διαφόροις οὐσίαις φανήσεται. μάτην οὖν ἐπιφημίζουσι,
τὸ ὁμοούσιον πεποιημένοι δοξάζειν, ὅπερ οὐ δοξάζουσιν ἀληθῶς, διαιροῦν-
τες τὴν ἀδιαίρετον οὐσίαν. καὶ θαυμαστόν, εἰ μὴ καὶ αὐτοὶ τμηθεῖεν, καὶ
διαιρεθεῖεν. ἢ μᾶλλον εὐαγγελικῶς εἰπεῖν, διχοτομηθεῖεν. καὶ τὸ μέρος
μετὰ τῶν ὑποκριτῶν λάβοιεν. οἱ πιστεύειν μέν, οὐ δικαίως λέγονται. τοὐναντίον
δὲ μᾶλλον, οὐ μὴ δύνανται πιστεύειν, ὡς καπηλεύοντες τὴν πίστιν, καὶ ἀπεμ-
παρεχόμενοι πολοῦντες αὐτήν, κενῆς δόξης* παρεχομένην χάριν. περὶ οὓς φθάσας ὁ κύριος εἴρη-
κε· πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες. καὶ τὴν δόξαν
τὴν παρὰ τοῦ μόνου θεοῦ, οὐ ζητοῦντες. οὗτοι τὴν δόξαν τῶν ἀνθρώπων, ἢ τὴν δό-
ξαν τοῦ θεοῦ ἀγαπήσαντες, αὐτοῖς τὸ ἴδιον χαρίζονται φρόνημα τοῖς καιροῖς
ἐξωνούμενοι. καὶ τὴν πίστιν ὡσανεὶ καπηλεύοντες διὰ μεταθέσεως, τῆς πρὸς τὸ
δοκοῦν τῷ ἄρχοντι, πωλευομένην. οἷς βέλτιον ἦν, ὡς εἰκὸς ἀπέχειν ἤδη
τὸν μισθὸν αὐτῶν, ὥσπερ οἱ διὰ τὸ φανῆναι τοῖς ἀνθρώποις νηστεύοντες, ἢ ἐλε-
οῦντες, ὑποκριταί, καὶ μὴ χείρονα κόλασιν ἑαυτοῖς ἀποτίθεσθαι, καὶ ὕλην,
ὑπέκκαυμα μὴ σβεννυμένου πυρός. μηδεὶς οὖν ἢ χαριζόμενος ἑτέρῳ, ἢ ἀν-
θρωπαρέσκῳ πειθόμενος λογισμῷ, τῆς ὑγιοῦς ἀποκλινέτω δόξης. μηδὲ τὸ
τῆς πίστεως παραιτείσθω σύνθημα, διὰ φόβον κολάσεως, ἢ δι' ἀπειλὴν πρα-
γμάτων ἀφαιρέσεως. τί γὰρ ἀφαιρεθήσεται πίστεως ἰσοστάσιον. ἀλλὰ μη-
δὲ διὰ κέρδους ἐλπίδα. τί γὰρ κερδανεῖ, θεὸν ζημιούμενος. πᾶς γὰρ ὁ
κόσμος βραχύς, παραθέσει τοῦ κτίσαντος. καὶ αὐτὸς ὁ αἰών, οὐχ ἱκανὸς
παραστῆσαι τὸ μέγεθος τοῦ ποιήσαντος. οὗ ὁ ζημιούμενος, τί πλέον ἕξει.
τί δὲ ἴσον, οὗ ἀπολώλεκεν. ἀλλὰ μηδὲ τὴν ὁμολογίαν ὑποστελλέσθω
τῆς πίστεως, ὁ θέλων ἀληθῶς εἶναι πιστός. ἄρνησις γάρ πως ἐστὶν ἡ
ὑποστολή. παρρησία δέ, τῆς ὁμολογίας τὸ βέβαιον ἐμφαίνει τῆς
πίστεως. κἂν ὁ δίκαιος οὖν ὑποστείληται, δίκαιος οὐκέτι ἐστίν. οὐκ ἔστι

δοκεῖ γάρ

δοκεῖ γὰρ φησὶν ἡ ψυχή μου ἐν αὐτῷ. πάλιν δὲ παρ' αὐτοῦ τοῦ σωτῆρος ἀκηκόαμεν, ὅτι πᾶς ὁ ὁμολογῶν αὐτὸν ἐνώπιον τῶν ἀνθρώπων, ὁμολογηθήσεται καὶ αὐτὸς ὑπ' αὐτοῦ, ἐνώπιον τοῦ ἐν οὐρανοῖς πατρὸς αὐτοῦ. καὶ γὰρ ἐφ' ἑκάστου, τὸ ὅμοιον ἀντιδίδοται· τῇ προκαταρξάσῃ τῆς μὲν ὁμολογίας, ἡ ὁμολογία· τῆς δὲ ἀρνήσεως, ἡ ἄρνησις. πλὴν οὐχ ὁμοίως. εἴπερ αἱ μὲν ἡγούμεναι, ἐπὶ τῶν ἀνθρώπων· αἱ δὲ ταύταις ἑπόμεναι, ἐπὶ τοῦ πατρὸς, καὶ τῶν ἁγίων ἀγγέλων γίνονται. διὰ τοῦτο τοίνυν ἀσφαλιζέσθω πᾶς ἑαυτὸν, τὸν ἐπηρτημένον ὑφορώμενος κίνδυνον. καὶ πάντα φόβον ἀνθρώπινον, καὶ πᾶσαν ἀρέσκειαν, διά τινα κενόδοξον ἀποτιναττέτω τῶν ἑαυτοῦ λογισμῶν. μόνον ἐκεῖνον φοβούμενος, τὸν δυνάμενον καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἀπολέσαι ἐν γεέννῃ. καὶ πεπεισμένος ὅτι διεσκόρπισε καὶ διασκορπεῖ κύριος, ὅσα ἀνθρωπαρέσκων. διὸ πρὸς μόνην ὁρῶμεν τὴν δόξαν τοῦ θεοῦ, καὶ μόνον κριτὴν τὸν λόγον ἐκδεχώμεθα, πρὸς ὃν ἡμῖν ὁ λόγος. τί γὰρ ὠφεληθήσεται καθά φησιν ὁ Χριστὸς ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ. ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ. μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ. καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. πρὸς ἐκείνην οὖν τὴν κρίσιν, τὸ ὀπτικὸν τῆς ψυχῆς ἀποτείνοντες, οἷον πρός τινα πυρσὸν, ὃν ἐν ἀλλήλοις ποιεῖν εἰώθασιν ἐν πελάγεσιν οἱ θαλαττεύοντες. εὐθυπορήσωμεν πρὸς τὸν τῆς σωτηρίας λιμένα. καὶ πηξόμεθα τὰς ἀγκύρας, ἐπὶ τὴν ἄσειστον τῆς πίστεως πέτραν. οὐδὲν ποιοῦντες, ἢ λέγοντες, κατ' ὀφθαλμοδουλείαν. ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι θεοῦ, πᾶσαν ὑπόκρισιν καὶ προσπάθειαν ἀποσειόμενοι, πατέρα τὸν πατέρα δοξάζοντες, καὶ υἱὸν τὸν υἱὸν προσκυνοῦντες, καὶ πνεῦμα ἅγιον, τὸ πνεῦμα τὸ ἅγιον εὐσεβῶς ὁμολογοῦντες, τήν τε ταυτότητα τῆς οὐσίας, καὶ τὴν ἑτερότητα τῶν ὑποστάσεων, εἰλικρινῶς ἐπιγινώσκοντες, καὶ θεὸν μὲν ἕκαστον, εἰ καθ' ἑαυτὸ ὀνομασθείη θεός. οὐ μὴν ἰδικὴν οὐσίαν ἔχοντα, μὴ κοινοποιουμένην. οὐσία γὰρ οὐκ ἔστι τὸ ἰδικόν, εἴπερ γένος ἐστί. καὶ τὸ γενικὸν ἰδικὸν οὐκ ἔστιν, ὥσπερ οὐδὲ τὸ ἰδικὸν γενικόν. καὶ εἰ λέγοιτο θεὸς ἕκαστον, οὐκ ἀποτέτμηται καὶ ἰδιάζει φυσικῶς, καθ' ἑτερότητα τῆς οὐσίας. ἐντελῆ δὲ καὶ ὁλόκληρον ἔχει τὴν κοινήν. διὸ καὶ τὰ τρία θεὸς εἷς λέγεται καὶ ἔστιν, ὡς μιᾶς οὔσης τῆς οὐσίας, μὴ τεμνομένης εἰς τρία, καὶ ὀνομαζομένης καθ' ἑαυτὸν ἑκάστου. μήτε μὴν ἐκτεινομένης εἰς πλῆθος, ὅτε τρία σὺν ἀλλήλοις ὀνομάζεται. παραχαράττει τοίνυν τὴν ἀλήθειαν, ὁ τρεῖς ἀνθ' ἑνὸς δοξάζων εἶναι θεούς. δεξ

ἄρα δὲ θεούς, ὁ φύσεις ἰδικὰς τὰς ὑποστάσεις καλῶν. εἰ γὰρ ἰδιάζουσαι
φύσεις εἶεν, θεὸς δὲ ἡ φύσις, ὅτι φησὶν ὁ προφήτης. ὁ θεὸς ἡμῶν ἐν τῷ
οὐρανῷ καὶ ἐν τῇ γῇ. καὶ γνώτωσαν, ὅτι σὺ εἶ ὁ θεὸς μόνος. περὶ τίνος ἄρα
τῶν τριῶν λέγει. πλῆθος γὰρ οὐκ ἔθηκε σημασίαν. αἱ δὲ φύσεις αἱ ἰδι-
καί, πλῆθος ἐμφαίνουσιν. εἰ δὲ περὶ τῆς θείας οὐσίας τῆς μοναχικῆς
καὶ ἁπλῆς ἐστὶν ὁ λόγος, ἕνα δὲ θεὸν ταύτην καλεῖ τὰ θεῖα λόγια, καὶ εἰ
τρεῖς ἰδιότητας ἔχει, μία ἄρα φύσις, καὶ ἡ οὐσία ἐστὶ τῆς θεότητος. εἰ δὲ
μία ἐστί, μηδεὶς λεγέτω μερικὰς οὐσίας εἰ ἀναλύεται πλῆθος ὀνομά-
σαι θεῶν. ἐλέγχθη γὰρ πολυθείας ἀεί, τὸ μερικὰς ὀνομάζειν φύσεις·
καὶ ηὔχομαι μὴ ἐπὶ τοσοῦτόν τινα ἐξημμένωσαι τὴν κεφαλήν, ὥστε πλη-
θυντικῶς ὀνομάσαι θεούς. εἰ καὶ συνάγεται πως αὐτοῖς ἐκ τῶν λημμάτων
αὐτῶν, τὸ ἐξ ἀνάγκης αὐτοὺς λέγειν θεούς, ἐὰν φύσεις ἰδικὰς ὀνο-
μάζωσι τὴν ἁγίαν τριάδα. καὶ τοῦτο σαφῶς ἡμῖν ἀποδέδεικται,
γέγραφα δὲ ἰδίως, πρὸς τοὺς λέγοντας, τρεῖς οὐσίας, ἄρτι κεκινημένης
τῆς περὶ τούτου ζητήσεως. καὶ ἴσως ἐκεῖνα ζητῶν τις εὑρήσει. καὶ εὑρών,
ἀσφαλέστερον γνώσεται. πῶς ἐν αὐτοῖς, κατὰ τῆς φυσικῆς ἐκείνης
αἱρέσεως κεκινήμεθα. φαμὲν δὲ γενέσθαι πάντα δι᾽ αὐτοῦ, καὶ ἐν
αὐτῷ τὴν σύστασιν ἔχειν, ὡς δημιουργοῦ, καὶ συνδημιουργοῦ. πάντα γὰρ
ὅσα ἠθέλησεν ἐποίησεν. εἰ γὰρ καὶ δόξα τισὶ περὶ τοῦ πατρὸς εἰρῆσθαι
τό, αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν,
ἀλλ᾽ οὖν πάντα φησὶν ὅσα βλέπει ὁ υἱὸς τὸν πατέρα ποιοῦντα, ταῦτα
καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ, καὶ οὐ τοιαῦτα: σημειωτέον γάρ, ἀλλ᾽ αὐτὰ
μᾶλλον ἐκεῖνα. μία γὰρ τῆς αὐτῆς οὐσίας ἡ ἐνέργεια. φησὶ
γοῦν ὁ υἱός, αὐτός μοι δῆλον δ᾽ ὅτι ὁ πατήρ, ἐντολὴν ἔδωκεν οὐχ ὡς
ὑποχειρίῳ δούλῳ. ἀλλ᾽ ὡς ὁμοφυεῖ, καὶ ὁμοθρόνῳ. καὶ περὶ τοῦ ἁγίου
δὲ πνεύματος, τὸ αὐτὸ φρονοῦμεν. οὐδὲν γὰρ δοῦλον ἐν τῇ τριάδι. οὐκοῦν
οὐδὲ κτιστόν. πᾶν γὰρ κτίσμα, δοῦλον τοῦ κτίσαντος. οὐ τοίνυν ἀλλό-
τριον. τὸ γὰρ ἀλλότριον, οὐ συνδημιουργόν, οὐ παντελῶς ὁρώμε-
νον, ἢ οὐ προσκυνούμενον. ἢ οὐ φῶς. ἢ οὐ ζωή. καὶ τὰ λοιπά, τὰ θεο-
πρεπῶς λεγόμενα. ὥσπερ γὰρ φῶς καὶ ζωή ἐστιν ὁ πατήρ, οὕτω καὶ ὁ
υἱός, καὶ τὸ πνεῦμα τὸ ἅγιον. καὶ ταῦτα τὰ ὀνόματα διὰ πάσης τῆς
ἁγίας γραφῆς εὑρίσκομεν. ποτὲ μὲν τὴν ἁγίαν τριάδα κοινῶς
δηλοῦντα. ποτὲ δὲ πρόσωπον ἕν, ἰδικῶς δηλοῦντα. πολλῆς γοῦν
συνέσεως χρῄζομεν πρὸς τὸ γνῶναι τὴν διαφοράν, ἵνα μὴ

κενεμβατῶμεν,

κενεμβατῶμεν, ἀμφιβόλοις χρώμενοι λογισμοῖς. ὅ γε μὲν γὰρ ψάλλει
Δαβὶδ τῷ θεῷ λέγων· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, τὴν ἁγίαν τριάδα
πάντως σημαίνει· τρία γὰρ φῶτα δηλοῖ ὁ προφήτης· τὸν πρὸς ὃν ηὔχετο.
πατὴρ δὲ οὗτος· καὶ τὸ φῶς αὐτοῦ τὸν υἱόν· καὶ ἐν τῷ φωτὶ τὸ φῶς, τὸ
πνεῦμα τὸ ἅγιον. ὅτι δὲ τὸ ἐπαγόμενον λέγει, παράτεινον τὸ ἔλεός σου
τοῖς γινώσκουσί σε, τὸν υἱὸν ἔλεος καλεῖ· καὶ γὰρ αὐτός ἐστιν ὁ ἱλασμός.
λέγεται πάλιν φῶς ἰδιάζοντος τὸ πνεῦμα τὸ ἅγιον. ἐν τῷ κύριε, ἐν τῷ
φωτὶ τοῦ προσώπου σου πορεύσονται. φῶς γὰρ προσώπου τοῦ θεοῦ, τὸ πνεῦμα,
τὸ ἅγιον. εἴπερ πρόσωπόν ἐστι θεοῦ ὁ μονογενής. οὗ φῶς ἐστι, τὸ τῆς ἀλη-
θείας ὁδηγοῦν πνεῦμα ἅγιον. ἐν ᾧ πορεύονται κατὰ τὸ εἰρημένον, κατέβη
πνεῦμα παρὰ κυρίου, καὶ ὡδήγησεν αὐτούς· καὶ πάλιν· τὸ πνεῦμά σου τὸ ἀγαθὸν
ὁδηγήσει με. διδάσκονται δέ, διὰ τῆς συναφείας ἅμα καὶ συνεργείας, ἡ
ὁμοουσιότης. τῷ λόγῳ κυρίου φησίν, οἱ οὐρανοὶ ἐστερεώθησαν· καὶ τῷ πνεύματι τοῦ
στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. ὅθεν καὶ χεῖρας θεοῦ, καλεῖ τὸν
υἱόν, καὶ τὸ πνεῦμα τὸ ἅγιον· ὡς συνουσιωμένους αὐτῷ, ψάλλων ὁ μακάριος
Δαβίδ. ἔφη γάρ, αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με· καὶ πάλιν
ὄψομαί φησι τοὺς οὐρανούς ἔργα τῶν δακτύλων σου. δάκτυλον δὲ θεοῦ,
τὸ πνεῦμα λέγεσθαι, παρά τε τοῦ μωυσέως, καὶ παρ' αὐτοῦ τοῦ Χριστοῦ μεμαθή-
καμεν. ὁ μὲν γὰρ μωυσῆς ἔφη γεγράφθαι τὰς θεοχαράκτους πλάκας,
δακτύλῳ τοῦ θεοῦ. Χριστὸς δέ φησι πρὸς τοὺς ἰουδαίους, τῷ πονηρῷ πνεύματι τῷ
βεελζεβοὺλ ἀνατιθέντας, τὴν τῶν δαιμονίων ἀπέλασιν. εἰ δὲ ἐγὼ
ἐν δακτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια. ὅπερ ματθαῖος πεποίηκεν.
εἰ ἐν πνεύματι θεοῦ. καλῶς οὖν ὑπελάβομεν χεῖρας θεοῦ, καὶ δακτύλους αὐτοῦ
τὸν υἱὸν αὐτοῦ, καὶ τὸ πνεῦμα τὸ ἅγιον· τοὺς συνεργήσαντας αὐτῷ εἰς
τὴν τῶν ὄντων δημιουργίαν. καὶ γάρ τοι καὶ ὁ μακάριος ἰώβ, ὁμοίως
τῷ δαβὶδ ἐξομολογούμενος, φησὶ πρὸς τὸν θεόν, αἱ χεῖρές σου, ἐποίησάν
με, καὶ ἔπλασάν με· καὶ δαβὶδ πάλιν, τὴν πρόνοιαν ἐμφαίνων οὐκ ἄλλοθεν
ἢ αὐτόθεν φησίν· ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός. σαφ-
έστερον δὲ αὐτὸς διὰ τοῦ προφήτου βοᾷ· ἡ χείρ μου ἐθεμελίωσε
τὴν γῆν, καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν· καὶ αὖθις ὑποδεικνὺς
αὐτὰ λέγει· ταῦτα πάντα ἐποίησεν ἡ χείρ μου· καὶ ἔστιν ἐμὰ ταῦτα
πάντα. εἰ δὲ πάντα διὰ τοῦ υἱοῦ ἐποίησεν, ἤτοι τοῦ λόγου τοῦ ἐν τῇ
ἀρχῇ τῷ πατρί, καὶ πρὸς τὸν θεόν, τὸ πνεῦμα· καὶ ἡ χεὶρ αὐτοῦ ἐποίησε πάντα.

καὶ οἱ δάκτυλοι αὐτοῦ τὸν αἰῶνα. οὐδὲν διαφέρειν νομίζω υἱὸν καλεῖν, ἢ πνεῦμα, τοῦ λέγειν χεῖρας καὶ δακτύλους, καὶ βραχίονας. καὶ ὅσα τῶν ὁμοιοτρόπως, καὶ τὴν δραστικὴν ἐνέργειαν ἐμφαίνει, διὰ τῆς συναφείας τῶν συμβολικῶς ὀνομαζομένων μελῶν, εἴπερ ἀσώματόν τί ἐστι τὸ θεῖον. καὶ ἀθέμιτον ἐστὶν οἴεσθαι μέλεσιν αὐτὸ χρῆσθαι καθάπερ καὶ ἡμεῖς. εἰ δὲ τὴν ὁμοουσιότητα δηλοῖ ταῦτα, καθὰ χεῖρες καὶ δάκτυλοι συμπεφύκασι καὶ ἑαυτοῖς καὶ τῷ σώματι, πάντοθεν δείκνυται μίαν εἶναι καὶ ἀδιαίρετον τὴν θείαν οὐσίαν· μήτε τεμνομένην εἰς ἑτεροουσιότητας, κατὰ τοὺς ἄκτιστον καὶ κτιστὸν θεὸν λέγειν τολμῶντας· μήτε* διακοπτομένης ἑαυτῆς κατὰ τὴν νέαν αἵρεσιν, εἰς διάφορα τμήματα καὶ θέματα παρ' αὐτοῖς ἰδικὰς οὐσίας· μήτε μὴν προτερεύουσαν ἑαυτῆς, ἢ ὑστερίζουσαν· τὸ γὰρ πρότερον καὶ ὕστερον ἑαυτοῦ, πῶς θεοῦ. ὥσπερ γὰρ τὸ ἓν σῶμα καὶ τὸ αὐτὸ, παλαιότερον ἑαυτοῦ καὶ νεώτερον οὐ δύναται λέγεσθαι, οὕτω καὶ ὁ θεὸς εἷς ὢν ἐν τρισὶ θεωρούμενος, ἀεὶ κατὰ τὸ αὐτὸ, καὶ ὡσαύτως ἔχει, χρόνου μηδαμῶς συνεπινοουμένου τῇ ὑπάρξει αὐτοῦ. τοῦ δὲ σώματος τὸ ἰδίωμα λαβόντες ὡς παράδειγμα, τὴν ἀλληλουχίαν τῶν θείων ὑποστάσεων παρεστήσαμεν, διὰ τῆς τῶν μελῶν ἀναλογίας τε καὶ εἰκασίας. ταύτῃ γὰρ καὶ πνεῦμα στόματος αὐτοῦ· δῆλον δ' ὅτι τοῦ θεοῦ λέγεται τὸ πνεῦμα τὸ ἅγιον. στόματος ὄντος τοῦ μονογενοῦς. καὶ πνεῦμα πάλιν ἐξ αὐτοῦ ἐκπορευόμενον, καὶ ἀποστελλόμενον· οὐ μόνον παρὰ τοῦ πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ υἱοῦ, καθά φησιν αὐτὸς ὁ κύριος. ὁ δὲ παράκλητος, ὃ πέμψει ὑμῖν ὁ πατήρ. καὶ πάλιν· ἐὰν πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. πρὸς τοὺς μαθητὰς δηλονότι. καὶ προφητικῶς πρὸς αὐτὸν ὁ δαβὶδ φησίν. ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται. καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. οὐχ ὅτι δὲ πέμπεται τὸ πνεῦμα τὸ ἅγιον, ἔλαττον αὐτὸ πατρὸς καὶ υἱοῦ κατὰ τὴν οὐσίαν νομίζομεν. τοῦτο μηδεὶς ὑπολάβοι. οὐ γὰρ ὡς διάκονον, ἀλλ' ὡς ὁμοούσιον ἀποστέλλεται. καὶ ὡς ἰσότιμον, καὶ σύμφυες. ἐπεὶ καὶ αὐτὸν τὸν υἱὸν ἀπεστάλθαι μανθάνομεν, οὐ μόνον παρὰ τοῦ πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ ἁγίου πνεύματος. ὡς αὐτὸς ἔφη διὰ ἡσαΐου. καὶ νῦν κύριος ἀπέσταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ. λέγεται δὲ καὶ πνεῦμα ὁ θεός. καὶ πάλιν, ὁ δὲ κύριος τὸ πνεῦμά ἐστι. καὶ τὸ πνεῦμα τὸ ἅγιον, πνεῦμα θεοῦ, καὶ πνεῦμα χριστοῦ· καὶ πνεῦμα ἰησοῦ. δι' ὅλων δεικνύντες τοῦ λόγου, τὴν φυσικὴν συγγένειαν τῆς θεότητος. τῷ μὲν γὰρ πνεύματι τῷ ἁγίῳ, χαρακτὴρ ἰδιάζων ἐστὶν οὗτος, ὁ διὰ

διακοπτομένην ἑαυτῶν

ταύτης τῆς

ταύτης τῆς κλήσεως σημαινόμενος· πνεῦμα γὰρ ἅγιον ἐστι· πνεῦμα δὲ ἅγιον
ὅλον τοῦτο ἐστι τὸ λεγόμενον· ἐτέθη οὐκ ὡρισμένως· πνεῦμα δὲ καθ' ἃ φθάσας
ἔφην λέγεται ὁ θεός· καὶ ἅγιος ὁ θεός· συντιθέμενα δὲ ἄμφω τὰ ὀνόμα-
τα, τῷ ἰδίως καλουμένῳ, πνεῦμα ἅγιον ἁρμόζει· καθάπερ ἡ τοῦ πατρὸς
ἐπίκλησις τῷ αἰτίῳ· καὶ ἡ τοῦ υἱοῦ, τῷ ἀμέσως ἐκ τοῦ αἰτίου· καὶ αὗ-
ται αἱ κλήσεις οὐ μεταπίπτουσιν· αἱ δὲ λοιπαὶ πᾶσαι, κοινοῦνται καὶ ἐπα-
λλάττονται· ὥσπερ γὰρ ὁ πατήρ, θεὸς ὤν, καὶ πατὴρ καλεῖται ταῖς τῆς
προσηγορίας, ἅγιος εἰ τύχοι, καὶ πνεῦμα, κἂν μὴ τὸ πᾶν τοῦτο, πνεῦμα ἅγι-
ον, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον, πνεῦμα τυγχάνον καὶ ἅγιον θεὸς ἐστι, καὶ ὀνο-
μάζεται καὶ ὁ δεσπότης ὁμοίως· υἱὸς ὤν, καὶ χριστὸς καλούμενος, οὐ μόνος κέ-
χρηται τῇ χριστοῦ προσηγορίᾳ· χριστὸς γὰρ καὶ ὁ πατήρ· καὶ χριστός, καὶ τὸ πνεῦμα
τὸ ἅγιον· ὥσπερ καὶ αὐτὸς ὁ υἱός, θεὸς καὶ πνεῦμα λέγεται, καὶ ἅγιος· αὐ-
τὴ δὲ τῶν προσηγοριῶν ἡ κοινότης ἵν' οὕτως εἴπω, οἰκονομικῶς ἐμ-
φέρεται· ὅπως ἂν μηδαμῶς δοῖεν ἀσεβείας ἀφορμὴν ἄνοι· καὶ δοξά-
σωσι τρεῖς εἶναι θεούς· διὸ πᾶσαν τοιαύτην ὑπόνοιαν περιαιρου-
μένη πᾶσιν ἡ θεία γραφή, τὸν μὲν πατέρα, καλεῖ θεόν· χριστὸν δὲ τὸν υἱόν
καὶ τὸν παράκλητον, πνεῦμα ἅγιον. εἰ δὲ καὶ τοῦτο παιδαγωγικῶς ᾠκο-
νόμησεν, οὐκ ἀπεστέρησεν ὅμως τῆς θείας φωνῆς τὸν υἱόν, καὶ τὸ πνεῦμα
τὸ ἅγιον. οὐδὲ τὴν χριστοῦ ἐστέρησεν ἐπὶ τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος· ἀλλὰ
μὴν οὐδὲ τῆς ἁγιαστικῆς προσρήσεως ἀλλοτρίωσέ τι, τῶν ἐνθεω-
ρουμένων τῇ ἁγίᾳ τριάδι· ταυτότητι δὲ θεότητος, [illegible] εἴτ' οὖν
οὐσίας, ἢ καὶ φύσεως, ὡς ἄν τινι φίλον ἦν καλεῖν, κοινωνούσης τῆς
ἁγίας τριάδος, ἀντιστρέφουσιν αἱ προσρήσεις· τὸ θεὸς λέγω, καὶ
τὸ χριστός, καὶ τὸ πνεῦμα· διὰ τὸ ἀσώματον, καὶ τὸ ἅγιον. ἑκάστῃ γὰρ
τῶν ὑποστάσεων, ἁρμοδίως αἱ τοιαῦται κλήσεις προσάγονται· φυλαττο-
μένου μόνου τῷ πατρί, τὸ πατήρ, ὅτι μόνος ἐστι πατὴρ ὡς αἴτιος, καὶ τῷ υἱῷ, τὸ
υἱός, ὅτι μόνος γεννᾶται· καὶ τῷ παρακλήτῳ τὸ πνεῦμα τὸ ἅγιον· ἰδιό-
τερον γὰρ παρὰ τοῦ πατρὸς ἔχει τὴν ἐκπόρευσιν· ἔφημεν δὲ πολλάκις,
ὅτι τὴν φύσιν οὐκ ἀλλοιοῖ τῶν ὀνομάτων ἡ διαφορά· οὐδὲ γὰρ ὁ πατήρ,
ὅτι πατήρ ἐστι, διὰ τοῦτο θεός· οὐδὲ διότι πατὴρ οὐκ ἔστιν ὁ υἱός, διὰ τοῦτο οὐ θεός·
ὁμοίως δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον· ἀλλ' ὅτι ἄκτιστον· ἀΐδιον· ἄτρεπτον·
ἄφθαρτον· ἀναλλοίωτον· ζωῆς παρεκτικόν· δημιουργὸν σωμάτων.

ταῦτα γὰρ θεότητος ἴδια· καὶ πάρεστιν ἑκάστῃ τῶν ὑποστάσεων. καὶ διὰ τοῦτο θεὸς ἐστὶν ἑκάστη· καὶ γὰρ ὁ πατὴρ διὰ ταῦτα θεός ἐστι· καὶ οὐχὶ διὰ τὸ εἶναι πατήρ· εἰ γὰρ διὰ τὸ εἶναι πατὴρ θεός ἐστι, πῶς ἂν πατὴρ θεὸς ἂν εἴη· καὶ ὁ υἱὸς δὲ οὐχ οὕτως, ἀλλὰ διάφοροι προσηγορίαι, τὴν αὐτὴν οὐσίαν χαρακτηρίζουσιν, ἅμα τὸ σύμφορον ἐμφαίνουσαι, καὶ τὴν ἀλλοτριότητα οὐ προσιέμεναι· διὰ τοῦτο πᾶν πλήρωμα τῆς θεότητος εἷς ἐστι θεός, ἐπὶ πάντων δέ, διὰ πάντων, καὶ ἐν πᾶσιν. εἰ γὰρ καὶ προσηγορίαις διαφόροις καλεῖν οἶδε τὰ θεῖα λόγια, τὴν προσκυνουμένην παρ' ἡμῶν, καὶ σεβομένην ἁγίαν τριάδα· τῶν γοῦν ἰδικῶν φύσεων, ἀνεπιλήπτως τὰς ἀφορμάς· μίαν οὐσίαν, διὰ τῶν αὐτῶν ἐνεργειῶν ἀποδείξασα, καὶ οὐδεμίαν καταλιποῦσα πλάνης αἰτίαν, τοῖς ὅσοι βούλονται φαύλως μεταθεῖν, καὶ μὴ σκοτισθῆναι τὸν νοῦν, πρὸς τό, ἢ τὴν φύσιν ἀλλοτριῶσαι διὰ τὸ ποτέ, καὶ οὐκ ἦν, ἢ μερικαῖς οὐσίαις κατατέμνειν τὸ θεῖον· οὐδὲ γὰρ ὥσπερ ἀνὴρ ἀνδρὸς διαφέρει ἐν δόξῃ, τυχὸν ὁ μείζων τοῦ ἥττονος· οὐδὲ ὡς σῶμα σώματος μεῖζόν ἐστι τῷ ὄγκῳ, τὸ νεανικὸν τοῦ παιδός, οὐδὲ νεώτατος ἀνδρὸς παλαιοτέρου χρόνῳ· οἷον, ἀβραὰμ φέρε εἰπεῖν τοῦ δαβίδ, ἢ ὁ δαβὶδ τοῦ ζοροβάβελ, οὕτω καὶ ἐπὶ τῶν ὑποστάσεων τῆς ἁγίας τριάδος κατανενοήκαμεν, ἢ λέγειν ἢ φρονεῖν· ἀλλὰ τὰς μὲν φυσικὰς ἐνεργείας, κοινὰς ἔχει τὴν οὐσίαν δὲ δηλοῦσιν αὗται σαφῶς· ἅμα δὲ θεωροῦνται σὺν ἀλλήλαις αἱ ὑποστάσεις, καὶ ἐν ἀλλήλαις, ἀχώριστοι τῆς αὐτῆς δόξης ὑπάρχουσαι, καὶ δυνάμεως· ἐπειδὴ καὶ τῆς οὐσίας εἰσί, καὶ τῆς φύσεως τῆς αὐτῆς· ὅτι δὲ ἀδιαίρετος ἐστὶν ἡ δύναμις τῆς ἁγίας τριάδος ὥσπερ καὶ ἡ οὐσία, δαβὶδ ὁ μακάριος ἐμφαίνει, δι' ὧν πρὸς θεὸν εὐχόμενος ἔφη· ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου, ποῦ φύγω. καὶ προτάττει μὲν τὸ πνεῦμα τοῦ υἱοῦ, ὅς ἐστι πρόσωπον τοῦ πατρός, διὰ τὴν ἀλληλουχίαν· οὐ χωρίζει δὲ τὴν ἐνέργειαν, ἢ διαιρεῖ τὴν οὐσίαν. ἀλλὰ μόνον διακρίνει τὰς ὑποστάσεις· ὑποδεικνύς, ὅτι ἀσύγχυτον. ἔφη δὲ πάλιν ὁ αὐτὸς ἐπερωτῶν, τὸ πρόσωπόν σου κύριε ζητήσω. καὶ αὖθις· ἐδεήθην τοῦ προσώπου σου, ἐν ὅλῃ καρδίᾳ μου· οὐ γὰρ μέρος σώματος, ἢ χωρὶς αἰσθήσεων λέγει, τοῦ πατρὸς εἶναι τὸ πρόσωπον. ἀλλὰ τὸν μονογενῆ λόγον, τὸν κρίνοντα τὰ πάντα, κατὰ τὴν βουλὴν τοῦ ἰδίου πατρός, κατὰ τὸ λεγόμενον πάλιν ὑπὸ τοῦ δαβίδ. ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι.

πρόσωπον οὖν λέγεται τοῦ πατρὸς ὁ υἱός, ὡς εἰκὼν καὶ χαρακτὴρ αὐτοῦ
ὑπάρχων. ὃς ἐξουσίαν ἔχει λαβὼν παρὰ τοῦ πατρὸς τοῦ ποιεῖν κρίσιν κατὰ
τὸ εἰρημένον· πρόσωπον δὲ κυρίου, ἐπὶ ποιοῦντας κακά, τοῦ ἐξολοθρεῦσαι
ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν, ἀλλ' ὥσπερ τὸ πρόσωπον κυρίου τοὺς κακοὺς
ἐξολοθρεύει ἐκ γῆς, οὐ τῷ μηδαμῶς εἶναι, ἀλλὰ τῷ μὴ εἶναι κακούς,
οὕτω πάλιν. ἐξαποστελεῖς φησὶ τὸ πνεῦμά σου καὶ κτισθήσονται· καὶ ἀνα-
καινιεῖς τὸ πρόσωπον τῆς γῆς· τουτέστι τὸν ἄνθρωπον. ἡ γὰρ εὐπρέπεια
τῆς γῆς, ὁ ἄνθρωπος ἐστὶν, ὥσπερ εὐπρέπεια τοῦ ἀνθρώπου τὸ πρόσωπον. ἀλ-
λὰ διὰ πλειόνων ἀποδέδεικται, μία τῆς ἁγίας τριάδος ἡ ἐνέργεια,
μίαν οὐσίαν αὐτῆς συναποδεικνῦσα. διὰ γὰρ τοῦ γνωσθῆναι μίαν
τῆς θεότητος τὴν οὐσίαν, μία καὶ ἡ αὐτὴ πατρὸς, καὶ υἱοῦ, καὶ αὐτοῦ τῆς
ἐνέργεια δείκνυται· αὐτίκα γοῦν ἐν λόγῳ κτίστης καὶ δημιουργὸς
ὁ υἱὸς ἀναφαίνεται, βραχίων, καὶ χεὶρ τοῦ πατρὸς ὀνομαζόμενος, τῷ
αὐτῷ λόγῳ συναποδείκνυται τὸ πνεῦμα τὸ ἅγιον τὰ ὅμοια ἐνεργοῦν,
ἐν τῷ αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με. λέγεται γὰρ καὶ
αὐτὸ τὸ πνεῦμα χεὶρ τοῦ πατρός. καὶ τοῦτο σαφέστερον ἐκ τῶν* πεφηλεῶν προφητῶν
μανθάνομεν. οἱ γὰρ πληρούμενοι πνεύματος τοῖς μέλλουσιν ὡς παροῦσι συν-
εγίνοντο. δηλονότι ὁσάκις λέγουσιν, ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου, τὴν
τοῦ πνεύματος ἀνέλθουσαν ἐπιφοίτησιν· διὰ γὰρ τοῦ πνεύματος γίνονται αἱ προ-
φητεῖαι. καὶ μηδεὶς ἀμφιβαλλέτω, μαθὼν ἐκ τῶν ἀνωτέρω εἰρη-
θέντων, περὶ τοῦ δακτύλου τοῦ θεοῦ, ὅτι αὐτὸς ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον.
ἐν ᾧ γέγραπται λιθίναις πλαξὶν, ὁ διὰ μωϋσέως δοθεὶς νόμος.
τοῦτο καὶ ἐλισσαῖος αἰνίττεται. μᾶλλον δὲ, τὰ* ὑπ' αὐτοῦ ἱστορού- ἐπ
μενα. φησὶ γὰρ, λάβετέ* μοι ψάλλοντα. καὶ ἐγένετο ὅτε ἔψαλ- μοι
λεν ὁ ψάλλων. καὶ ἐγένετο ἐπ' αὐτὸν χεὶρ κυρίου. καὶ εἶπεν ὁ Δαυΐδ,
ὅτι ἐγένετο πνεῦμα θεοῦ ἐπ' αὐτόν. ἀποδέδεικται τοίνυν τοῖς μὴ
ἐριστικῶς ἐνισταμένοις, ὁμοούσιος ἡ ἁγία τριὰς ὑπάρχουσα. ὅσον
ἀπεδείχθη δὲ, καὶ ὅτι ἀρχικὰς οὐσίας νοεῖν, ἀθέμιτον. δι' ὧν γὰρ
τὴν ἀπαραλλαξίαν τῶν ἐνεργειῶν ἐδείξαμεν, μίαν τὴν οὐσίαν
ἀδιαίρετον, πᾶσι κατάδηλον ἐποιήσαμεν.* καί μὴ τὸ ἀχώ- καὶ μὴν τὸ
ριστον τῶν ὑποστάσεων, ὡς οὐ μὴ νοουμένου ἄνευ πατρός· πατρὸς δὲ
συνεισάγοντες ἑαυτῷ τὸν υἱόν· καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, πατρὶ καὶ
υἱῷ συναναφαινόμενον, ὡς νῷ καὶ λόγῳ, καὶ γοῦν ὅσης ἐξ αὐτοῦ

δεικνὺς αὐτὸ ὑπάρχειν, ἐμφυσῶν τοῖς μαθηταῖς ἔλεγε· λάβετε
πνεῦμα ἅγιον· ὅπερ αὐτοὶ προσευχόμενοι διὰ τῆς ἐπιθέσεως τῶν ἰδίων
χειρῶν, παρεῖχον τοῖς πιστεύουσιν· ἄξιον καὶ πάρεστι σκοπεῖν τὴν δια-
φοράν, ὅση τίς ἐστι δουλείας, καὶ ἰσοτιμίας· οἱ μὲν γὰρ ἀπόστολοι
δεόμενοι, καὶ οἷα δεσπότην λιτανεύοντες, τοῖς ἀξίοις τῆς αὐτοῦ ἐπι-
φοιτήσεως εἰσεκόμιζον, ὡς ἂν εἴποι τις, τὸ πνεῦμα τὸ ἅγιον· ὁ δεσπότης
ἡμῶν, ἐξ ἑαυτοῦ, ὡς ἀπό τινος θησαυροῦ, παρεῖχεν αὐτὸ τοῖς διὰ
βίου καθαρότητα γενομένοις ἱκανοῖς τοῦ ὑποδέξασθαι τὴν ἐνέργειαν
αὐτοῦ· καὶ τοῖς μὲν ἁγίοις ἀποστόλοις, σύνεστιν ἀεὶ μεθεκτῶς· τῷ
δὲ σωτῆρι Χριστῷ καὶ θεῷ ἡμῶν, ὡς ὁμοούσιον, καὶ ὁμόθεον· ταύτῃ λέγεται
πνεῦμα θεοῦ, καὶ πνεῦμα Χριστοῦ· οὐχ ὡς τὰ λειτουργικὰ πνεύματα τὰ εἰς δια-
κονίαν ἀποστελλόμενα· ἐκεῖνα μὲν γὰρ, περιγεγραμμένην ἔχει
τὴν οὐσίαν· ὡς μὴ δύνασθαι φέρε εἰπεῖν τὸν γαβριήλ, ἅμα εἶναι
ἐν τῷ οὐρανῷ καὶ πρὸς τὴν παρθένον· οὔτε δὲ πρὸς τὸν δανιήλ
ἐν τῇ βαβυλῶνι, καὶ ἐν τῇ ἰουδαίᾳ πρὸς τὸν ἀββακούμ· κτιστὴ
γὰρ ἐστι φύσις· τὸ δὲ πνεῦμα τὸ ἅγιον πληροῖ τὰ πάντα, καὶ τοῖς
ἐν ἰουδαίᾳ προφήταις παρῆν· συναπεδήμει δὲ καὶ τοῖς ἐν τῇ αἰχ-
μαλωσίᾳ· καὶ τῶν ἐν τῇ αἰγύπτῳ οὐκ ἀπελιμπάνετο, συνῆν ἅπα-
σιν ὡς ἐχώρει ἑκάστου δύναμις, καὶ σοφίζον ἕκαστον, πρὸς ἀναλο-
γίαν τῆς πίστεως· καὶ γοῦν ἅπαντας τοὺς ἀποστόλους ἐπλήρωσε·
καὶ ἐλάλουν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς
ἀποφθέγγεσθαι· καὶ ἀποδημοῦσι μὲν, συναπεδήμει· καὶ μένουσι,
συνῆν, ἀμερίστως, πᾶσιν αὐτοῖς γινόμενον· καὶ ἐν μὲν ἀντιο-
χείᾳ, τοὺς περὶ βαρνάβαν, καὶ παῦλον ἐχειροτόνει· τοῖς δὲ περὶ
πέτρον καὶ ἰωάννην ἐν σαμαρείᾳ παρῆν· καὶ οἷς μὲν ἐπεφοίτα
διὰ τῶν χειρῶν τῶν ἀποστόλων δι' ὧν ἐφθέγγετο· ἄλλους ἀπέ-
στελλε κηρύσσειν· ἑτέρους οὐκ εἴα πορεύεσθαι ἔνθα ἤθελον· ταῦ-
τα δὲ πάντα θείων ἐνεργειῶν ἐστι δείγματα, δι' ὧν ἡ οὐσία
δηλοῦται σαφῶς· πολλαῖς δὲ παραφράσεσιν ἐχρησάμην καὶ
ἴσως οὐκ εἰς ἄχρηστον, δεῖξαι θέλων τὸ ταυτὸν τῆς οὐσίας, καὶ
τὸ ἴσον τῶν ὑποστάσεων· πολὺ γὰρ ἀπᾴδει μεῖζον καὶ ἔλαττον,
ἐπὶ τῆς ἁγίας τριάδος εἰπεῖν· εἰ γὰρ καὶ λέγεται μείζων

ὁ πατὴρ τοῦ

ὁ πατὴρ τοῦ υἱοῦ κατὰ τὸ ὁ πατήρ μου μείζων ἐστί, δηλονότι κατὰ
τὸ αἴτιον λέγεται μείζων. οὐ γὰρ κατὰ τὴν οὐσίαν. ἴσως δὲ ἐλάττων
ἐστὶν ὁ υἱὸς τοῦ πατρός, καθὸ καὶ τῶν ἀγγέλων ἠλάττωται, διὰ τὴν τῆς σαρκὸς
πρόσληψιν. καὶ τοῦτο μᾶλλον θετέον. οὐ γὰρ λέγεται μείζων εἶναι τοῦ πνεύματος,
ἀλλὰ μόνου τοῦ υἱοῦ, κοινωνήσαντος σαρκός. οὐκοῦν ἐν τῇ οὐσίᾳ, τὸ μεῖζον
καὶ τὸ ἔλαττον, περιττὸν ζητεῖν. ἡ γὰρ οὐσία, τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ
ἐπιδέχεται, κατὰ τοὺς ἔξω σοφούς. οὐκοῦν μίαν οὐσίαν δοξάζομεν, ἐν ᾗ
καὶ τὸ γεννῶν, καὶ τὸ γεννώμενον. καὶ τὸ ἐκπορευόμενον, εἷς θεός. πῶς δὲ
γεννᾶται λόγος, ἢ ἐκπορεύεται πνεῦμα, μὴ περιεργαζόμεθα. οὐ γὰρ ἀσφα- περιεργαζώμεθα
λές. μόνῳ γὰρ γνωστὸν τοῦτο τῷ αἰτίῳ, καὶ τοῖς ἐξ αὐτοῦ προελθοῦσι δια-
φόρως. ἡμῖν δὲ τοῖς διὰ πίστεως παιδαγωγουμένοις, πρὸς τελείαν τοῦ
μυστηρίου κατάληψιν, ἱκανόν ἐστι τέως τὸ γινώσκειν, ὅτι θεὸς εἷς ἐστι, καὶ
ὅτι μία θεότητος φύσις, κἂν ἐν τρισὶ θεωρῆται. αἰτίῳ. καὶ δημιουργῷ,
καὶ τελειοποιῷ. τρεῖς γὰρ προσηγορίαι, περὶ τὴν μίαν οὐσίαν εἰσί. καὶ ἑκά-
στη, μίαν ὑπόστασιν δηλοῖ, μὴ μεταπίπτουσαν πρὸς ἑτέραν. καὶ γινώσκομεν
ὅπερ οὐκ ἔστιν. αὗται δὲ πατὴρ καὶ υἱός, καὶ ἅγιον πνεῦμα. τὰ αὐτὰ γὰρ λέγειν
πλειστάκις, ἀσφαλέστερον. ἐν τούτοις τελειούμεθα βαπτιζόμενοι, καὶ τὴν
σωτηρίαν διὰ πίστεως κομιζόμεθα. καὶ πρὸς τὴν ἄφθαρτον ζωὴν ἐπα-
νερχόμεθα, τὴν ἀγήρω, καὶ μακραίωνα. πιστεύοντες εἰς ἃ βεβαπτισ-
μεθα. τοῖς οἷς συντετάγμεθα. θεὸς δὲ ταῦτα μόνος εἷς, ἐν ᾧ τὸ γεννῶν,
καὶ τὸ γεννώμενον, καὶ τὸ ἐκπορευόμενον, εἷς θεός. οὐκοῦν ἀφέμενοι τῶν
περιττῶν, ταῖς τῶν ἁγίων φωναῖς χρώμεθα. τὸ ἀσφαλὲς ὁμοῦ καὶ
ἀκίνδυνον, ἡμῖν αὐτοῖς παρεχόμεναι. αὗται δὲ τῶν θεολόγων αἱ φωναί,
γεννήσεως ἐμνημόνευσαν, τὴν σχέσιν ἣν ἔχει ὁ αἴτιος πρὸς τὸν ἐξ αὐτοῦ,
σαφέστερον ἐξηγούμεναι. ἐγὼ γάρ φησι σήμερον γεγέννηκά σε. καὶ πρὸ
ἑωσφόρου ἐγέννησά σε. καὶ ταῦτα μέν, ὡς παρὰ τοῦ αἰτίου. παρὰ
δὲ τῆς σοφίας αὐτῆς, πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με λέγει
δηλονότι ὁ θεός. μεμαθήκαμεν δὲ καὶ πατρὸς προσηγορίαν. ὁ πατὴρ γὰρ
ἀπέστειλέ με φησὶν ὁ σωτήρ. καὶ ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον, καὶ
ἥκω. καὶ τὰ τοιαῦτα. κεκλήκασι δὲ τὰ θεῖα λόγια, καὶ τὸν γεν-
νηθέντα υἱόν, ὥσπερ οὖν καὶ τὸν γεγεννηκότα πατέρα. υἱός μου γὰρ εἶ
σύ. τοῖς ἡμετέροις ὀνόμασι, πρὸς τὴν ἀληθῆ γνῶσιν παιδαγω-
γοῦσαι τοὺς ἄλλους οὐ δυναμένους τὰ τοῦ πατρὸς διδαχθῆναι. οὐ δὲ
γὰρ ἀπορῶν ἰδίων καὶ φυσικῶν ὀνομάτων ὁ θεός, ἐσφετερίσατο τὰ

διὰ δὲ

ἡμέτερα. *διά τε τῶν ἡμετέρων ὡς εἴρηται, τὰ ἑαυτοῦ ἐδίδαξεν ἡμᾶς. ὥσπερ γὰρ εἴ τις πρὸς ἀλλοεθνεῖς βουλόμενος ὠφελείας παιδεύματα διαπορθμεῦσαι, καὶ μεταποιῆσαι τοὺς τοὺς πρὸς βελτίονα τῆς παρ' αὐτοῖς κρατούσης κατάστασιν, καὶ βίου πολιτείαν ἀρίστην, πάντως ἂν ἕωλος αὐτῷ γένοιτο ἡ σπουδή, τῇ ἰδίᾳ γλώττῃ κεχρημένῳ, μὴ δυναμένων τῶν ἑτερογλώσσων ἐπαΐειν τῆς μὴ ἰδίας. καὶ τί ἔδει ποιεῖν τὸν διὰ φιλανθρωπίαν μεταπαιδεῦσαι βουλόμενον, τοὺς τῇ πλάνῃ κατόχους, ἢ πάντως τῇ πατρίῳ καὶ συνήθει τῶν ἀκροωμένων χρήσασθαι φωνῇ, πρὸς παραδοχὴν τῶν λεγομένων; οὕτω καὶ ὁ θεὸς ὀνόμασιν ἡμετέροις, τὰ θεῖα δόγματα παραδέδωκεν, ἵν' ἀφ' ἑαυτῶν τὸ δίκαιον κρίνωμεν. πᾶς γὰρ ἄνθρωπος, ἄνθρωπον ὅμοιον κατ' οὐσίαν γεννᾷ. καὶ πᾶς ὁ γεννῶν, πατήρ. ναὶ μήν, καὶ ὁ γεννώμενος, υἱός. οὐδέτερος δὲ μείζων, ἢ ἥττων ἐστὶ κατὰ φύσιν. οὐδὲ κτίζων λέγεταί τις τὸν ἐξ αὐτοῦ. καὶ τοῦτο πᾶς εὖ φρονῶν, ὁμολογήσειεν ἂν εἰκότως, ἐκ τῶν ἀνθρωπίνων τὰ θεῖα κατὰ τὸ ἐγχωροῦν διδασκόμενος. ὁ γὰρ γεννῶν, ὁμοούσιον γεννᾶν πέφυκεν υἱόν. οὐδέποτε δὲ κτίζειν. ὁ δὲ κτίζων, ἑτερούσιον κτίζει, καὶ οὐδέποτε υἱόν. εἰ τοίνυν υἱὸς ὁ γεννηθείς, οὐκ ἔστι κτίσμα. καὶ εἰ φύσει πατήρ ἐστιν ὁ γεννήσας, πῶς ἂν τοῦ γεννηθέντος κτίστης λέγοιτο. ταύτην ἔγνωμεν τὴν φυσικὴν συγγένειαν, ἐκ τῶν παρ' ἡμῖν ὀνομάτων. πάντως δὲ τὰ θεῖα τούτων ἐστὶν ἐπέκεινα, καθόσον ἐστὶν ἡ φύσις ἐκείνη, τῆς ταπεινῆς ἡμῶν φύσεως ὑψηλοτέρα. καὶ τούτοις δεῖ στοιχεῖν, τοὺς κατὰ θεὸν ζῆν βουλομένους. εἰ δὲ τῇ φύσει τῶν πραγμάτων ἀντιδημιουργοῦσι κενὰς ἐννοίας τινές σκοπὸν ἔχοντες φαῦλον, ὃν ἑαυτοῖς ἐπενόησαν, πρός τε οἰκείαν βλάβην, καὶ ἀπάτην τῶν ἀπλουστέρων, μάταια καὶ κενὰ μελετῶσι. καὶ οὐκ ἐπιτεύξονται φησὶν οἱ δόλιοι θήρας. οὔτε γὰρ τῆς ἀληθείας ἐφικνοῦνται, οὔτε μὴν μεταποιοῦσι τὰ πράγματα καθ' ὧν καινοτομοῦσι τὰ ὀνόματα. πέπηγε γὰρ ἡ φύσις τῶν ὄντων, καὶ οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἀλλ' ὡς ἦν καὶ ἔστιν. οὕτω μένει καὶ διαμενεῖ. καὶ κλήσεις τοιάσδε, ἢ τοιάσδε, οὐ μετατιθήσει τὸν ἐπ' αὐτῇ λόγον, ἐφ' ἕτερόν τι, παρ' ὅ κατὰ φύσιν ἐστίν. ὑστερογενὴς γὰρ τῶν ὀνομάτων ἡ θέσις. προϋπάρχει δὲ τὰ πράγματα, καθ' ὧν ἐστὶ τὰ ὀνόματα. εἰ μὲν οὖν συμβαίνει τὰ ὀνόματα τῇ φύσει τῶν πραγμάτων, καὶ καλῶς ἁρμοσθείη ἄν, τοῖς ἡ προφορὰ τοῦ λόγου, λόγος ἀληθὴς κληθείη δικαίως. ζημίαν οὐδεμίαν ἔχων. εἰ δὲ τοὐναντίον, ἀσύμβατος, καὶ ἀνάρμοστος εὑρεθῇ.

δηλονότι

δῆλον ὅτι, ψευδὴς μὲν αὐτὸς ἐλεγχθήσεται. μένει δὲ τὸ πρᾶγμα, τὴν κατὰ φύσιν ἔχον κατάστασιν, μηδὲν ἐκ τῆς προφορᾶς τοῦ λόγου παραβλαφθεῖσαν. καὶ τοῦτο ζητῶν τις ἐφ' ἑκάστου τῶν ὄντων, ἀληθεῦον εὑρήσει. εἰ δὲ ἐφ' ἑκάστου, πολλῷ πλέον ἐπὶ τῶν θείων δογμάτων. λόγος γὰρ πλάνος, πλανήσει τινάς. ἴσως καὶ ἀπάξει τῆς ἀληθείας, τοὺς μὴ καθ' ἕξιν αὐτῇ πεποιωμένους. οὐ μὴν μεταποιήσει τὴν φύσιν, καθ' ἧς προφέρεται. οὐδὲ γὰρ ἂν τοῦ λόγου δυνατώτερον ἦν, εἰ διὰ τοῦ ἤχου μὴ πεποίωτο τὰ πράγματα. λοιπὸν δὲ παρὰ τοῦ λέγοντος ἴσως ἐκτεθέντος τοῦ λόγου, πρὸς ἕτερον βαδιεῖται, μᾶλλον δὲ οὐχ ἕτερον. ἔτι δὲ τοῖς αὐτοῖς ἐπιμένει, καὶ εἰς τὸ ὑποκείμενον ἐναλλάττει τὰ ἐπιχειρήματα:~

## Τοῦ αὐτοῦ. λόγος β^{ος}. περὶ ἀπεριγράπτου:

Πάντα τολμᾷ γλῶττα δολία, καταφρονοῦσα τοῦ κτίσαντος. καὶ τῆς αὐτοῦ δυνάμεως οὐκ αἰσθανομένη. ἔστι δὲ κύριος αὐτὸς ἡμῖν, εἰς βοηθὸν ἐλπίδος καὶ δοὺς λόγον σωτηρίας, διὰ τὴν ὠφέλειαν δεῖ παθεῖν βουλομένους. καὶ προσθήκην σωτηρίας λαβεῖν. σὺ δὲ φίλτατοι κεφαλή, μὴ συνδιατεθῇ πρὸς αὐτοὺς φησὶ διαθήκην. τίνας λέγω; τοὺς συγκρίνοντας τὸν θεόν, καὶ περιγράφοντας τὴν θείαν οὐσίαν. καὶ τόπον ἐπ' αὐταῖς κενόν, τὸ πᾶν τοῦ κτίσεως τὸ παντελὲς δογματίζοντας εἶναι. οἱ δοκοῦντες εὐσεβεῖς, ἀναιδῶς βλασφημοῦσι, τὸ μεγαλεῖον τῆς θείας φύσεως ἀπαρνούμενοι, καὶ τὴν ἄκαιρον καὶ λάλον αὐτῶν γλῶσσαν, κατὰ τοῦ θεοῦ τῶν ὅλων ἀκονοῦντες, οὐκ ἔγνωσαν ὄντως, οὐδὲ συνῆκαν οὔτε θεοῦ δύναμιν. ἀλλ' ἐσκοτίσθη φησίν, ἡ ἀσύνετος αὐτῶν καρδία. φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν. μακροθυμεῖ δὲ καὶ ἐπὶ τούτοις ὁ κύριος, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι. θέλει γὰρ πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. καὶ εἴη ταύτην ἐπ' αὐτοῖς τὴν σοφὴν οἰκονομίαν τέλους ἀγαθοῦ τυχεῖν, σωζομένων αὐτῶν κατὰ τὴν πρόθεσιν τοῦ θεοῦ, τοῦ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα. ἵνα δὲ μὴ διαλάθῃ τὸ σκαιὸν αὐτῶν καὶ ὕπουλον δόγμα, ἴδωμεν οἷα λέγειν περὶ θεοῦ ἀνέχονται. τῇ ἐνεργείᾳ φασίν, ἐν πᾶσιν ἐστὶν ὁ θεός. τῇ οὐσίᾳ δὲ οὐδαμοῦ. ἐνέργειαν λέγοντες τὸ προϊὸν ἐκ τῆς ἐνεργείας *ἀποτέλμα. ὡς εἰ καὶ ναυπηγὸς ἐν τῇ κατασκευασθείσῃ νηῒ παρ' αὐτοῦ, καὶ ὁ ὑφάντης ἐν τῷ ἱματίῳ ἐφαίνοντο. καί τοι φασὶν ἐκεῖνοι, τῆς τοῦ θεοῦ φύσεως ἀχώριστον εἶναι τὴν ἐνέργειαν αὐτοῦ. εἰκόνι χρώμενος, τῇ παρ' αὐτῶν προενεχθείσῃ. ὡς γὰρ ὁ ναυπηγὸς θεωρεῖται ἐν τῇ νηῒ, καὶ ὁ ὑφάντης ἐν τῷ ἱματίῳ, οὕτω καὶ ὁ θεὸς ἐν τοῖς

χαινὸν
+ κενόν

ἀποτέλεσμα

ἰδίοις ποιήμασιν. ἀλλ' ἐκεῖνοι μὲν διά, θνητοί καὶ περιγεγραμμένοι σώμασι,
μόνην τὴν ἐνέργειαν καταλιμπάνουσιν, ἔρημον τοῦ τεχνιτεύσαντος. καὶ παρό-
ντα μέν, καὶ γινωσκόμενον κηρύττει τὸν ποιητήν. ἀπόντα δέ, οὐδαμοῦ κα-
ταγγέλλει τὸν ἀγνοούμενον. διατί; ἐπειδὴ ἑκάτερον, περιγεγραμμένως θε-
ωρεῖται. τὸ ἐνεργῆσαν, καὶ τὸ ἐνεργηθέν. ἐπειδὴ δὲ ζῶσα φύσις ἐστὶν
ἡ θεία, ζώσας ἔχει καὶ τὰς ἐνεργείας, καὶ ἀπαύστως ἐνεργουμένας. χωρὶς δὲ
οὐσίας, ἀδύνατον προελθεῖν ἐνέργειαν. ἔνθα γὰρ ἂν ἡ ἐνέργεια φανῇ,
συνθεωρεῖται ταύτῃ καὶ ἡ οὐσία ἐξ ἧς προέρχεται. ἑκάτερον γὰρ ἀπερίγρα-
πτον. καὶ διὰ τοῦτο παντελῶς ἀλλήλων ἐστὶν ἀχώριστα. κηρύττει μὲν γὰρ ἐνέρ-
γεια, τὴν λανθάνουσαν οὐσίαν. θεωρεῖται δὲ συμπαροῦσα τῇ ἐνεργούσῃ, χω-
ρὶς αὐτῆς εἶναι μὴ δυναμένη. οὕτως οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ θεοῦ.
καὶ τὴν ποίησιν τῶν χειρῶν αὐτοῦ, ἀναγγέλλει τὸ στερέωμα. οὐχ ἅπαξ
ἐνεργηθέν, καὶ ἀλλοτριωθὲν τοῦ ἐνεργήσαντος. ἀεὶ γὰρ δεῖται τοῦ
διακρατοῦντος, καὶ μὴ ἐῶντος, εἰς παλαιότητα φθάσαι. ἐπεὶ δὴ τοίνυν,
πᾶν παθητὸν μὴ ἀνακαινούμενον παλαιοῦται. τὸ δὲ πεφυκὸς παλαιοῦσθαι,
μὴ παλαιούμενον ἀνακαινίζεται. ὁ οὐρανὸς οὖν καὶ τὰ οὐράνια σώματα
μέχρι τῆς δεῦρο διαμείναντα ὡς ἐξ ἀρχῆς γεγόνασι, τὸν ὁσημέραι περὶ
αὐτὰ γινόμενον ἀνακαινισμὸν ἐμφαίνουσιν. ἀνακαινισμὸν δὲ τὴν συντή-
ρησιν καλῶ. συντηρεῖ γάρ, καθ' ὃν γεγόνασι λόγον. εἰ δὲ δὴ καλῶς ἔχει
τὸ δοκεῖν ἡμᾶς, ἐνέργειαν εἶναι τὴν συντήρησιν, συντηρεῖται δέ, καὶ
διακρατεῖται τὸ πᾶν, περὶ πᾶν ἐστιν ἡ ἐνέργεια. ταύτης δέ, ἀχώριστος
ἡ οὐσία καθέστηκε. περὶ δὲ τὸ πᾶν, καὶ ἐν τῷ παντὶ ἐστιν ἡ τοῦ θεοῦ οὐσία,
οὕτω νοοῦμεν τὸ ὑπὸ τοῦ σωτῆρος λεγόμενον. ὁ πατήρ μου, ἕως ἄρτι ἐργάζε-
ται, κἀγὼ ἐργάζομαι. οὐχ ὡς προσθήκης τῷ παντὶ γινομένης. κατέ-
παυσε γὰρ ὁ θεὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ
ὧν ἤρξατο ὁ θεὸς ποιεῖν. καὶ οὐδέν ἐστι πρόσφατον ὑπὸ τὸν ἥλιον φησὶ
σολομών. ἀλλὰ τῆς συντηρήσεως τοῦ πατρὸς ἔργον ὀνομαζομένης. αὐτὰ γὰρ
τὰ γένη, καὶ τὰ τούτοις ὑποτεταγμένα εἴδη, μέχρι παντὸς ἴδοις ἄν,
σωζόμενα. μήτε προσθήκην ἢ μείωσιν ὅλως δεχόμενα. γίνεται δὲ
τὰ λόγῳ συντηρούμενα καθὰ φθάσαντες ἔφημεν. ὥστε χωρίζειν αὐτὰ
τῆς συντηρούσης δυνάμεως, οὐκ εὐαγές. εἰς ἀπώλειαν γὰρ κατάξει
τὸ πᾶν, ὁ τοῦ παντὸς χωρίζων, τὸν ποιητὴν τοῦ παντός. οὐκοῦν οὐ μόνον
τῇ ἐνεργείᾳ πάρεστι τοῖς οὖσι θεός, ἀλλὰ καὶ τῇ οὐσίᾳ. δέδεικται γὰρ
ὅτι χωρὶς οὐσίας, οὐκ ἔστιν ἐνέργεια. ἐνέργειαν δὲ λέγω, τὴν ζῶσαν,

καὶ ἀεικίνητον

καὶ ἀεικίνητον δύναμιν, προϊοῦσαν ἐκ τῆς ἐνεργούσης οὐσίας. οὐ τὴν δημιουργικῶς λεγομένην ἐνέργειαν. τριχῶς γὰρ λέγεται ἡ ἐνέργεια. ἥ τε δύναμις, καθ' ἣν ἐνεργεῖν πέφυκε, καὶ ἡ κίνησις ἡ τοῦ ἐνεργοῦντος πρὸς τὸ ἐνεργούμενον. καὶ αὐτὸ δὲ τὸ ἀποτελούμενον, ἐκ τῶν εἰρημένων. προθεωρεῖ γὰρ ὁ νοῦς τὸ γενησόμενον. ἔπειτα, κινοῦνται αἱ χεῖρες. εἶτα, συντελεῖται τὸ θεωρηθέν. καὶ ἀποτελεσθὲν διὰ τῆς κινήσεως. ταῦτα δὲ καὶ σωμάτων ἐνέργειαι, καὶ θνητῶν. καὶ διὰ τοῦτο ἀνάγκη παρεῖναι τὸ ἐνεργοῦν, τῷ ἐνεργουμένῳ διὰ παντός. κωλύει γὰρ τὴν παρουσίαν, καὶ παχύτης σωμάτων, καὶ θάνατος τοῦ ἐνεργοῦντος. καὶ τῆς ἐνεργείας παῦλα. ἴσως δὲ καὶ τοῦ ἐνεργηθέντος ἡ φθορά. ἐπὶ δὲ τῆς θείας φύσεως, οὐδὲν κώλυμα γίνεται τῶν εἰρημένων. ἁπλῆ γάρ ἐστιν, ὅτι καὶ ἀσώματος. καὶ μόνος ἔχει φησὶν ἀθανασίαν. καὶ ἀτελεύτητοι αἱ ταύτης ἐνέργειαι. καὶ τὸ ἐνεργηθὲν συντετήρηται. διὸ ἐν πᾶσι τοῖς οὖσιν, ἀναγκαίως θεωρεῖται τοῦ ἐνεργοῦντος ἡ οὐσία. καὶ γὰρ ἐπὶ τοῦ παραδείγματος, ἐφ' ὅσον ἐνεργεῖται τὸ ἐνεργούμενον, πάρεστιν ἀναγκαίως τοῦ ἐνεργοῦντος ἡ φύσις. οὐδεὶς γὰρ ἀπών, ἐνεργῆσαί τι δύναται. οὐκοῦν ἐπειδὴ πάντοτε πάντα ἐνεργεῖ θεός, ἀπαύστως ἐνοικονομεῖ τὴν συντήρησιν τοῦ παντός, ἀνάγκη τὸν θεὸν εἶναι ἐν πᾶσι, καὶ μηδενὸς κεχωρίσθαι τῶν ὄντων. ἐπεί, πῶς σωθήσεται ἡ περὶ θεοῦ πρέπουσα δόξα. συμβήσεται δὲ καὶ σῶμα λέγειν τὸ θεῖον. ὅπερ ἐσχάτη ἀσεβείας ἐστὶν ἐπέκεινα. σωμάτων γὰρ ἴδιον ἡ περιγραφή. ναὶ μὴν καὶ κτιστῶν. εἰ δὲ σώματος καὶ κτιστοῦ ἴδιον τὸ περιγράφεσθαι, τοῦ ἀσωμάτου, καὶ ἀκτίστου, τὸ μὴ περιγράφεσθαι. ὁ τοίνυν τὸν ἀπερίγραπτον κατὰ φύσιν ὑπάρχοντα φάσκων, μὴ εἶναι τυχὸν ἔν τῳ δέ τινι, περιγράφει τὸν ἀπερίγραφον. εἰ γὰρ ἑνὸς μόνου κἂν ἐλάχιστον εἴη εἴργοιτο, περιγραφῆς ἐστι τρόπος. αὐτὸ γὰρ τὸ ὑφ' ἑτέρου περατοῦσθαι, περιγεγραμμένην δείκνυσι τὴν οὐσίαν τοῦ περατουμένου. μηδαμῶς ἐφικνουμένην περιγράψαι, τὸ περατοῦν αὐτήν. πῶς οὖν ἔσται τὸ λεγόμενον ἀληθές, ὅτι πνεῦμα κυρίου πεπλήρωκε τὴν οἰκουμένην. οὐσία γὰρ ὢν ὁ θεός, πάντα τὰ ὄντα, τῆς θείας οὐσίας πεπλήρωκε, καὶ ἐν πᾶσι τοῖς οὖσιν ἐστίν. δῆλον δὲ ὅτι καὶ ὑπὲρ τὸ πᾶν. οὐκ ὄγκῳ σώματος ἐοικυῖα, ἀλλὰ δυνάμει

θεία συγκροτοῦσα καὶ συνέχουσα τὸ πᾶν· οὐ γὰρ δυνατόν, τι τῶν ὄντων ὑφε-
στάναι, μὴ μετέχον τοῦ ὄντος. ὂν δὲ κυρίως μόνος ἐστὶν ὁ θεός, ἔχων ὡσαύτως
ἀεί, καὶ μὴ ἀλλοιούμενος. καὶ εἴ τι μετέχει τῆς προσηγορίας τοῦ ὄντος, οὐ
προηγουμένως ὄν ἐστιν, ἀλλὰ μετοχῇ, τοῦ κυρίως καὶ πρώτως. τάχα δὲ καὶ
μόνως ὄντος ἐστί. φησὶ γάρ τις θεολόγων, ἀπαπᾶς τὰ ὄντα πάντα; εἰ δὲ
ὄντα ἐστί, παρὰ τὸ μετέχειν τοῦ ὄντος ἐστί. μετέχει δέ, κατὰ τὸ ἐνεργοῦν
δηλονότι. ἡ δὲ ἐνέργεια χωρὶς οὐσίας οὐ πρόεισι, καὶ ἐν πᾶσιν ἐστίν. ἡ
οὐσία ἄρα ἐν πᾶσιν ἐστί, κατὰ τό, διὰ τοῦ προφήτου λεγόμενον· οὐχὶ τὸν
οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ λέγει κύριος, πληροῖ δὲ τὰ πάντα, καὶ τὰ
ὑπὲρ τὰ ὄντα. καὶ οὐδέν ἐστι κενὸν μὴ μετέχον αὐτοῦ. μηδὲ γὰρ οἰόμε-
νός τις τιμᾶν τὸ θεῖον, διὰ μὴ καθῆκον εἰς τοὺς φαύλους, ἢ τοὺς ἄλλως
ἀναξίους ὄντας τῆς αὐτοῦ παρουσίας, τὴν ἐσχάτην ἀτιμίαν αὐτῷ προσ-
άψῃ, σωματικὴν ἰδιότητα χαριζόμενος αὐτῷ τὴν περιγραφήν, καὶ τὰ πέ-
ρας. ἢ γοῦν, χωρίζων ἀπὸ τῆς οὐσίας τὴν ἐνέργειαν, ὅπερ ἐστὶν ἀδύνατον
ἐπὶ θεοῦ νοηθῆναι. καὶ τοῦτο γινώσκων ὁ προφήτης ἔλεγε· ποῦ πορευθῶ ἀπὸ
τοῦ πνεύματός σου. καὶ οὐκ εἶπεν ἀπὸ τῆς ἐνεργείας σου· καὶ ἀπὸ τοῦ προσώπου
σου ποῦ φύγω φησίν. ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ. οὐ γὰρ
μόνον ἡ ἐνέργειά σου. ἐὰν καταβῶ εἰς τὸν ᾅδην πάρει· καὶ τὰ
ἑξῆς. ποῦ τοίνυν ἔμφασιν ἔσχηκεν ὁ λόγος χωρισμοῦ φύσεως ἀπὸ
ἐνεργείας; οὐδαμοῦ. διὰ πάντων γὰρ διήκει τὸ θεῖον, πληροῦν τὰ
σύμπαντα φύσεως μεγαλειότητι, καὶ περιουσίᾳ δυνάμεως. ἀλλὰ
τινὲς ὡς ἔοικε, τὸ τῆς οἰκείας φύσεως ἀσθενές, μετάγουσιν ἐπὶ
τὸ θεῖον, περὶ τὰ μέγιστα σμικρολογούμενοι, καὶ οἰόμενοι βέλτιον εἶναι
συστέλλειν, τὴν θείαν φύσιν ἀπὸ τῆς ὕλης, ἢ μέχρι παντὸς ἐπεκτεί-
νεσθαι ταύτην οἴεσθαι. πάντως νομίζοντες ἀθέμιτον εἶναι καὶ ἀσε-
βές, τὸ ἐν οὐ πρέπουσιν εἰσδύεσθαι σώμασι, ῥύπου καὶ δυσωδίας μεστοῖς·
ἢ καὶ ἐν ἀσεβέσι ψυχαῖς, καὶ ἄλλοις τισίν, ἃ ἥκιστα περὶ θεοῦ νοηθῆναι
ὀφείλει ὑπερέκεινα φύσιν. ὄντως ταπεινὰ φρονοῦσι περὶ θεοῦ, καὶ
τῆς ἀνεφίκτου μεγαλειότητος αὐτοῦ ἀνάξια. ἀγνοοῦσι δὲ ἴσως οἱ οὕτω
δοξάζειν ἑαυτοὺς πεπεικότες, τὰς διὰ πάντων διηκούσας αὐτοῦ ἐνερ-
γείας. οὐδὲν γάρ ἐστι τῆς ὕλης μόριον, ὃ μὴ τοῦ θεοῦ ἔργον ἐστίν. οὔτε
τι ῥυπαρὸν ὁρίζεται θεῷ, ἢ ἀκάθαρτον, πλὴν τῶν κατὰ προαίρεσιν
συνισταμένων ἐν τῇ ψυχῇ λογισμῶν. τί τοίνυν ἐπινοήσειέ τις, τῶν
ὄντων, ὃ μὴ πεποίηκε θεός. ποῖον δὲ σῶμα, ὡς ἄν, ῥυπαρὸν εἴη, οὐχὶ

μέρος ἐστί

μέρος ἐστὶ τῆς ὕλης τῆς ὑποκειμένης τοῖς σώμασι, σχηματισθείσης καὶ εἰδοποιηθείσης ὑπὸ τῶν ἐπιγινωσκομένων αὐτῇ ποιοτήτων. οὐκοῦν σαθρὰ βουλεύονται· καὶ βάσιν ὅλως οὐκ ἔχοντα, τῷ μηδὲν εἶναι θεοῦ, τῶν ἰδίων χαρισμάτων ἀπόβλητον. οὔτε γὰρ ῥυπαρὸν ἡγεῖταί τι τῶν ὄντων. ἀλλ' οὐδὲ μεταλαμβάνει πλησιάζων τῆς ἡμετέρας κακίας. ἥτις μόνη ῥύπος ἐστὶν ἀληθῶς, συνισταμένη μόνον ἐν τῷ πράττεσθαι. τίς οὖν οὕτω νήπιος τὴν διάνοιαν, ὡς διὰ ποιότητας ἀνθυποχωρούσας ἀλλήλαις περιγράφειν τὸ θεῖον, ἵνα μή τι πάθῃ θεὸς ὁ ἀπαθής. εἰ γὰρ ὁ ἥλιος σῶμα τυγχάνων, πᾶσι σώμασι διὰ τῶν ἰδίων πλησιάζων ἀκτίνων, οὐδενὸς ὅμως μεταλαμβάνει μολύσματος. οὔτε γὰρ ῥύπου τινὸς ἢ δυσωδίας ἀντιλαμβάνεται. καίτοι μυρίοις εἰδεχθέσι προσβάλλων· τοὐναντίον δὲ αὐτὸς μεταβάλλειν πέφυκε, τὰς τοιαύτας ποιότητας ἐπὶ τὸ κρεῖττον, πόσῳ πλέον ὑπὲρ τὸν ἥλιον ὁ θεὸς μεταδώσει μᾶλλον τῶν ἰδίων ἀγαθῶν. ἀλλ' οὐ μεταλήψεται οὐδενός. οὐδὲ γὰρ μετελάμβανε τῆς τῶν σωμάτων σαπρίας ὁ ἥλιος, πάντως ἂν καὶ ὁ θεός. εἰ δὲ μηδὲ ὁ ἥλιος, καίτοι τοῖς λοιποῖς ὢν ὁμοιοπαθὴς σώμασι, πῶς ὁ ἀπαθὴς μεταλάβοι θεός. πλὴν ἐπειδὴ τὴν ἐνέργειαν ἐν πᾶσιν εἶναί φασι, ταύτην γὰρ ἀξιοῦσι μὴ περιγράφειν, ἐρωτητέον αὐτούς, πῶς δοξάζουσι περὶ αὐτῆς. ἆρά γε φασὶν αὐτὴν τῶν ῥυπωδῶν μεταλαμβάνειν ῥύπων ἡνίκα πλησιάζει τούτοις, ἢ οὔ. καὶ ἐὰν ὁμολογήσωσι τὸ ἀληθές, εὔδηλον ὅτι δυνατόν, μὴ μετέχειν τὸ πλησιάζον τῆς κακίας τῶν οἷς ἐπλησίασεν. εἰ δὲ μεταλαμβάνειν φήσουσι, τὸ αὐτὸ συμβήσεται τοῖς τοῦτο λέγουσιν ἄτοπον, ὅπερ φεύγοντες, τὸ θεῖον περίγραπτον. οὐκοῦν συστελλάτωσαν καὶ τὴν ἐνέργειαν, ἵνα τελείως τὸ πᾶν διαλύσωσιν. εἰ δὲ δεδιότες τὸ ἄτοπον ὡσανεὶ ἐκ μεταμέλου τινὸς μηδὲν βλάπτεσθαι τὰς θείας ἐνεργείας, φήσαιεν, τί καὶ μὴ περὶ τῆς οὐσίας, τὸ αὐτὸ λέγουσιν. ἐὰν δὲ τὴν ἐνέργειαν κατὰ τοῦτό γε ἐλευθέραν τῆς τοιαύτης μεταλήψεως καθιστῶσι, καθὸ δύναμίς τις ἐστὶν ἀσώματος, ἐλέγχονται κἀντεῦθεν, τὴν οὐσίαν οὐκ ἀσώματον λέγοντες. καὶ ταύτῃ περιγράφοντες αὐτὴν ὡς σώματος φύσιν. σαφὴς δὲ παραφροσύνη, τὸ οὕτω φρονεῖν, ἢ λέγειν. πανταχοῦ γάρ ἐστιν ὁ θεός. διὸ πνευματικῶς δοξολογῶμεν, πᾶσαν σωματικὴν ἔννοιαν, πορρωτάτω ἀποβαλλόμενοι. καὶ προσκυνοῦντες

αὐτοὶ ἐν πνεύματι καὶ ἀληθείᾳ, καὶ γνωρίσαντες θεὸν τὸν θεόν, μὴ ἐξιστάμενοι τῆς
εὐθείας τρίβου, ἣν ἐπάτησαν ἐν τοῖς δόγμασι πόδες πραέων, καὶ τα-
πεινῶν, τῶν ὀρθοτομησάντων τὸν τῆς ἀληθείας λόγον πατέρων ἡμῶν·
ἐφ' οὓς ἐπέβλεψεν ὁ κύριος διὰ τὸ εὐθὲς τῆς καρδίας αὐτῶν· οἷς καὶ
αὐτοὶ ἀκολουθήσαντες, ἐξεθέμεθα δόξαν εἰλικρινῆ, καὶ πάντοθεν τε-
τορνευμένην· οὐδὲν ἴδιον φθεγξάμενοι, τοὺς δὲ τῶν ἁγίων οἷον ἀν-
θομολογήσαντες λόγους τὰ πάρθυλα ἐκμυροπλαθήσαμεν· συνεραμῶν,
μᾶλλον δ' αἰτίᾳ καὶ ἀρχῇ τῇ σοφῇ μελίττῃ χρησάμενοι· ἧς
τοὺς πόνους, βασιλεῖς, καὶ ἰδιῶται, πρὸς ὑγείαν προσφέρονται:

## τοῦ αὐτοῦ λόγος γ'ος περὶ θείας οἰκονομίας.

Ἱκανῶς ἡμῖν τῶν περὶ θεολογίας εἰρημένων, ἑπομένως χρή, καὶ τὴν σοφὴν
τοῦ σωτῆρος ἡμῶν οἰκονομίαν, κατὰ τὸ βραχὺ τῆς ἡμῶν διανοίας ὑμνῆσαι. οὐ
πρὸς τὴν ἀξίαν τῆς μεγαλωσύνης τοῦ λόγου ὑπισχνούμενοι ποιεῖσθαι. πόθεν.
οὐ γὰρ ἐφίκοιτ' ἄν ποτε νοῦς, τοσούτου παραδόξου μεγέθους, εἰ καὶ λίαν κεκα-
θαρμένος εἴη· πρὸς δὲ τὸ ἀσθενὲς ἡμῶν καὶ σμικρὸν διεξάγοντες τοὺς περὶ τούτου
λόγους. διὸ καὶ παραιτούμεθα τοὺς ἐντυγχάνοντας, μὴ τῷ χαρακτῆρι τῆς δια-
νοίας συνταπεινωθῆναι τοὺς τούτου λόγους· διὸ καὶ παραιτούμεθα τοὺς ἐντυγχάνον-
τας, τῶν γεγραμμένων, ἀλλὰ τῷ μεγέθει μᾶλλον τῆς ὑποθέσεως συνανυψω-
θῆναι, πρὸς τὸ μετέωρον. εἰ γὰρ καὶ ἡ προφορὰ τοῦ λόγου τῷ προάγοντι
συνημμένη τῷ ὀργάνῳ, μένει χαμαὶ ὅμως, ἀβλαβὴς ἡ ὑπόθεσις· αὐτῷ τούτῳ δεικ-
νῦσα τὸ μέγεθος, ὅτι ὑπὲρ πάντα λόγον ἐστίν· οὐ γὰρ οὕτω παρέστησι τὴν ὑπὲρ
ἐκεῖνα δύναμιν, ἢ τοῦ παντὸς σύστασις· οὐρανὸς λόγῳ στηριξάμενος, καὶ ἄστροις
καλλωπιζόμενος, γῆ ἐπ' οὐδενὸς ὀχουμένη, καὶ οὐχ ὑπερεξιοῦσα τὰ ὅρια, ἀὴρ
κεχυμένος, καὶ ὑπ' οὐδενὸς τυραννούμενος, ἀλλ' ἰσομοιρίᾳ τῶν ἐμπνεόντων
τιμώμενος· καὶ τἄλλα πάντα τῆς κτίσεως μέρη, ὅσον τὸ δυνηθῆναι τὴν
θείαν φύσιν μιγῆναι τῇ ἡμετέρᾳ, καὶ συμπλακῆναι χωρὶς τροπῆς σώ-
ματι, ψυχῆς λογικῆς μεσιτευούσης τῇ συμπλοκῇ. καὶ τὴν μὲν ἀκριβῆ
τῆς τοσαύτης συγκαταβάσεως αἰτίαν, αὐτὸς μόνος ἐπίσταται καὶ οἷς
ἀπεκάλυψεν ἀξίοις τῆς γνώσεως. ὅσον δὲ κατειλήφαμεν ἡμεῖς ἐκ τῶν* ἐκεί- ἐκείνω
νοις πεπαιδευμένων παιδευθέντες, ἡ αἰτία διὰ* τὸ σωθῆναι τὸν κακῶς ἀπο- τὸ
λλύμενον ἄνθρωπον ἦν. ὃς χερσὶ θεοῦ πεπλασμένος, καὶ εἰκόνι τετιμημένος,
ἐτέθη προμηθῶς ἐν τῷ παραδείσῳ ὑπὸ τοῦ πλάσαντος, γεωργεῖν
ἅμα καὶ φυλάττειν προστεταγμένος. θατέρου γὰρ θάτερον κεχωρι-
σμένον, οὐκ εὔχρηστον. ἀλλ' οὐκ ἔσωσε μέχρι παντὸς τὴν ἐπιτεταγ-
μένην αὐτῷ φυλακήν, ῥαθύμως διατεθείς, καὶ τοῖς ἀπηγορευμένοις

ἐπιβατεύσας

ἐπιβατεύσας δόλῳ τινὸς ἀπατηλῆς ὑπαχθεὶς ἡδονῆς· ἐντεῦθεν αὐτῷ πᾶς
παρεγένετο μόχθος· κακιῶν ὄχλος ἐπλημμύρησεν· ἐξὸν δέον τὴν κακίαν ἀνα-
κόψαι, μᾶλλον ἀοξηθήσης αὐτῷ τῆς κακίας· οὕτω γὰρ συμβαίνειν εἴ-
ωθε, τοῖς ἀτάκτως νοσοῦσι, καὶ ταῖς ἰατρικαῖς διαταγαῖς, οὐκ εἰσδεχο-
μένοις, εἰς βάθη ἐλθὼν κακιῶν,* καὶ τὴν σοφὴν παροιμίαν, κατεφρόνησεν. καθὲ τ.
ἐπειδὴ τοίνυν τοῦ τοσούτου ὕψους ἀπολισθὲν, οὐκ ἦν τῆς φυσικῆς ἀγαθό-
τητος τοῦ θεοῦ, τὸν οὕτω πεπτωκότα παριδεῖν ἀθεράπευτον, καὶ ἔξω γενόμε-
νον τῶν ἐφ' οἷς γέγονεν ἀγαθῶν· ὁ γάρ ποτε τιθηνούμενος ἐπὶ κόκκω-
φησὶν ὁ προφήτης, περιεβάλλετο κοπρίαν. διὰ τοῦτο σαφῶς μέτεισι τὴν
οἰκονομίαν ὁ θεὸς λόγος· ὁ μέγας βασιλεύς· ὁ εὐγενὴς ὄντως, καὶ ἐλευθέριος,
τῶν ἀφ' ἡλίου ἀνατολῶν· ἐξελθὼν γὰρ ἐκ τῆς ἰδίας πόλεως διὰ τὸν ἐξ αὐτῆς
ἐξόριστον, ἐκάθισεν ἐπὶ τῆς ἡμετέρας κοπρίας, ἐφ' ἧς ἐκαθίσαμεν ἐκ-
δυσάμενοι τὸ φωτεινὸν ἔνδυμα ὅπερ ἠμφιάσμεθα πρὸ τῆς παραβάσεως·
καὶ ταύτην περιβαλλόμενοι τὴν δυσωδίαν, καὶ ἐπειδήπερ ἐκ τῆς δυσωδίας προ-
σεσωρεύθησαν ἡμῖν ἕλκη καὶ τραύματα, πᾶσαν ἡμῶν διαφθείροντα τὴν διασ-
κευήν, ἔλαβεν ὄστρακον, ἵνα τὸν πολὺν ἰχῶρα δι' αὐτοῦ ξύῃ· καθᾶραι γὰρ
ἤθελε τὸ τραῦμα, καὶ ἀπολοῦσαι· τί δὲ τὸ ὄστρακόν ἐστιν, εὔδηλον ὅτι τὸ
δεσποτικὸν σῶμα, δι' οὗ τὴν ἁμαρτίαν ἐκάθαρεν, ἀμνὸς θεοῦ γενόμενος, αἴρων τὴν
ἁμαρτίαν τοῦ κόσμου· τοῦτο ἡμῖν τὸ μέγα μυστήριον, τὸ ἀποκεκρυμμένον
ἀπὸ τῶν αἰώνων· καὶ ἀπὸ τῶν γενεῶν ἐν τῷ θεῷ τῷ τὰ πάντα κτίσαντι [illegible]
λεται· τοῦτο Ἰωάννης ἐκήρυξεν, ἡ τῆς θεολογίας βροντή· πᾶσαν αἴσθησιν καὶ
αἰσθητὸν ὑπερβάς· καὶ τὸν ἐν ἀρχῇ πρὸς τὸν θεὸν ὄντα τὸν θεὸν λόγον, ταῖς αὐ-
τοῦ θείαις χρώμεθα φωναῖς, λέγοντες· ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν
ἐν ἡμῖν· δεικνὺς γὰρ τὸν πολὺν ἔλεον ὃν περὶ ἡμᾶς ἐνεδείξατο θεὸς ὢν ὁ
λόγος, αὐτὸν τοῦτον ἔφη σάρκα γενέσθαι· πῶς δὲ δυνατὸν ἦν, τὸ ἄτρεπτον
ὅπερ οὐκ ἦν γενέσθαι, δείκνυσι διὰ τοῦ φάναι τὸ ἀληθές· ὅτι ἐσκήνωσεν ἐν
ἡμῖν· μονονουχὶ λέγων σκηνῇ τῇ ἡμετέρᾳ σαρκὶ ἐχρήσατο· καὶ γὰρ ἔδει,
τὸν ἀληθῶς καὶ κατὰ φύσιν ἡμῶν βασιλεύοντα, τυραννηθέντας ἡμᾶς
ὑπὸ νόθου τινὸς δεσπότου, μηδὲν ἀνήκουσαν αὐτῷ βασιλείαν ἐς παντελὲς
μὴ καταλιπεῖν, ἀπρονοοῦντας, καὶ ἐν αἰχμαλωσίᾳ διάγοντας, ἀλλὰ περι-
βαλέσθαι τὰ τῆς αἰχμαλωσίας ἡμῶν σύμβολα· καὶ γενέσθαι πρὸς ἡμᾶς·
ἵνα διαρρήξας τὸν τοῖχον, προπορευθῇ ἡμῶν, καὶ ἐλευθερώσῃ σὺν αὐτῷ τοὺς
ὁμοφυεῖς, μᾶλλον δὲ, οἷς ὁμοφυὴς γέγονε· περιθέμενος ἑκουσίως τὰ τῆς
αἰχμαλωσίας δεσμά· τούτου χάριν γέγονε πρὸς ἡμᾶς μακρυνθέντας αὐτοῦ,

καὶ πόῤῥω γενομένους ἐπλησίασεν, οὐ τοπικῶς. οὐδὲ γὰρ τοπική τις ἦν
ἡ μετάστασις. πῶς γὰρ τὸ θεῖον, ἢ πῶς περιγραφήσεται, πάντα περιέχον ἐν
περιεχόμενος; ἑαυτῷ τὰ ὄντα, καὶ ὑπ' οὐδενὸς αὐτὸς* περιεχόμενος. οὐκοῦν, οὐκ ἦν δυνατὸν
ἔξω γενέσθαι τοῦ ὄντος, τὸν ἀποστάντα. ἵνα τὴν πρὸς αὐτὸν ἄφιξιν, ὁμοίως
τοπικὴν ζητήσωμεν. ἑκάτερον γὰρ ἀδύνατον. μακρὰν δὲ γεγόναμεν
αὐτοῦ, διαθέσει, καὶ προαιρέσει πως, ἥ φησι τὰ λόγια. διὸ καὶ αὐτός,
συγκαταβάσει γέγονε πρὸς ἡμᾶς, οὐ τὴν θεοπρεπῆ καταλιπὼν δίαιταν,
ἣν σὺν τῷ πατρὶ καὶ τῷ πνεύματι φυσικῶς ἔχων, πρὸ πάντων αἰώνων συνεδοξάζετο,
ἐναναπαυόμενος τοῖς πατρικοῖς* ἐναπαυόμενος κόλποις, ἀλλὰ τὴν ἐκ φιλανθρωπίας οἰ-
κονομίαν, ὡς συμπλέξουσαν τῇ φυσικῇ αὐτοῦ ἀγαθότητι, καθ' ἑκού-
σιον θέλημα καταδεξάμενος, οὕτω γέγονε σαρκὶ παλαιᾷ ἀρχὴ νεω-
δει. πρὸς δέ, θνητῷ, καὶ ἀντιτύπῳ, τῷ περιβόλῳ τῆς δυνάμεως κατα-
πρόσληψει χρησάμενος, πρὸς τὴν τῆς δόξης ἐπικρυψιν, καὶ τῆς σαρκὸς* πρόσ-
ληψιν, ᾗ συνεπλάκη, καὶ ἐν ᾗ κατεσκήνωσε, τῆς ἰδίας θεότητος
ἐπισκιάζων τὸ μέγεθος. ἔδει γὰρ τὸν ἀόρατον, πρὸς τοὺς κατ' αἴσθησιν
ἐπιδημῆσαι ζῶντας* ἐπιθυμῆσαι προθέμενον, ὁρατὸν αὐτοῖς γενέσθαι, καὶ ὅμοιον. διὸ τὸ
θεοπρεπὲς τοῦτο συνέπηξεν ἑαυτῷ ὄργανον, ἵνα δι' αὐτοῦ γένηται
ὁρατός. διάκονον πρὸς τὰς θείας ἐνεργείας ἔχων τὸ συμφυὲς ἡμῖν.
ἐν αὐτῷ λοιπὸν δὲ καὶ* αὐτῷ. ταυτὶ λέγων ἅπασι τοῖς τὴν δι' αὐτοῦ λύτρωσιν
ἀπεκδεχομένοις. αὐτὸς ὁ λαλῶν πάρειμι. πάρεστι γὰρ ἀληθῶς ὁ λόγος.
καὶ εἰ τὸ σῶμα μόνον ὁρᾶται, καὶ θεὸς ἐστὶν ἀληθινός, καὶ ἀνθρω-
πίνην μορφὴν ταῖς ἡμετέραις ὄψεσιν ὑποπίπτει, καὶ πρὸ αἰώνων
ἐστίν, εἰ καὶ ἀπὸ χρόνου τινὸς γενέσθαι γενεαλογεῖται, ἐξ ἀρχῆς ἀρχὴ
καὶ ἀΐδιος καταγγελλόμενος. ἐκ τούτου γὰρ ἐστὶ τὸ σῶμα τὸ γεγενημένον
ὑπὸ χρόνον. ἐκ δὲ τοῦ πατρός, τὸ θεῖον καὶ ἄχρονον, τὸ συμπλακὲν ἑαυτῷ
ὅπως τῷ ἐμψύχῳ σαρκὶ δι' ἧς ἡμῖν ὡμίλησε, παραπετάσματι
ταύτῃ καλυπτόμενος. ὥσπερ ἀμέλει κρύπτει τὴν ἡμετέραν ψυ-
χὴν τὸ σῶμα, καὶ σώζει τοὺς χαρακτῆρας καθ' οὓς γέγονε. τὸ γὰρ
κατὰ φύσιν, οὐ πέφυκε ῥᾳδίως ἀμείβεσθαι. ὅσον οὖν ἐστὶ τοῦ τρό-
που στοχάσασθαι τῆς πρὸς τὴν σάρκα τοῦ λόγου ἑνώσεως, ἄλλην ἁρμο-
διωτέραν οὐχ εὑρήσομεν εἰκόνα τῆς ψυχῆς πρὸς τὸ ἴδιον σῶμα,
ἐξ ὧν ἀποτελεῖται ζῶον ἓν ὁ ἄνθρωπος. οὔτε τινῶν μερῶν τρεπομένων
ἐν τῇ συνθέσει, καὶ τῇ πρὸς ἄλληλα συμπλοκῇ, οὔτε τοῦ ἑνὸς ἐξ
ἑαυτοῦ θάτερον ποιοῦντος, ἀλλ' ἐν τῇ συνδρομῇ τούτου γινομένου, τῶν

περιόντων

πρώην τοῦ λόγου διεστώτων· ὅπερ μετὰ τὴν σύνθεσιν, ἔστι τε καὶ ὀνομά-
ζεται· τῆς οὖν εἰκόνος ὅσον χρήσιμον παραλαβόντες, οὕτω τοῦ λόγου
τὸ συναφὲς, πρὸς τὴν ἀνθρωπότητα θεωρήσωμεν· θεὸς γὰρ ὢν ἄνω-
θεν ὁ λόγος, καὶ βουληθεὶς ἄνθρωπος γενέσθαι, ὡς οὐκ ἐνὸν ἄλλως σωθῆναι
τὸν ἄνθρωπον, μήτραν ὑπέδυ παρθένου, καὶ πάσης φθορᾶς ἀπείρου.
ἡ γὰρ καὶ ἡ παρθένος ἁγνὴ· τῇ καὶ σώματι· διὸ πρὸς τὴν τοσαύτην
τοῦ μυστηρίου ὑπουργίαν ἀναγκαίως, εἰκότως αὐτὴν ἐπελέξατο· πληρώ-
σας οὖν αὐτὴν ὁ λόγος, προηνωμένος μὲν ἡνώθη ψυχῇ λογικῇ·
ἢ καὶ μεσίτης αὐτῷ γέγονε πρὸς τὴν σάρκα· καὶ ὅλος ὅλῃ ταύτῃ χω-
ρὶς φυρμοῦ καὶ συγχύσεως ἀνακραθεὶς, δι' αὐτῆς συνήφθη τῷ σώ-
ματι συστάντι, τῇ τοῦ ἁγίου ἐπιφοιτήσει, ἐκ τῆς σαρκὸς τῆς παρ-
θένου μητρός· οὐδεμιᾶς αἰτίας ἐν αὐτῇ προκαταβεβλημένης· ἐξ    προκαταβεβλημένης,
ὧν εἴωθε τὰ σωματικὰ τίκτεσθαι, πλὴν τῆς τοῦ ὑψίστου δυνάμεως· μό-
νη γὰρ ἡ γυνὴ, τὴν ὕλην, τῷ σώματι τῷ γενομένῳ θεότητος ὀργάνῳ
ἐχορήγησε· καθά ποτε μόνος ἀνὴρ τὴν γυναῖκα καὶ μητέρα τῶν ζώντων,
ἐκ τῶν ἰδίων σαρκῶν ὑπέστησεν. οὐκοῦν μάτην ληροῦσιν οἱ πρὸς ἡμᾶς
ὁμοούσιον διὰ τὸν τρόπον τῆς γενέσεως ἀναιροῦντες· οὔπω γὰρ οὐδὲ Εὔα
ἔσται τῷ ἀνδρὶ ὁμοούσιος· ἢ τῷ κοινῷ ἐξ ἀμφοτέρων προελθόντι· καὶ
γὰρ ἑκάτερος πρὸς θάτερον, ἐνηλλαγμένην ἔχει τὴν εἰς τὸ εἶναι πά-
ροδον. ἀλλ' οὐδ' ἑτέρωθεν, τὸ ἴδιον παρήγαγε σῶμα. καί τοι δυνάμενος,
ἢ ἐκ τῆς ὑποκειμένης ὕλης τοῖς ἡμετέροις σώμασιν· οὐ γὰρ ἐπελάβε-
το ἀγγέλων φύσιν, οὐδ' ἄλλης ἐπουρανίου δυνάμεως, ἀλλὰ τοῦ σπέρ-
ματος ἀβραάμ, πρὸς ὃν ἡ ἐπαγγελία. πῶς οὖν φασί τινες οὐράνιον
εἶναι τὸ γηγενὲς σῶμα. τοιαύτης ὕλης οὐκ οὔσης ἐν τοῖς ἄνω χω-
ρίοις; οὐκοῦν, οὔτε ἐκ τῆς ἰδίας οὐσίας ἀτρέπτου τυγχανούσης, οὔτε
τῆς τινὸς ἑτέρας παρὰ τὴν εἰρημένην ἐτεκτήνατο ἑαυτῷ σῶμα·
πολὺ γὰρ τὸ ἀπηχὲς εἶχεν εἰ πρὸς ἡμᾶς ἀφιγμένος, ἀλλότριον
ἡμῶν παραγένηται φέρων σῶμα. θεὸς δὲ μόνον ὑπάρχων ἐκ τοῦ πατρὸς,
καὶ τὴν αὐτοῦ φέρων ἀπαραλλάκτως οὐσίαν, εἶτ' οὖν ἑαυτὸν, προσελά-
βετο σῶμα ἐκ τῆς μητρός· καὶ γέγονεν αὐτῇ ἀπαραλλάκτως ὁμο-
ούσιος· διὸ κατὰ τὴν ἀνωτέρω προτεθεῖσαν εἰκόνα, ἐξ ἑκατέρων
οὐσιῶν, εἷς χριστὸς πεφανέρωται· θεὸς καὶ ἄνθρωπος ὁ αὐτός· καὶ τοῦτο πέρας τὸ

τοῦ μυστηρίου παράδοξον, ὅτι σώζει τὸ κατὰ φύσιν ἰδίωμα, τῶν συνελ-
θόντων ἑκάτερον, ὥστε καθ' αὑτὸ μόνον ὑπῆρχε, μὴ συνελθὸν ἑτέρῳ πρὸς
ἕνωσιν. καί τοι τῆς ὑποστάσεως μιᾶς οὔσης ἀσυγχύτως. Χριστοῦ οὖν ἐστιν ἡ ἐκ
τούτων σύνοδος. οὐχ ἡ κρᾶσις, ἀλλ' ἡ τῶν οὐσιῶν αὐτοχρῆμα συμπλοκή.
μᾶλλον δὲ αὐταὶ αἱ οὐσίαι. οὐχ ἡ θεία χωρὶς τῆς ἀνθρωπίνης. οὐδὲ
ἔμπαλιν ἡ ἀνθρωπεία τῆς θείας κεχωρισμένης. ἀλλ' ἀμφοτέρων ἡ
ἀχώριστος μίξις καὶ σύγκρασις. ἣν οὐ κατὰ μίμησιν τῶν ὑγρῶν φαμέν·
ἅπερ ἐξ ἴσου ἀπαθῆ πρὸς ἕτερόν τι πέφυκεν ἐν τῇ πρὸς ἄλληλα συγ-
κράσει. ἀλλὰ κατὰ τὴν προτεθειμένην εἰκόνα τῆς ψυχῆς καὶ τοῦ
σώματος, ἐξ ὧν ἀποτελεῖται τὸ λογικὸν ζῶον ὁ ἄνθρωπος, ἐκ νοεροῦ καὶ
αἰσθητοῦ, νοερὸν ἅμα καὶ αἰσθητόν. οὕτω κἀνταῦθα, θεωρείσθω τῆς
ἀμυδρῶς τὸ μυστήριον. ἄμφω γὰρ συνῆλθον ἅμα, θεῖον καὶ ἀνθρώ-
πινον. καὶ τὸ ἀποτέλεσμα τῆς συνθέσεως οὐδὲν ἕτερον ἔδειξεν, ἢ
ὅπερ ἑκατέρου τῶν συνδραμόντων ἡ φύσις ἦν. Θεὸς γὰρ οὐδὲν ἧττον καὶ
ἄνθρωπος ὁ Χριστός. ὁ ἐκ τῶν συνδραμόντων πρὸς τὴν ἄφρασιν ἕνωσιν, φανε-
ρωθεὶς τῷ κόσμῳ Θεός, σώματι θνητῷ χρώμενος, πρὸς τὴν τοῦ θανά-
του κατάλυσιν, ὃ καὶ παράδοξον. ἔστιν οὖν ἀληθῶς Θεὸς ἅμα καὶ ἄνθρωπος
ὁ Χριστός. οὐκ ἐνδεχόμενον ἀληθεῦσαι τὴν προσηγορίαν ταύτην, διαφόρων
οὐ ὑποκειμένων πραγμάτων. λέγεται δὲ πολλάκις ἀνὰ μέρος, τὰ ἐξ
ὧν ἐστιν οὐκ ὧν τοῦτο μόνον. οὐ γὰρ δυνατὸν χωρὶς θεωρῆσαι τὸ ἕτερον
τῶν συνελθόντων, ἢ μόνῳ τῷ διακριτικῷ τῆς διανοίας κινήματι,
καθ' ὃ γινώσκομεν τί μὲν ἐστι θεῖον, οὐχ ὂν ἀνθρώπινον. τί δὲ πάλιν
ἀνθρώπινον ὄν, οὐκ ἔστι θεῖον. εἰ δὲ καί ποτε ταύτας ἀναμαξόμεθα
τῷ νῷ τὰς ἐννοίας, σημᾶναι θέλοντες τὰς ὑποκειμένας οὐσίας, καὶ
τὴν πρὸς ἑαυτὰς αὐτῶν ἑτερότητα, εὐθὺς γοῦν συνάπτομεν τῇ ἐνερ-
γείᾳ πρὶν διασπᾶσαι πάλιν ἑνοῦντες. ἕνα τὸν ἐκ τῶν διαφόρων συνεστῶ-
τα γινώσκοντες εἶναι Χριστόν. εἰ γὰρ καὶ διάφοροι φύσεις εἰσὶν ἐξ ὧν
ἡνώθη πρὸς τὴν τοῦ μυστηρίου φανέρωσιν, ἀλλὰ μία ἡ ὑπόστασις. τὸ
γὰρ αὐτὸ τῆς ὑποστάσεως μεμένηκεν ἰδίωμα. καὶ τοῦ υἱοῦ σαρκωθέν-
τος, υἱὸς γὰρ πάλιν ἐστὶ καὶ κατὰ τὴν σάρκα. ὥστε τῇ φύσει μὲν
διαφέρουσιν, ἡ προσλαβοῦσα τῆς προσληφθείσης. ὑποστάσει δὲ οὐδα-
μῶς. ταύτῃ φαμὲν τῶν κατ' οὐσίαν διαφερόντων μίαν εἶναι τὴν

ὑπόστασιν

ὑπόστασιν. συνηγορούντων ἡμῖν τῶν θεοφόρων ἀνδρῶν ἁπάντων καὶ δι-
δασκάλων τῆς ἐκκλησίας. τὸν αὐτὸν φασκόντων εἶναι τὸν θεὸν καὶ
τὸν ἄνθρωπον. αὗται γάρ εἰσιν αἱ φύσεις, ἐξ ὧν συνετέθη. φύσεις δὲ
λέγομεν νῦν, οὐ τὰς ἀρχάς, καθά τινες ἀπατηλῶς λοχῶντες τὰς
ἁπλουστέρας ψυχὰς ἐνεδρεύουσι. φάσκοντες τὰς φύσεις ἐξ ὧν ἡ
ἕνωσις γέγονε, τὸν θεὸν εἶναι καὶ πατέρα, καὶ τὴν παρθένον μητέρα συνεσκι-
ασμένως τὸ ἐξ ὧν λέγοντες, ἵνα μηδὲν τῆς προσλήψεως ὁμολογῶσιν
ἐν τῷ Χριστῷ. ἡμεῖς δέ, τὴν καθ' ὑπόστασιν τῶν φύσεων ἐν τῇ ἑνώσει συν-
δρομὴν θεωροῦντες, ταύτας ὁμολογοῦμεν εἶναι συμπληρωτικὰς τῆς ὑπο-
στάσεως τοῦ Χριστοῦ, τοῦ κατ' ἀλήθειαν, οὐ μόνον ἐκ θεοῦ καὶ ἀνθρώπου, ἀλλὰ θεοῦ
καὶ ἀνθρώπου τυγχάνοντος, αὐτῶν τῶν οὐσιῶν συνδρομῇ ἐν τῇ ἑνώσει. καὶ τὴν
σύνθετον ὑπόστασιν, ἣν Χριστὸν καλοῦμεν, διὰ τὴν σύνθεσιν ἀποτελοῦσαν.
διὰ τοῦτο γοῦν οὐ μόνον ὡς ἐκ θεοῦ καὶ ἀνθρώπου τυγχάνοντος τοῦ Χριστοῦ, διαλέ-
γονται ἡμῖν οἱ θεοφόροι πατέρες περὶ αὐτοῦ, καὶ ἐκ δύο φύσεων, ὡς
ἐκ τῶν ἀρχῶν, ἀλλ' ὡς περὶ θεοῦ καὶ ἀνθρώπου, καὶ δύο φύσεων, τὴν ἀπάτην
ἀπελαύνοντες πορρωτάτω, καὶ τὴν ἀλήθειαν σαφῶς καταγγέλλον-
τες. καὶ ἦν ἁπλοῦν καὶ ἀποίκιλον, τὸ τῆς εὐσεβείας κήρυγμα, κα-
θὼς πρέπει φησὶν ἁγίοις, εἰ μὴ πολλοί, διαφόρως νοθεύσαντες τοῦτο,
σοφιστικοῖς ἐπεχείρησαν λόγοις. τούτου γοῦν ἕνεκα τοῦ μὴ ἐρήμην
ἁλῶναι τοῖς βρόχοις αὐτῶν, τοὺς ἁπλότητι ψυχῆς πορευομένους, κατὰ
γενεὰς τὸ πνεῦμα τὸ ἅγιον, ψυχαῖς ἁγίων ἐπιφοιτῆσαν, ἐσόφισε τούτους.
καὶ ἔδωκεν αὐτοῖς ἀνταγωνιστικὸν λόγον, διαλύοντα στραγγαλιὰς
βιαίων κατὰ τῆς ἀληθείας καταγμάτων. οἳ καὶ παρέδωκαν ἡμῖν,
τὸν πολύτιμον θησαυρὸν περιειργμένον μέν, ὀστρακίνοις σκεύεσι· τοῦ-
το γὰρ ἐσήμαινεν ἀληθινοῖς θείοις διδάγμασιν. ἐπεὶ δὲ μέχρι παντὸς κα-
ταγνυσθῆς οὐκ ἔδει τὰ σκεύη, ἐν οἷς ὁ μέγας ἀπόκειται θησαυρὸς φει-
δοῖ τῶν ἀσθενεστέρων, δέδωκεν ἀντὶ τοῦ παντὸς λογικῶν τοῖς κήρυξι τῆς
ἀληθείας. ~~λόγον~~. τὰς ἀτάκτους τῶν ἐναντίων βολὰς ἀπεκρούσαντο
τοιγαροῦν ὁ τῆς ἀληθείας λόγος, οὐχ ἡττᾶται τοῦ ψεύδους, ἀλλὰ
μᾶλλον ἐλέγχει τὴν ἀπάτην τοῦ ψεύδους. καὶ πᾶν ἀλλότριον ἀπο-
βαλλόμενος, αὐτὸς μένει μηδαμῶς ἀποτιθέμενος, ἢ περιφερόμενος.
διὸ Χριστόν, θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν εἶναι διδάσκει, τὸν ἄνωθέν
τε καὶ κάτωθεν ἕνα θεὸν ὄντα, μορφὴν δούλου ἠμφιεσμένον. ἵνα λάθῃ
θεὸς ὤν, τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, πρὸς ὃν ἔχομεν τὸν ἀγῶνα,

καὶ μὴ ἀποθλάσῃ τὴν πάλην, ὡς οὐκ ἀγωνισάμενος πρὸς θεόν· τάχα δέ,
ἵνα διὰ τοῦ ὁμοίου, τὸ ὅμοιον ἀνασώσηται. ἤκουσας ἔφρεξέ(?) τι ξενίζον ἐν
ἑαυτῷ, παρ' ὃ ἦμεν ἡμεῖς· ἀλλ' ὅλον ἡμῶν τὸ φύραμα ἐν ἑνὶ τῷ κα-
ταλελειμμένῳ ἡμῶν σπέρματι προσελάβετο. γενόμενος ἀπαρχὴ τῆς
ἡμῶν φύσεως. ταύτῃ λέγεται ἀπαρχὴ Χριστός. ἐπειδὴ γὰρ ὅλον τὸ
πεπτωκὸς ἀναστῆσαι προέθετο. πέπτωκε δὲ τὸ γένος ἅπαν, ὅλον
ἑαυτόν, ὅλῳ τῷ Ἀδὰμ κατέμιξε, ζωὴ ὑπάρχων τῷ θανατωθέντι.
ἵνα ζωοποιήσῃ τὸν ᾧ συνεπλάσθη(?), δι' ὅλου διήκων αὐτοῦ, καθάπερ
ψυχὴ μεγάλου σώματος, ψύχουσα τοῦτο, καὶ μεταδιδοῦσα ζωῆς αὐτοῦ
~~[illegible]~~ καὶ αἰσθήσεως. οὕτω λέγεται τὸ ἀνθρώπινον γένος σῶμα Χριστοῦ, καὶ μέλη
ἐκ μέρους, ὡς διὰ πάντων κοινῶς διήκοντος. κοινότης γὰρ τὸ σῶμα.
καὶ ὡς ἐν ἑκάστῳ καταμερισθέντος(?) ἰδικῶς κατὰ τὸ μέτρον τῆς πίστεως.
μέλη γάρ, τὸ ἰδιάζον σημαίνουσι. καθό, καὶ διάφοροι τῶν μελῶν αἱ
ἀξίαι. τούτων γάρ, τὰ μέν ἐστι τίμια· τὰ δέ, ἀσθενῆ· τὰ δέ, ἀσ-
χήμονα. τοῖς δέ, τιμὴ περισσοτέρα προστίθεται. καὶ ταῦτα, τῆς
τοῦ σώματος, οὐ κατηγορεῖται κοινότητος. ὥστε σῶμα εἰπὼν ὁ ἀπόστο-
λος, καὶ μέλη ὀνομάσας, ἔδειξεν ὅτι τὴν διαφορὰν οἶδε τοῦ γενικοῦ
παρὰ τὸ ἰδικόν. καὶ σῶμα Χριστοῦ καλέσας ἡμᾶς, ἐσήμανεν, ὅτι τῇ
οὐ γὰρ κοινότητι τῆς οὐσίας ἡνώθη. οὐ δὲ γὰρ ἰδικῇ τινι ὑποστάσει* ἦ γὰρ
ἂν αὐτοῦ μέλος, οὐ μέλη· οὐδὲ σῶμα ἐλεγόμεθα εἶναι. ἐπεὶ δ' ἅπαξ
εὐδόκησεν ὁ τοῦ θεοῦ λόγος ἄνθρωπος γενέσθαι, καὶ ἡμᾶς ὅλους, σῶμα ἑαυτοῦ
ποιήσασθαι, ἑκάτερον ὤν, τὸ ἕτερον λέγεται. καὶ λεγόμενος θάτερος,
ἔστιν ἑκάτερον. οὐ ταῖς κλήσεσι μεταποιούμενος. οὐδὲ γὰρ αὗται ὡσα-
νεὶ καταχρηστικῶς λέγονται, ἀλλ' ὑπάρχων ἀμφότερα, καλεῖται
τὸ ἀνὰ μέρος. λέγομεν γὰρ αὐτὸν θεόν, οὐ τινὰ θεόν. λέγομεν αὐτὸν
καὶ ἄνθρωπον, οὐ τινὰ ἄνθρωπον. ἔστι δὲ θεὸς ἅμα καὶ ἄνθρωπος, διὰ τῶν γενικωτέρων ὀνο-
μάτων δηλούμενος, τὸ ἐξ ὧν ἐστι. οὐκ ἐκ μερικῶν ὑποστάσεων, ἀλλ' ἐκ
ἐστι γενικῶν οὐσιῶν. οἶμαι γὰρ μηδὲ μέρος οὐσίας εἶναι. φασὶ γὰρ καὶ οἱ
περὶ ταύτην τὴν χρείαν(?) ἔχοντες τὰ μέρη τῶν οὐσιῶν, οὐσίας εἶναι.
ποῖον οὖν μέρος οὐσίας εὑρεθήσεται, τὸν λόγον αὐτῆς τῆς οὐσίας μὴ
ἐπιδεχόμενον, ἵν' ἐκεῖνο μερικὴν οὐσίαν καλέσωμεν. εἰ δὲ τὸν πάντα
λόγον ἐπιδέχεται ὃ καλοῦσιν αὐτοὶ μέρος, ὅλον ἂν εἴη καὶ οὐ μέρος.
οὐ γὰρ ὡς ἐπὶ τῆς ὅλου τομῆς εἰς δύο ἡμικύκλια, ἡ διαφορὰ
ἐλλείμματα,

ἐλλείμματα, ἀδύνατον ἐστὶ νοηθῆναι τὴν τομὴν τῆς οὐσίας. οὐδὲ ὡς
ἐπὶ τῆς σφαίρας, εἰς τεταρτημόρια, καὶ ἡμισφαίρια. τί γὰρ ποιοῦσι
τεμνομένη οὐσία; μέρη τυχὸν οὐσίας. ἀλλ' εἴρηται, τὰ μέρη τῶν οὐσιῶν
οὐσίας εἶναι. οὐκοῦν ἄτμητος ἐστὶ καὶ ἀμερὴς οὐσία. ὡς γὰρ ἀδύνατον
διαιρεθῆναι τὴν σφαῖραν ἢ τὸν κύκλον, καὶ ποιῆσαι πάλιν σφαίρας ἢ
κύκλους, οὕτως ἀδύνατον, καὶ ἀνεπιχώρητον τὴν οὐσίαν τμηθεῖσαν με-
ρικὰς ὑποστῆσαι οὐσίας. οὐκοῦν μὴ καμνέτω τις μάτην, διακενοῖς χρώ-
μενος λόγοις, καὶ ἐγχειρῶν δεῖξαι τὸ μηδαμῶς δεικνύμενον. ὅτι τῶν
ἰδικῶν, καὶ οὐ τῶν γενικῶν οὐσιῶν ἡ ἐνανθρώπησις γέγονεν. ὅπερ θαυ-
μάζω, πῶς οὐκ ἐγκαλύπτονται λέγοντες. ἔστι γὰρ ἀνερμήνευτον, γρίφων
οὐκ ἔλαττον δυσλυπτόν. οὐσίας γὰρ τὸ εἶναι σημαινούσης, καὶ πάντων τοῦ
εἶναι ὁμοίως μετεχόντων, τί τῶν ὄντων ἧττον ἐστὶ κατὰ τὸν τοῦ εἶναι λόγον,
ἣν ἐκεῖνοι μερικὴ λέγοιτο οὐσία, καὶ ἰδική, τῆς οὐσίας γενικόν τι δηλούσης,
οὐ γὰρ ἰδικόν. καὶ γένος μὲν γενικώτατον ἀπεικόναμεν, καὶ εἶδος ἰδικώ-
τατον. γένος δὲ ἰδικώτατον νῦν πρώτως μανθάνομεν. εἰ γὰρ καὶ λέγον-
ται τινὰ τῶν εἰδῶν γένη, καθὰ καὶ τὰ ἔμπαλιν λεγόμενα τῶν γενῶν
εἴδη, ἐπειδὴ εἰδῶν ὄντα γένη, ἀλλ' οὖν ταῦτα πάντα κατὰ πλειόνων
κατηγορεῖται. ὅπερ κοινότης μᾶλλον ἐστὶν, ἢ ἰδικότητες. οὐκοῦν οὐκ
ἐστὶ τὸ κοινὸν ἰδικόν, εἰ καὶ ἀντιστρέφει. πάντως. ἢ γὰρ μᾶλλον σχεδὸν
ἄτοπον. τίς δὲ τοσαύτην ἀνοίαν νοσεῖ, ὥστε τὸν τοῦ εἶναι λόγον, εἰς
τὸν πῶς εἶναι, καὶ οἷον εἶναι καὶ τὰ λοιπὰ, ἐναλλὰξ νοῆσαι. ἄπειρος ἐστιν,
οὐσία τε καὶ ὑπόστασις. οὐ γὰρ ἰδικὴ φύσις ἡ οὐσία. φύσεων οὖν ἢ οὐσιῶν
ἕνωσιν λέγοντες αὐτὰς τὰς οὐσίας ἐν τῇ ἑνώσει θεωροῦμεν. τὴν μὲν κατὰ
μετάστασιν, ἢ κρᾶσιν, ἢ φυρμὸν, ἢ σύγχυσιν γεγενῆσθαι τὴν ἕνωσιν, ἀλλὰ
κατὰ φυσικὴν συνάφειαν. τὰς δὲ φύσεις ταύτας ἤτοι οὐσίας, ἀλλ' ἑ-
τέρας ἀλλήλων εἶναι δοξάζομεν. οὐ γὰρ κατὰ σχέσιν ἢ παρὰ θέσιν,
ἢ προσωποποιΐαν, ἢ ἀξίαν, ἢ τινὰ τρόπον ἕτερον, ὃν ἐπινοοῦσιν οἱ
δύο πρόσωπα λέγοντες, φαμὲν εἶναι τὴν τοῦ σωτῆρος ἐνανθρώπησιν.
ἀλλὰ τῶν οὐσιῶν αὐτοῦ τὴν καθ' ὑπόστασιν συνέλευσιν θεωροῦντες,
ἕνα καὶ τὸν αὐτὸν προσκυνοῦμεν Χριστόν. θεὸν πρὸ τῆς σαρκώσεως ὄντα
θεὸν μετὰ τὴν σάρκωσιν μεμενηκότα. συναφθέντα τῷ ἑτεροουσίῳ,
διὰ τὸ σῶμα τὸ ὁμοούσιον. ὁμοούσιος γὰρ γέγονε τοῖς ἑτεροουσίοις,
καθ' ὃν οἶδε λόγον χωρήσας πρὸς γένεσιν ἀνθρωπίνην, ὁ πρὸ αἰώνων

ἐκ τοῦ πατρὸς ἀμεσιτεύτως γεγεννημένος. ὅθεν αὐτοῦ τὰς δύο γεννήσεις εἶναι
πιστεύομεν. τὸν αὐτὸν γὰρ διὰ τῶν δύο προελθόντα μεμαθήκαμεν. οὐχ ὁμοί-
ως, ἀλλ' ἑτέρως. ἄλλως γὰρ ἐκ τοῦ πατρὸς ἐτέχθη, καὶ ἄλλως ἐκ τῆς μητρός.
πλὴν ὁ αὐτός ἐστιν, εἰ καὶ μὴ κατὰ τὸ αὐτό. τὸ γὰρ διάφορον τῶν
συναφθεισῶν οὐσιῶν, διαφόρους καὶ τοὺς τόκους πεποίηκεν. καὶ ἑκάτερος
ὑπὲρ ἔννοιαν, εἰ καὶ ἡ πρὸς ἑαυτοὺς σύγκρισις, δίδωσι τῷ ἑνὶ τὰ πρεσ-
βεῖα. τοῦ γὰρ πρὸ πάντων αἰώνων καὶ [illegible] τῶν αἰώνων, ὁπωσοῦν
περιδράξασθαι, κἂν μετρίως ἀδύνατον. μηδεὶς δὲ τῶν ἔξωθεν ἐπι-
φυέσθω τοῖς εἰρημένοις, καὶ κατὰ τὸ ἠθισμένον αὐτοῖς διασπαράτ-
τέτω τοὺς λόγους, οἷόν τις σῦς, διαυγεῖς τινας καὶ καθαροὺς μαργα-
ρίτας καταπατῶν, ἀνίπτοις ποσίν. ἀγνοοῦντες γὰρ περὶ ὧν κα-
τηχοῦνται λογίων τὴν ἀσφάλειαν, ἐφάλλονται θρασέως, κατὰ τοῦ
λόγου τῆς ἀληθείας. φάσκοντες τὴν ἁγίαν τριάδα σαρκὶ συνδεθῆναι
δοξάζειν τὸν ὁπωσοῦν λέγοντα μίαν θεότητα τῆς οὐσίας εἶναι. καὶ ταύ-
την τῇ πρὸς ἡμᾶς προσπλακεῖναι ὁμολογοῦντα φύσει. καὶ διικνοῦντες
τὸ ἀστάθμητον τῆς διανοίας. καὶ τὸ δοκεῖν φεύγοντες τὸ ἄτοπον ὅπερ
συνήγαγον τοῖς εὐσεβέσι, φασὶν ἰδιάζουσαν φύσιν ἔχειν τὸν λόγον, ὁμο-
φυᾶ τῷ πατρί. ναὶ μήν, καὶ τῷ ἁγίῳ πνεύματι. ἣν τῇ ἡμῶν συνέπλασε φι-
λανθρώπως διὰ τῆς ἐνανθρωπήσεως. ἐγὼ θαυμάζων τὸ τοῦ λόγου
ἀλλόκοτον, καὶ λέγειν πρὸς αὐτὸν βουλόμενος τὰ εἰκότα καθ' ἅ μοι δυ-
νατόν ἐστιν. εἰ μὲν ἐνδέχεται τὸν ἐνανθρωπήσαντα θεόν, ἰδιάζουσαν
οὐσίαν ἔχειν, ἢ οὔ, νῦν οὐκ ἐλέγχω. δείκνυμι δὲ τὸν ταῦτα λέγοντα,
μὴ δύνασθαι δοξάζειν ὁμοούσιον υἱὸν τῷ πατρί. πᾶν γὰρ ὃ μιᾶς οὐσίας
ἐστί, τὸν αὐτὸν ἐπιδέχεται λόγον. καὶ πᾶν ὃ τὸν αὐτὸν ἐπιδέχεται
λόγον, μιᾶς καὶ τῆς αὐτῆς ~~εἶναι~~ οὐσίας ἐστί. καὶ ἔμπαλιν. ὃ τῆς αὐτῆς οὐσίας
οὐκ ἔστιν, οὐδὲ τὸν αὐτὸν ἐπιδέχεται λόγον. καὶ ὃ τὸν αὐτὸν οὐκ ἐπι-
δέχεται λόγον, τῆς αὐτῆς εἶναι οὐσίας οὐ δύναται. ἑλέσθωσαν τοίνυν
ὅπερ βούλονται. καὶ πάντοθεν αὐτοῖς συναντήσεται τὸ ἄτοπον. εἰ
μὲν οὖν τὸν αὐτὸν ἐπιδέχεται τῆς οὐσίας λόγον ὁ υἱὸς τῷ πατρί,
μία οὐσία ἐστὶ πατρός, καὶ υἱοῦ. καὶ κοινὸς αὐτοῖς ἀποδοθήσεται ὅρος.
καὶ πῶς τὸ κοινῶς ἀποδιδόμενον ἔσται ἰδικόν. εἰ δέ, οὐ τὸν αὐτὸν ὅρον
τε καὶ λόγον ἐπιδέχεται, μία οὐσία οὐκ ἔσται. ὧν δὲ μία οὐκ ἔστιν
οὐσία, ὁμοουσιότης οὐκ ἔστιν. ὥσπερ γὰρ τὰ τῆς αὐτῆς οὐσίας ὄντα

ὁμοούσια

ὁμοούσιά ἐστιν, οὕτω τὰ τῆς αὐτῆς οὐσίας οὐκ ὄντα, οὐκ ἔστιν ὁμοούσια. πῶς οὖν φασὶ τὸν υἱὸν ὁμοούσιον τῷ πατρί, ἰδικὴν οὐσίαν ἀπονέμοντες αὐτῷ· ἄλλως γὰρ ἰδικὴ εἶναι οὐ δύναται, κοινοποιουμένη πρὸς ἕτερον. τί τοίνυν ἔδοξεν εἶναι ταύτην τὴν ἰδικὴν οὐσίαν, εἰ μὲν τὴν υἱότητα, πρότερον οὐκ ἔστιν οὐσία ἡ υἱότης. ἔπειτα κἂν τοῦτο δοθῇ αὐτοῖς κατὰ συγχώρησιν, πάλιν αὐτοῖς τὸ ἑτεροούσιον συναχθήσεται· ὡς γὰρ οὐκ ἔστιν ὁ αὐτὸς λόγος πατρότητος, καὶ υἱότητος, οὕτως οὐκ ἔσται ὁ υἱὸς τῷ πατρὶ κατ' αὐτοὺς, μιᾶς καὶ τῆς αὐτῆς οὐσίας· τὰ δὲ τῆς αὐτῆς οὐσίας μὴ ὄντα, ὅτι οὐκ ἔστιν ὁμοούσια, οὐδεὶς ἀντερεῖ λόγος· παυσάσθω τοίνυν ἡ περιττολογία τοῦ λέγοντος κοινὴν, καὶ ἰδικὴν οὐσίαν. ἐλέχθη μὲν γὰρ διὰ πλειόνων, ἰδικὴν μὴ εἶναι οὐσίαν. ὁ γὰρ ὀνομάζων τινὸς οὐσίαν, κοινότητα σημαίνει πάντως· περιττὸν οὖν τὸ ἐπάγειν τῇ οὐσίᾳ τὸ κοινόν. ὅμοιον γάρ ἐστι τῷ λέγειν, κοινὴν κοινότητα· περιττότερον δὲ μάλιστα τὸ λέγειν ἰδικὴν οὐσίαν· καὶ οὐδὲν διάφορον τοῦ λέγειν, κοινὴν ἰδιότητα. διὸ κυριολογοῦντες οἱ τῆς ἐκκλησίας διδάσκαλοι, τὸ μὲν κοινὸν, οὐσίαν ἐκάλεσαν· τὸ δὲ ἰδικὸν, ὑπόστασιν. ἄνθρωπος γὰρ τέλειον ἐστι τὸ κοινόν· ὁ δέ τις ἄνθρωπος, τὸ ἰδικόν ἐστιν. ὥστε, τὸ μὲν ἐστιν οὐσία· τὸ δέ, ὑπόστασις. οὐδὲ γὰρ ὁ τὶς ἄνθρωπος, οὐκ ἄνθρωπος, ἀλλ' ἐνούσιος μὲν, οὐ κατ' οὐσίαν δὲ ἰδικήν, καὶ τῆς κοινότητος κεχωρισμένην· ἀλλὰ κατὰ τὴν αὐτὴν καθ' ἣν πάντες ὑπὸ τὸ αὐτὸ εἶδος οὐσιοῦνται. τὸν αὐτὸν γὰρ τοῖς λοιποῖς, ὁ καθ' ἕκαστον ἐπιδέχεται λόγον· ἄνθρωπος γὰρ καὶ ὁ κοινὸς, καὶ ὁ τὶς. καὶ οὐδεὶς οὐδενὸς μᾶλλον ἢ ἧττον ἐστιν ἄνθρωπος. καὶ ἡ υἱότης οὖν, σχέσις μὲν ἐστὶ φυσική, πρὸς τὸν ἐξ οὗ πέφυκε πατέρα ὁ υἱός. ὁ δὲ υἱὸς, τῆς αὐτῆς ὢν τῷ φύσαντι θεότητος (ταύτην γὰρ φαμὲν τὴν οὐσίαν, ἰδικὸν χαρακτῆρα τὴν υἱότητα ἔχει· ταύτῃ λέγεται χαρακτὴρ ὑπάρχειν τῆς πατρικῆς φύσεως, ἐκεῖνο γάρ ἐστι τὴν φύσιν, ὅπερ ὁ πατήρ ἐστιν, ἀλλ' ὑποστάσεως, ὡς συνεισάγων ἑαυτῷ τὸν πατέρα, ὀνομαζόμενος υἱός, κατὰ τὴν πρός τι σχέσιν· τὴν ὅπερ ἐστὶν ἑτέρου τινὸς εἶναι λέγεται. οἷον, ὁ υἱὸς πατρός ἐστιν υἱός. καὶ ὁ πατὴρ υἱοῦ πατήρ ἐστι. διατί δὲ λέγεται μόνος ὁ υἱὸς χαρακτὴρ τῆς πατρικῆς ὑποστάσεως, καὶ οὐχ ὁ πατὴρ τῆς τοῦ υἱοῦ. ἐπειδὴ δι' αὐτοῦ *ἔσχομεν τὴν προσαγωγὴν πρὸς (ἔσχομεν) τὸν πατέρα, καὶ αὐτὸς ἡμῶν διδάσκαλος, καὶ αἴτιος τῆς τοῦ πατρὸς γνώσεως, καθά που καὶ αὐτὸς πρὸς αὐτὸν ἔφη· ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις. ἐφανέρωσε δὲ οὐχ ὡς θεοῦ· τοῦτο γὰρ ἔγνωσαν καὶ πάλαι πόρρωθεν, ἀλλ' ὡς πατρός. αὐτὸς γὰρ τὴν γνῶσιν τοῦ πατρὸς ἀποκα-

λήψει. τοσαύταις δὲ παραφράσεσιν ἐχρησάμην, δεῖξαι θέλων ὅτι
μέρος οὐσίας οὐκ ἔστιν· ἵνα ταύτην εἴπῃ τις ἐνανθρωπῆσαι, διὰ τὸ πά-
λιν μέρος οὐσίας ἑτέρας ἐπιλαβέσθαι· καὶ πάλιν διορθώσασθαι βουλόμενος
τὴν ἐσφαλμένην ὑπόληψιν τῶν οἰομένων, ὅτι λέγειν οὐσίαν ἀναγκαῖον
συμπλακῆναι σαρκί, τὸν πατέρα καὶ τὸ πνεῦμα τὸ ἅγιον, κατάγει πρὸς τὴν
διὰ τῆς σαρκὸς οἰκονομίαν, ὅπερ οὐκ ἀναγκαῖον δεδείχαμεν, τοῖς οὐκ
ἐριστικῶς, ἀλλὰ φιλοθέως δεχομένοις, τὰ εὐσεβῆ καὶ θεῖα τῆς ἀλη-
θοῦς ἡμῶν πίστεως δόγματα. ὁ γὰρ υἱός, οὐκ ἔστιν οὐσία, ἀλλ' ὑπόστασις
ἐνούσιος. εἰ δὲ καὶ οὐσία, δεδόσθω γὰρ κατὰ συγχώρησιν, ἀλλ' οὐκ
ἰδικὴ οὐσία· πᾶσαν γὰρ ἐξ ὁλοκλήρου ἔχει τὴν οὐσίαν ὁ μετέχων αὐ-
τῆς. οὐκοῦν ἀληθές ἐστι τὸ λεγόμενον. ὅτι περ ἐκ δύο τελείων οὐσιῶν,
μία γέγονεν ὑπόστασις τοῦ Χριστοῦ θεοῦ τυγχάνοντος ἅμα καὶ ἀνθρώπου. οὐκ ἂν
δὲ τῇ τοῦ πατρὸς προσηγορίᾳ ἐκαλεῖτο, εἰ μέρος ἦν καὶ οὐχ ὅλον. καὶ
θεὸς μὲν ὅτι λέγεται, παρ' αὐτὰ δείξομεν. ἑξῆς δέ, ὅτι καὶ ἄνθρωπος.
εἶτα πάλιν ὅτι σύνθετος ἐκ διαφόρων. ἔφη τοίνυν ἱερεμίας αὐτὸν τοῦ-
τον ἐπιδεικνύς. οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν.
ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης· καὶ ἔδωκεν αὐτὴν ἰακὼβ τῷ παιδὶ
αὐτοῦ, καὶ ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ ταῦτα, ἐπὶ τῆς γῆς
ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. ὅτι δὲ περὶ Χριστοῦ τὸ διὰ τοῦ προφή-
του προαναφωνηθὲν εἴρηται, δείκνυσι σαφῶς, ἡ μετὰ ἀνθρώπων συνανα-
στροφή, ὅτε τὴν διὰ σαρκὸς οἰκονομίαν κατεδέξατο, θεὸς ὤν. περὶ
οὗ καὶ δαβὶδ τῷ ἁγίῳ κινῶν τὸ ὄργανον, ἔψαλλε. θεὸς θεῶν κύριος ἐλάλησε,
καὶ ἐκάλεσε τὴν γῆν. καί, ὁ θεὸς ἐμφανῶς ἥξει. καὶ μή πη νομίσῃς
περὶ ἑτέρου τινός, ἢ αὐτοῦ τὴν προφητείαν εἶναι. ἡ γὰρ ἐπαγωγή,
δείκνυσιν αὐτὸν εἶναι, τὸν τὴν ἐξουσίαν λαβόντα τῆς κρίσεως
παρὰ τοῦ πατρός. ὅτι υἱὸς ἀνθρώπου ἐστίν. ἔφη γὰρ ἑξῆς, πῦρ ἐνώπιον
αὐτοῦ καυθήσεται. καὶ κύκλῳ αὐτοῦ, καταιγὶς σφοδρά. προσκα-
λέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ.
ὅτι δὲ ὁ πατὴρ οὐ κρίνει οὐδένα, αὐτοῦ λέγοντος ἀκηκόαμεν τοῦ κυρίου. οὐκοῦν
ὁ θεὸς διακρίνων τὸν λαὸν αὐτοῦ, Χριστός ἐστι κατὰ τὴν ἐπίνοιαν τῆς
ἀνθρωποτόντες. τῆς αὐτῆς ἐστι διανοίας, καὶ τό, ὁ θεὸς ἔστη ἐν συνα-
γωγῇ θεῶν. ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. βοᾷ δὲ καὶ ὠσηὲ ἐκ προ-
σώπου αὐτοῦ προφητεύων καὶ λέγων, θεὸς εἰμὶ καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος.

καὶ ἡσαΐας

καὶ Ἡσαΐας δὲ πρὸς αὐτὸν ἀποτεινόμενος, φησίν· ἐν σοὶ ὁ θεός ἐστι, καὶ
οὐκ ἔστι θεὸς πλὴν σοῦ· σὺ γὰρ εἶ θεός, καὶ οὐκ ᾔδειμεν· θεὸς τοῦ Ἰσραὴλ σωτήρ.
αἰσχυνθήσονται, καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ. ὅτι
δὲ τῷ Χριστῷ ἀντέκειντο οἱ Ἰουδαῖοι, καὶ νομοδιδάσκαλοι διὰ τὴν τῆς
σαρκὸς περιβολήν, εὔδηλον· ἀγνοούμενος γὰρ ὅστις ἐστὶν ἐν ἀλλοτρίᾳ
μορφῇ θεωρούμενος, ἤκουε παρὰ τῶν ἀγνοούντων· διατί σὺ ἄνθρωπος ὤν,
ποιεῖς σεαυτὸν θεόν; ἤτοι τοιγαροῦν, αἰσχυνθήσονταί ποτε μανθάνοντες
τὸ ἀληθές, ἐντρεπόμενοι ἐπὶ τῇ πρώην ἀγνοίᾳ. καὶ ταῦτα νῦν ἐκ
πολλῶν παρεθήκαμεν μέτρια, τῇ θεότητι τοῦ Χριστοῦ προσμαρτυροῦντα
καὶ δεικνύοντα, θεὸν εἶναι αὐτὸν καὶ μετὰ σαρκός. ὅτι δὲ καὶ ἄνθρωπος
ἐστι, πάλιν ἐκ τῶν αὐτῶν λογίων τοῦ πνεύματος ἀναλεγόμενοι, κατὰ τὸ
ἡμῖν ἐφικτὸν παραστήσομεν· ἀρκείτω τἄνω Ἡσαΐας, μετὰ τὸ παιδίον
αὐτὸν καλέσαι. καὶ ῥάβδον ἐκ τῆς ῥίζης Ἰεσσαὶ φυομένην, καὶ Ἐμ-
μανουήλ. καὶ ἄρσεν ἐκ προφήτιδος τικτόμενον, καὶ ὀνομαζόμενον·
ταχέως σκύλευσον· ὀξέως προνόμευσον. τοῦτον αὐτὸν ἄνθρωπον ὀνομάζων,
διὰ τούτων. καὶ εἴδομεν αὐτόν φησι, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος.
ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον· ἐκλεῖπον παρὰ πάντας ἀνθρώπους· ἄνθρω-
πος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν. καὶ πάλιν Δαβὶδ ὁ εἰδὼς
μελοποιός, τὴν θείαν ἀνακρουόμενος λύραν φησί· τί ἐστιν ἄνθρωπος ὅτι
μιμνήσκῃ αὐτοῦ. ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν. ἠλάττωσας αὐ-
τόν, βραχύ τι παρ' ἀγγέλους. ἠλαττώθη γὰρ ὥς φησι Παῦλος
παρὰ τοὺς ἀγγέλους, γενόμενος ἄνθρωπος διὰ τὸ πάθημα τοῦ θανάτου.
διὸ δόξῃ καὶ τιμῇ ἐστεφανώθη, λαβὼν πάντα τὰ ἔθνη κληρονομίαν,
ὑπὲρ ὧν ὑπέστη τὸν θάνατον· αὕτη γὰρ ἡ δόξα ἣν εἶχε πρὸ τοῦ τὸν
κόσμον εἶναι παρὰ τῷ πατρί. διὰ ταύτην οἶδε φέρειν τὴν μαλακίαν,
ὡς τῷ παντὶ πρόξενον ὑγιείας οὖσαν. οὗτος οὖν ὁ καὶ ἔδοξε μὴ ἔχειν
εἶδος ἢ κάλλος, ἀλλ' ὡραῖος ἦν κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.
υἱὸς γὰρ ἦν, καὶ υἱὸς ἀνθρώπου κεκραταιωμένος. καὶ ἀνὴρ δεξιᾶς ὑπὸ τοῦ
πατρὸς καλούμενος. γενηθήτω γάρ φησιν ἡ χείρ σου, ἐπ' ἄνδρα δεξι-
ᾶς σου. καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ. λέγεται ἀνήρ,
ἀνατολή, κατὰ τὸ διὰ Ζαχαρίου προαναφωνηθέν· ἰδοὺ ἀνήρ, ἀνα-
τολὴ ὄνομα αὐτῷ. τὸ γὰρ τεχθὲν ἐκ τῆς προφήτιδος ἄρσεν

ὡς Ἠσαΐας εὐαγγελίζεται, ἔνθα κεκλήκασιν οἱ λοιποί. δέ-
δείχθαι τοίνυν, ὅτι καὶ ἄνθρωπος παρὰ τοῖς προφήταις καλεῖται, πρὸς
τῷ, καὶ θεὸς εἶναι. λειπόμενον ἐστὶ παραστῆσαι ἐκ τῶν αὐτῶν, πῶς
ἅμα καὶ ἄνθρωπος ἐστὶν ὁ αὐτός, ἵνα τὰ παρ' ἡμῶν λεγόμενα τὸ κῦρος
ἔχωσιν ἔχοντα γραφικαῖς μαρτυρίαις πιστούμενα. οὐκοῦν ἐπισκέψαι,
εἰ μὴ τὸ σύνθετον τοῦτο δηλοῖ ἀντιλαμβανόμενος φησίν, ἐν μδ' ψαλ-
μῷ, ἐπιγραφὴν ἔχοντι, ὑπὲρ τῶν ἀλλοιωθησομένων εἰς σύνεσιν,
ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ. ἀγαπητὸς δὲ ἐστὶ μόνος ὁ υἱός, ὡς μαρ-
τυρεῖ τὸ εὐαγγέλιον. ἐν ᾧ φωνὴ τοῦ πατρὸς φέρεται, λέγουσα πρὸς τὸν
Χριστόν· σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός. οὗτος γὰρ ἠλλοιώθη γενόμενος ~~[illegible]~~
ἄνθρωπος, οὐ κατὰ μεταβολὴν τῆς ἀτρέπτου φύσεως, ἀλλὰ κατὰ πρόσ-
ληψιν τῆς ἑτέρας. αὕτη γὰρ ἐστὶν ἡ ἀλλοίωσις, τῆς δεξιᾶς τοῦ
ὑψίστου. τῆς γενομένης ὅπερ οὐκ ἦν. ἢ καὶ ὑπὲρ τῶν ἀλλοιωθησο-
μένων δι' αὐτοῦ ἐθνῶν. ἐν τούτῳ τοίνυν ὑπὲρ τοῦ ἀγαπητοῦ, καὶ τῶν
ἀλλοιωθησομένων ψαλμῷ φησὶν ὁ μελοποιός, ὡραῖος κάλλει παρὰ
τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἐξεχύθη χάρις ἐν χείλεσί σου. διὰ τοῦτο ἔχρισέ
σε ὁ θεὸς ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. ὅπερ
σαφέστερον ἐποίησεν ἕτερος τῶν ἑρμηνευτῶν. ἔχρισέ σε εἰπὼν
θεὲ ὁ θεός σου. χρίεται δὲ ὁ θεὸς ὑπὸ θεοῦ, οὐχ ᾗ υἱὸς ἀνθρώπου. εἰπὼν γὰρ
υἱὸν ἀνθρώπου, παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὡραῖον τῷ κάλλει. ἵνα
μή ποτέ τινες ἐξ ἀμαθίας ὁρμώμενοι, μόνον αὐτὸν ἄνθρωπον ὑπολάβω-
σιν εἶναι παρὰ τοὺς λοιποὺς ἀνθρώπους, χάριτι θείᾳ κεκοσμημένον, ἑξῆς
αὐτὸν ὠνόμασε θεὸν λέγων. ἔχρισέ σε θεὲ ὁ θεός σου, ἔλαιον ἀγαλλι-
άσεως παρὰ τοὺς μετόχους σου. τούτοις ὁμοίως μετὰ τὴν ἐκ νεκρῶν
ἀνάστασιν, πρὸς Μαρίαν διαλεγόμενος ἔφησεν ὁ Χριστός. ἀναβαίνω
πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν. καὶ θεόν μου, καὶ θεὸν ὑμῶν. οὐδεὶς
δὲ τὴν φρένα τοσοῦτον ἐστὶ νήπιος, ὡς ὑπολαβεῖν τὸν ὄντως θεόν,
κυρίως λέγεσθαι ἔχειν θεόν. οὔτε μὴν ἄνθρωπον ψιλὸν κυρίως, πατέρα
καλεῖν ἴδιον τὸν θεόν. ἀλλ' ἐπεὶ τοῦτο κἀκεῖνο ἐστὶν ἐν ταὐτῷ,
θεὸς ἅμα καὶ ἄνθρωπος ὤν, ἀμφότερα κυρίως θεωρεῖται. υἱὸς γὰρ ἐστὶν
ἅμα καὶ δοῦλος. διὸ κυρίως καλεῖ τὸν θεόν, ἅμα θεὸν καὶ πατέρα. πατέρα

μέν, ὡς

μήν, ὡς παρὰ θεοῦ· θεὸν δέ, ὡς θεὸν ἄνθρωπον. οὐδὲ γὰρ χωρίσαι τις δύ-
ναται τὰ ἀχώριστα· μέχρις ἂν Χριστὸς ἔστιν ὁ ἐκ τούτων συγκείμενος.
περὶ γοῦν τοὺς ἀπατωμένους, διὰ τὸ περίβλημα τῆς σαρκός, καὶ
οἰομένους προφήτην ἅγιον εἶναι αὐτὸν μόνον ἄνθρωπον ὁρώμενον, φησὶ
διὰ Ζαχαρίου τοῦ προφήτου· οὐκ εἰμὶ προφήτης ἐγώ· διότι ἄνθρωπος
ἐγέννησέ με, ἐκ νεότητός μου· τουτέστι, μὴ οἴεσθέ με διὰ τὴν ἐξ ἀνθρώπου
γέννησιν προφήτην εἶναι· τῆς γὰρ ἐμῆς νεότητος, ἔστιν αὕτη γένε-
σις, οὐχὶ τῆς ἀϊδίου μου ὑπάρξεως· καὶ δι' ἄλλου προφήτου σαφέσ-
τερον εἶπε· θεός εἰμι, καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος. οὐκ ἀναιρῶν τὸ εἶναι
ἑαυτὸν ἄνθρωπον· ἀλλ' ἐκ τοῦ ἡγεμονικωτέρου, καὶ ἀπιστουμένου διὰ
τὸ μὴ ὁρᾶσθαι σαρκὸς ὀφθαλμοῖς ἑαυτὸν ὀνομάζων· ἦν γὰρ ἀμ-
φότερα καὶ ἔστιν. ἐξ οὗ τὸ σωματικὸν ἑαυτοῦ καθηγίασεν ὄργανον,
ὄχημα τῆς θείας ὑπάρχον φύσεως· δι' οὗ τὴν σωτηρίαν ἐμηχα-
νήσατο τοῖς δεομένοις· ταύτης γὰρ ἕνεκα, μετὰ τὰς νομικὰς
θυσίας, μηδὲν ὠφελῆσαι δυνηθείσας, ἔφη· ἰδοὺ ἥκω σῶμα κα-
τηρτισμένον ἔχων, δι' οὗ τὴν ἁμαρτίαν αἴρω τοῦ κόσμου· τοῦτο
γὰρ θέλημα πατρός, τὸ πάντας ἀνθρώπους σωθῆναι. ἥκω τοίνυν ἔφη,
τοῦ ποιῆσαι τὸ θέλημά σου· δεδειγμένου δὲ τοῖς μὴ λίαν οὖσιν ἀνη-
κόοις καὶ ἀπειθέσιν, ὅτιπερ θεός ἐστιν ὁ Χριστός· καὶ ὅτι ἄνθρωπος, καὶ ὅτι θεὸς
ἅμα καὶ ἄνθρωπος ἐστὶ μαρτυρούμενος ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν,
εἰ καὶ περιττόν, τί ποιοῦμεν τὴν καινὴν διαθήκην, μάρτυρα* τοῦτον τούτων
παραλαμβάνοντες; πλὴν ὅμως ἐκ περιουσίας προχειριῶ τὰ νέα
τοῖς παλαιοῖς, ταῦτα ἐκείνοις φθεγγόμενα· καθάπερ ὑφ' ἑνὸς
καὶ τοῦ αὐτοῦ πνεύματος γεγραμμένα. τί δὲ τρανότερον ἐν τούτοις, τοῦ
Ἐμμανουήλ· ὁ μεθερμηνευόμενος, ὡς φησὶν ὁ εὐαγγελιστής, μεθ'
ἡμῶν ὁ θεός ἐστιν. οὐκ ἄλλως λεγόμενος μεθ' ἡμῶν ὁ θεός, εἰ μὴ θεὸς
ἦν ἅμα τε καὶ ἄνθρωπος, ἐξ ἡμῶν τε καὶ ἐκ θεοῦ· τοιαύτη γὰρ τοῦ σω-
τῆρος ἡ σύνθεσις. ἀμέλει τοῦ ἀρχιερέως ὅρκον αὐτῷ προτείναντες
ἐν τῷ κρίνεσθαι, καὶ συκοφαντεῖσθαι, καὶ μηδὲν πρὸς τὰς ψευδεῖς
κατηγορίας ἀποκρίνασθαι, εἰ αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, εὐθυβόλως
ἀπεκρίνατο, σὺ εἶπας· οὐκ ἂν συνθέμενος τῇ πεύσει τοῦ κακοήθους
αὐτῷ τὸν ὅρκον ἐπαγαγόντες, εἰ μὴ σαφῶς ἐγίνωσκεν ἑαυτὸν
θεὸν ὄντα· μετὰ τοῦ εἶναι αὐτὸν καὶ ἄνθρωπον. εἰ γὰρ μόνον δίκαιος

ἦν αὐτός, ὡς δοξάζουσί τινες περὶ αὐτοῦ, πῶς συνετίθετο θεὸς εἶναι
περὶ τούτου ἐξεταζόμενος; οὐκέτι γὰρ σώζεται κατ' αὐτοὺς ὁ τοῦ δικαίου
λόγος· ὁ γὰρ θεοποιῶν ἑαυτῷ δόξαν περιάπτων μὴ ὢν θεός, οὐ μόνον οὐ
δίκαιός ἐστιν, ἀλλὰ καὶ λίαν βλάσφημος. ἀμέλει καὶ ὡς βλάσφημον
κατεψηφίσαντο αὐτοῦ οἱ μωροὶ καὶ τυφλοὶ θάνατον. μὴ συνιέντες
τὸ παρ' αὐτοῦ σοφῶς καὶ ἀληθῶς εἰρημένον. ἔχουσιν ἀνάγκη τοῖν δυοῖν
τὸ ἕτερον· ἢ θεὸν αὐτὸν ὁμολογεῖν, ἢ οὐδὲ δίκαιον ἄνθρωπον, ἑαυτὸν εἰρη-
κότα εἶναι θεόν. ὥσπερ ἡ τοῦ ἑνὸς ἀφαίρεσις, καὶ τοῦ ἑτέρου ἐστὶν ἀθέ-
τησις, οὕτως ἡ τοῦ ἑνὸς θέσις, τοῦ ἄλλου ἐστὶ συγκατάθεσις. καὶ τῷ ὁμο-
λογοῦντι δίκαιον αὐτὸν ἄνθρωπον εἶναι, πάντως ἕπεται θεὸν αὐτὸν ὁμο-
λογεῖν ἀναγκαίως, λέγοντα ἑαυτὸν εἶναι θεόν. τί γάρ ἐστι τὸ κω-
λῦον οὕτως ἔχειν; εἰ μὲν οὖν οὐ ποιεῖ καθάπερ ἔφη τὰ ἔργα τοῦ
πέμψαντος αὐτόν, οὐ πιστευτέον αὐτῷ εἶναι θεῷ. εἰ δὲ ποιεῖ, τοῖς
ἔργοις ἀνάγκη πιστεύειν. ταῦτα γὰρ δείκνυσι τὴν οὐσίαν κατὰ τὸ
λεγόμενον ἀξίωμα, ὧν ἡ ἐνέργεια ἡ αὐτή, μία καὶ ἡ οὐσία. ὡς καὶ ἀνά-
παλιν· ὧν μία ἡ οὐσία, ἡ αὐτὴ ἐστὶν ἐνέργεια. ὥστε φαίνεται
καὶ ἐν σαρκὶ κρυπτόμενος, ὁμοούσιος ὢν τῷ πατρί. ταῦτα ποιῶν ἐκεῖ-
νος καὶ λέγων· ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. καὶ
αὖθις· ἃ βλέπω τὸν πατέρα ποιοῦντα, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ.
τὰς οὖν ὡς περὶ θεοῦ ὀρθὰς ὑπολήψεις ἔχοντες αὐτοῦ πέρι, ὀψόμεθα
αὐτὸν καθώς ἐστιν οὐχ ὅσος ἐστίν. ἔστι δὲ θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας,
κατὰ τὸν θεῖον ἀπόστολον. ἀλλ' εἰ καὶ θεός ἐστιν ὥσπερ οὖν καὶ ἔστι, πλὴν
ὅμως, *ἐκ τοῦ ἑτέρου μέρους, γινώσκεται καλούμενος αὐτὸς ὑφ' ἑαυ- ἄνθρωπος ἐκ
τοῦ. ναὶ μὴν καὶ ὑπὸ τῶν ἑαυτοῦ φοιτητῶν. ἔφη γὰρ πρὸς τοὺς ἰουδαί-
ους· νῦν ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λέγω. ὅπερ
Παῦλος ἀκριβῶς μαθών, ἰσοδύναμον λέξιν, ἐν τοῖς ἰδίοις κατα-
λέλοιπε γράμμασιν, εἰπών, ἄνθρωπος Χριστὸς Ἰησοῦς· ὁ δοὺς ἑαυτὸν ὑπὲρ πάν-
των. οὕτω μὲν οὖν ἀφιλονείκως ζητῶν, τις οὐκ ἀποτεύξεται τῆς
ἀληθείας, ἐμφανίζεσθαι πεφυκυίας τοῖς αὐτὴν ποθοῦσιν. οἷς καὶ αὐτοὶ
ἐρῶντες, ὀλίγα ἐκ πολλῶν τῶν ἐν ταῖς θείαις γραφαῖς σπορά-
δην κείμενα, ὅσα νῦν ἐσχεδίασεν ἡμῖν ἡ μνήμη τεθείκαμεν.
δυνατὸν δὲ τοῖς ἔχουσι μετὰ χεῖρας τὰς βίβλους, πάντα τὰ περὶ

τούτου συναγαγεῖν

τούτου συναγαγεῖν, καὶ ἔχειν ἐκ τοῦ προχείρου, πρὸς ἔλεγχον ὁμοῦ καὶ ὠφέλειαν. ὅπερ ἐγὼ νῦν ποιῆσαι οὐκ ἠδυνήθην, ἐν ὑπερορίᾳ καθήμενος. πλὴν καὶ τῶν βραχέων, τὴν αὐτὴν τῶν πολλῶν ἐχόντων δύναμιν, οὐκ ἔσται κώλυμα τοῖς βουλομένοις τὴν δέουσαν πληροφορίαν λαβεῖν, ἡ τῶν τεθειμένων ὀλιγότης. τὸ γὰρ τοῦ ἑνὸς ἀξιόπιστον, ὡς παράδεκτον ποιεῖ τὸ παρ' αὐτοῦ λελεγμένον οὐδὲν ἧττον, ἢ ὑπὸ μυρίων τοιούτων ἐρρέθη. τὸ γὰρ αὐτὸ πάντα ἐστὶν ἐν πᾶσι. τί δὲ χρὴ λέγειν, ὅπου γε αὐτὸς ὁ τοῦ παντὸς χορηγὸς περὶ ἑαυτοῦ τὴν ἀλήθειαν μαρτυρεῖ σαφῶς, αὐτὸς* ἑαυτόν, καὶ τὸ ἐν αὐτῷ γινώσκων. αὐτὸς γὰρ ἐγίνωσκε φησὶν ὁ εὐαγγελιστής, τί ἦν ἐν τῷ ἀνθρώπῳ. τούτων οὖν ἀρκούντως εἰρημένων, ἐπὶ τὰ ἑξῆς ὁ λόγος προθυμεῖται τὰ περὶ τοῦ πάθους τοῦ σωτῆρος ἡμῶν ὡς δυνατὸν ἐξηγούμενος. αὐτοῦ

## Τοῦ αὐτοῦ, περὶ πάθους καὶ ἀπαθείας Χριστοῦ, λόγος λ'.

Δείξας ἑαυτὸν διὰ τῶν παρ' αὐτοῦ λεγομένων τε καὶ πραττομένων θεὸν ἀληθινὸν ὄντα καὶ τοῦ πατρὸς υἱόν, ὁ Χριστὸς ἔφη πρὸς τοὺς ἰδίους μαθητάς, μέλλων ἐπιβαίνειν Ἱεροσολύμων, ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα. καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἔθνεσιν, ὑπὸ τῶν ἀρχιερέων καὶ γραμματέων, πρὸς τὸ μαστιγωθῆναι, καὶ ἐμπαιχθῆναι, καὶ σταυρωθῆναι. ἔφη δὲ ταῦτα, ταῖς τῶν προφητῶν προαναφωνήσεσι λέγων ἀκόλουθα. προεμήνυσαν τε τὴν ἔξοδον, ἣν ἔμελλε ποιεῖσθαι ἐν Ἱερουσαλήμ. ὅθεν τῷ καιρῷ τῆς τῶν παρανόμων ἐπαναστάσεως, ὅτε μετὰ μαχαιρῶν καὶ ξύλων ἦλθον συλλαβεῖν τὸν Ἰησοῦν, ἡγουμένου τοῦ φάλαγγος αὐτῶν τοῦ Ἰούδα. ὦ καλὸν ἦν εἰ οὐκ ἐγεννήθη. καὶ θελήσαντος τοῦ Πέτρου κατὰ τὸ ἔθος ἀμῦναι τῷ διδασκάλῳ, μάχαιράν τε λαβόντος, καὶ τὸ ὠτίον ἀποκόψαντος Μάλχου τινὸς οἰκέτου ἀρχιερέως, αὐτὸς ὁ Χριστὸς ἐπιπλήττων, ἔφη τῷ Πέτρῳ, ἀπόστρεψον τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς. πάντες γὰρ οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται. ἢ οὐ δοκεῖς ὅτι δύναμαι παρακαλέσαι τὸν πατέρα, καὶ παραστήσει μοι ὧδε, πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν, ὅτι οὕτω δεῖ γενέσθαι. εἰ τοίνυν ἔδει γενέσθαι, ἀναγκαῖον ἦν πάντως γενέσθαι. ὃ δὲ ἀναγκαῖον γενέσθαι, ἀδύνατον μὴ γενέσθαι. τῆς οὖν θεοπνεύστου γραφῆς ἄνωθεν προαναφωνησάσης τὸν τοῦ Χριστοῦ θάνατον, καὶ τὰ πρὸ τοῦ θανάτου πάθη, καὶ τὰ μετὰ τὸν θάνατον αὐτοῦ συμβάντα, περὶ τὸ νεκρὸν

αὐτοῦ σῶμα, δι' οὗ τοῦτον εἰ συνέβη ταῦτα κηρυχθεὶς θεὸς ἀπαθής τε καὶ ἀθά-
νατον. ἄλλως γὰρ οὐκ ἂν εἴη θεός,* ἢ πρὸς τὴν ἀλήθειαν τῆς ἐνανθρω- δεῖ πρ.
πήσεως ἀποβλέποντας, ἐκεῖθεν τὰς ἀφορμὰς λαμβάνειν, τοῦ ὀρθῶς
καὶ δικαίως ἑκάτερον ὁμολογεῖν. τό, τε πάθος, καὶ τὴν ἀπάθειαν καὶ
τὴν μὲν αἰτίαν, δι' ἣν ἐπὶ τὸ πάθος ἐλήλυθεν ὁ ἀπαθὴς τοῦ θεοῦ λόγος,
ὡς οὐκ ἐνὸν ἄλλως σωθῆναι τὸν ἄνθρωπον, αὐτὸς οἶδε μόνος, καὶ οἷς ἐφα-
νέρωσε· πάντα γὰρ οἶδε τὰ τοῦ πατρός, ὥσπερ τὸ πνεῦμα ἐρευνᾷ τὰ βάθη
τοῦ θεοῦ. πλὴν ἔδει παθεῖν αὐτόν· καὶ οὐκ ἦν ἐνδεχόμενον μὴ γενέσθαι
τὸ πάθος, καθάπερ αὐτὸς διεβεβαιώσατο. βραδεῖς καὶ ἀνοήτους καλέσας
τοὺς ἀγνοοῦντας, ὅτι οὕτως ἔδει παθεῖν τὸν Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν
δόξαν αὐτοῦ. ἐπειδὴ γὰρ εἰσῆλθεν εἰς σωτηρίαν λαοῦ αὐτοῦ, κατα-
λιπὼν τὴν δόξαν, ἣν εἶχε πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ τῷ πατρί,
σωτηρία δὲ ἡ τελείωσις ἦν, ἔδει ταύτην διὰ παθημάτων γενέσθαι
λογιζομένην, τῷ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν, καθὰ Παῦλος διδάσκει
λέγων αὐτόν, ἀρχηγὸν εἶναι ζωῆς διὰ παθημάτων τελειούμενον· καὶ
δοκεῖ πως ἡ δόξα τοῦ μονογενοῦς ἧς ἔξω γέγονε δι' ἡμᾶς πρόσθε-
χο, διὰ τοῦ σταυροῦ ἀποκαθίστασθαι αὐτῷ, ἐν προσλήψει σαρκὸς γενο-
μένῳ. φησὶ γὰρ ὁ τῆς βροντῆς υἱὸς ἐν τῷ κατ' αὐτὸν εὐαγγελίῳ
διηγούμενος, τί ἦν τὸ ὕδωρ ὃ ἔφησεν ὁ σωτὴρ ῥεύσουσι ποταμηδόν,
ἐκ τῆς τοῦ πιστεύοντος κοιλίας. τοῦτο δὲ εἶπε διὰ τὸ πνεῦμα ὃ ἔμελλον
λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. οὔπω γὰρ ἦν πνεῦμα. ὅτι Ἰησοῦς οὔπω
ἐδοξάσθη· δόξαν λέγων τὸν διὰ τοῦ σταυροῦ θάνατον. ὅθεν αὐτὸς
ὁ Χριστὸς πρὸ μὲν τοῦ σταυροῦ εὐχόμενος, ἐδεῖτο τοῦ πατρὸς δοξασθῆναι
τῇ δόξῃ ᾗ εἶχε παρ' αὐτῷ, πρὸ τοῦ τὸν κόσμον εἶναι. μετὰ δὲ
τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῖς ἰδίοις φοιτηταῖς συγγενόμενος, ταύ-
την εἰληφέναι περὶ ἧς ἐδεῖτο διεβεβαιώσατο λέγων· ἐδόθη μοι
πᾶσα ἐξουσία, ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. ὡς δείκνυσθαι σαφῶς,
τῆς τοιαύτης δόξης αἴτιον εἶναι τὸν σταυρόν, καὶ τὸν δι' αὐτοῦ θά-
νατον. ἦν γὰρ θανάτῳ ὑπεύθυνον τὸ πᾶν ἡμῶν γένος. πάντες
γὰρ ἥμαρτον. κέντρον δὲ τοῦ θανάτου ἐστὶν ἡ ἁμαρτία, δι' ἧς
τρώσας ἡμᾶς ὁ θάνατος καταβέβληκε. καὶ ἄλλως οὐκ ἦν τῶν
δεσμῶν ἀπαλλαγῆναι τοὺς δόρατι ληφθέντας, ἢ διὰ θανάτου.

τὰ γὰρ λύτρα

τὰ γὰρ λύτρα ἐν τῇ αἱρέσει κεῖται τῶν κατεχόντων. οὐκ ἦν
οὖν ὁ δυνάμενος ὑπελθεῖν τὸ δεῖγμα, καὶ ἐξαγοράσαι τὸ γένος.
οὐκ ἦν οὐδεὶς τῶν τοῦ γένους ἐλεύθερος. μόγις δὲ τῆς ἰδίας ἐνοχῆς
ἐλευθεροῦται, τις ὑπὲρ ἑαυτοῦ ἀποθνήσκων, οὐ δυνάμενος συνελευθε-
ρῶσαι ἕνα γοῦν ἑαυτῷ. εἰ δὲ οὐδένα, τίς ἦν δυνατὸς ἀπαλλάξαι δου-
λείας. εἰ γὰρ καὶ ἀξιόχρεως ἦν πρὸς τὴν ἰδίαν ἐλευθερίαν ἕκαστος, ἀλλ'
οὖν οὐκ ἦν πρέπον ἅπαντας ἀποθανεῖν. οὐδὲ ὑπὸ τὴν τοῦ θανάτου ἐξουσίαν
διαμεῖναι. τίνος οὖν ἦν τὸ τοιοῦτον κατόρθωμα, δηλονότι ἀναμαρτή-
του τινός. τίς δὲ τῶν πάντων ἀναμάρτητος, ἢ μόνος ὁ θεός. ἐπειδὴ τοί-
νυν καὶ θεοῦ τὸ ἔργον ἦν, καὶ χωρὶς θανάτου, καὶ τῶν ἡγησαμένων τοῦ θα-
νάτου παθῶν, ἀδύνατον ἦν τελεσθῆναι. θεὸς δὲ παθῶν, καὶ θανάτου πάμ-
παν ἐστὶν ἀνεπίδεκτος, προσέλαβε φύσιν παθῶν, καὶ θανάτου δεκτικήν,
ὁμοούσιον ἡμῖν ὑπάρχουσαν κατὰ πάντα, καὶ ἀπαραλλάκτως ἔχουσαν πρὸς
ἡμᾶς. ὅμως λαβὼν διδοὺς τῷ προσπαλαίοντι θανάτῳ τὴν σάρκα καὶ
δι' αὐτῆς τῆς ὑποκειμένης αὐτῷ φύσεως καταγωνισάμενος αὐτόν. ἵνα
μήτε αὐτὸς χώραν ἔχοι λέγειν οὐχ ὑπὸ ἀνθρώπου, ἀλλ' ὑπὸ θεοῦ ἡττῆσθαι, μήτε
μὴν ἡμεῖς μαλακιζόμεθα πρὸς τοὺς ἀγῶνας καιροῦ καλοῦντος. ἔχοντες
παράδειγμα, τὴν ὁμοφυῆ καὶ ὁμοούσιον σάρκα, ἐν ᾗ κατεκρίθη
ἡ ἁμαρτία, χώραν οὐδ' ὅλως εὑροῦσα ἐν αὐτῇ. συνεπλάκη γὰρ
δι' αὐτῆς ἀπαθῶς τῷ θανάτῳ, ὁ τοῦ θεοῦ λόγος, ἰδίαν σάρκα ποι-
ήσας αὐτήν, καὶ ἑνωθεὶς αὐτῇ, καθ' ὃν τρόπον ἥνωται ψυχὴ σώ-
ματι. ταύτην δὲ σῶμα ἴδιον καὶ σάρκα καλεῖ, καὶ πάντα τὰ ἐν
αὐτῇ τελούμενα ἴδια λογίζεται. καὶ γοῦν ἐκ προσώπου αὐτοῦ ὁ
προφήτης βοᾷ λέγων. ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.
τραῦμα καλῶν ἑαυτοῦ τὸ τραῦμα τοῦ σώματος αὐτοῦ. καὶ τὰ μέρη
δὲ τοῦ σώματος, ἴδια λογίζεται μέλη. καθὰ καὶ τὸ πᾶν σῶμα. τὸν
νῶτόν μου γὰρ ἔδωκα εἰς μάστιγας. τὰς δὲ σιαγόνας μου, εἰς ῥα-
πίσματα. καὶ τὸ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσ-
μάτων. καὶ πάλιν. ὤρυξαν χεῖράς μου καὶ πόδας μου. καὶ ἐξηριθμή-
σαν πάντα τὰ ὀστᾶ μου. καὶ ταῦτα μὲν τὸ σῶμα οἰκειοποιούμενος λέγει.
καὶ τὰ προσφερόμενα τῷ σώματι, αὐτῷ δηλοῖ προσφέρεσθαι, τῷ
τὸ σῶμα φορέσαντι. πλὴν καὶ αὐτὸς λέγει πεπονθέναι, χωρὶς
τῆς τοῦ σώματος ὀνομασίας, ἢ μελῶν ἀπαριθμήσεως. ἔφη γοῦν

ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. ἠγνόει τις διῃρημένως, ἀλλὰ σεσιγημένως πάντα περὶ αὐτοῦ νομίζει λέγεσθαι· διὰ τοῦτο καὶ τὰ ἀνθρώπινα, καὶ τὰ θεῖα, κοινῶς τοῦ αὐτοῦ κατηγορεῖται. τοῦ γοῦν διαφέροντες, τὰ ἑκατέρᾳ φύσει συμπρέποντα· τὸ μὲν γὰρ θεῖον, *ἀπαθές ἐστι· καὶ οὐκ ἄν ποτε *τοῦ ἀπαθοῦς ἅψοιτο πάθους· οὔτε τῶν ὅσα ψυχῆς ἐστιν, οὔτε τῶν ὅσα σώματος, ἢ ἐμψύχου σώματος· ψυχῆς γάρ ἐστι λογικῆς, τὸ λυπεῖσθαι· καὶ ταράττεσθαι· καὶ ἀδημονεῖν, καὶ τὰ ἐπιόντα λυπηρὰ λογιζομένην· σώματος δέ, τὸ τέμνεσθαι, καὶ διαπερονᾶσθαι· ἐμψύχου δὲ σώματος, τὸ πεινῆν· καὶ διψῆν· καὶ κοπιᾶν· καὶ ἱδροῦν· πάντα δὲ ταῦτα καὶ ἕκαστον αὐτῶν, κατὰ μεταβολὴν διαθέσεως σημαίνει τῷ πάσχοντι. θεὸς δέ φησιν ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι· καὶ πρὸς αὐτὸν ἕτερος τῶν θεολόγων· σὺ δὲ ὁ αὐτὸς εἶ· ποῖον οὖν ὑποπτεύσειέ τις πάθος συμβαίνειν τῷ ἀπαθεῖ· τῶν σωματικῶν ἄρα; καὶ πῶς, ὃ μηδὲ τῇ λογικῇ ψυχῇ κτιστῇ τυγχανούσῃ καὶ προσγράφεται. ἀλλὰ τῶν ψυχικῶν; καὶ τοῦτο λίαν ἔχει τὸ ἄτοπον, εἰ λέγοι τις τοῖς αὐτοῖς παθήμασιν ὑποκεῖσθαι τὸν τοῦ παντὸς κτίστην, οἷς ὑπόκειται καὶ τὰ κτίσματα· καὶ οὐ μόνον, ἀλλὰ καὶ τροπῆς, καὶ ἀλλοιώσεως ἔσται δεκτικός, εἴπερ χωρὶς ἀλλοιώσεως, ἀδύνατόν ἐστι τοιοῦτο συμβῆναι· τροπῆς δὲ πάσης ἡ θεία φύσις ἀμείνων καθέστηκεν. ἀλλὰ τῆς ἐμψύχου σαρκὸς πάθος ἥψατο καὶ τῆς θεότητος; ἄπαγε φησὶν ὁ προφήτης· θεὸς γὰρ αἰώνιος, οὐ πεινάσει· οὐδὲ κοπιάσει. οὐδ᾽ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ. τῆς οὖν θείας φύσεως οὐσιωδῶς ἐχούσης τὸ ἀπαθές, καὶ πάθους καταγγελλομένου, καὶ σταυροῦ, καὶ θανάτου, δι᾽ ὧν σεσώσμεθα· φησὶ γὰρ Παῦλος οὐκ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον, ἀνάγκη τὸ πάθος κυρίως μὲν εἶναι καὶ πρώτως· τῆς προσληφθείσης δὲ φύσεως, οὐδαμῶς δὲ κεχωρισμένης τῆς προσλαβούσης, ἀλλ᾽ ἡνωμένης αὐτῇ ἀλύτῳ συμπλοκῇ καθ᾽ ὑπόστασιν· ὥστε τὰ πάντα τοῦ ἑνὸς εἶναι Χριστοῦ· τά τε θεοπρεπῆ, τά τε ἀνθρώπινα, μὴ συγχεομένης ἡμῶν τῆς διανοίας, ἡνίκα τῷ λόγῳ διακρῖναι βούλεται, τί μέν ἐστι θεῖον, τί δ᾽ αὖ πάλιν ἀνθρώπινον· ἀλλὰ κοινῶς μέν, ἑνὸς καὶ τοῦ αὐτοῦ Χριστοῦ κατηγορεῖν ἑκάτερα.

ἀπαθής
τὸ ἀπαθὲς

πάθη φημί

πάθη φημὶ, καὶ ἀπάθειαν· διότι καὶ αὐτὸς καθ' οὗ κατηγορεῖται, σύν
θετος ἐξ ἑκατέρων ἐστίν, ὡς καὶ τοῦ ἐμψύχου σώματος, τὰς τομὰς καὶ
τοὺς μώλωπας, προηγμένως μὲν, τοῦ σώματος εἶναι γινώσκοντες, διά
γε τὴν σύνθεσιν λέγομεν αὐτὰ εἶναι καὶ τῆς ψυχῆς καί τοι γινώσ
κοντες, ὡς ἀδύνατον τούτοις ἁλῶναι ψυχήν· εἶτα καὶ τὰς ψυχικὰς
κινήσεις, καὶ λογικὰς ἐπιστήμας, προηγμένως μὲν καὶ κυρίως τῆς
ψυχῆς οὔσας· τοῦ δὲ συνθέτου ζώου λέγομεν αὐτὰς εἶναι, τῆς σωμα
τικῆς φύσεως οὐ πεφυκυίας μετέχειν γνώσεως, οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ.
θεοῦ τυγχάνοντος ἅμα καὶ ἀνθρώπου, πάντα τοῦ αὐτοῦ ἑνὸς εἶναι δοξάζομεν,
καὶ τὴν ἀπάθειαν καὶ τὸ πάθος, τὸ πεφυκὸς πρὸς ἑκάτερον ἐπιγράφοντες·
τούτου τῶν λόγων καὶ νοημάτων διδάσκαλος ἡμῶν, πέτρος τῶν
ἀποστόλων ὁ πρόκριτος· ἀποπέφανται λέγων· Χριστοῦ παθόντος ὑπὲρ
ἡμῶν σαρκί· καί τοι σαφῶς, καὶ διαρρήδην ὁμολογήσας αὐτὸν εἶ
ναι θεοῦ υἱόν, ὅτε καὶ ἀξίως ἐμακαρίσθη, ὡς παρὰ τοῦ πατρὸς δεξάμενος
τὴν τοιαύτην ἀποκάλυψιν· οὐκοῦν καὶ ἡμᾶς δεῖ, τῷ θεόθεν δεξα
μένῳ τὴν περὶ τούτου γνῶσιν ἑπομένους, τῷ αὐτῷ κανόνι χρήσασθαι·
καὶ παθητὸν μὲν εἶναι τὸν Χριστὸν κατὰ τοὺς λόγους τοῦ σοφωτάτου παύλου, οὐ μὴν
κατὰ τὴν θεότητα· τὸν αὐτὸν δὲ καὶ ἀπαθῆ, πλὴν οὐ κατὰ τὴν ἀν
θρωπότητα· πέπονθε γοῦν ἀληθῶς τὰ πάθη τῆς φύσεως, αι οὐ πεφυκυίας haec ex supra 7.
μετέχειν γνώσεως, οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ· βλ οἷς οὐχ ἕπεται φόνος τὸ μεγα
λοφυὲς τοῦ θεωρήματος, τῆς τῶν φύσεων ἀλλήλαις ἀντιθέσεως· καὶ
ἐπὶ μὲν θεοῦ ὁ πάσχων, τῆς θεότητος οὐκ ἀντιλαμβανομένης τοῦ πάθους·
ὁ αὐτὸς δὲ ἄνθρωπος ὢν μὴ πάσχων, τῆς ἐν αὐτῷ θεότητος ἐχούσης κατὰ
φύσιν τὸ ἀπαθές, καὶ ἐν τῷ συγκειμένῳ τῷ πάσχοντι σώματι· καὶ αὐτὸς
δὲ τοῦ πάθους ὁ τρόπος, δείκνυσι τῶν συγκειμένων φύσεων τὸ διάφορον.
ναὶ μὴν καὶ τῆς παθητῆς τὸ ἀνεύθυνον· οὐ γὰρ ποιήσας ἄξιόν τι θα
νάτου, ἢ ὕβρεως, αὐτὸ μόνον κατεδικάσθη πρὸς θάνατον· ἁμαρτίαν
γὰρ οὐκ ἐποίησεν· οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· τοῦτο
δὲ αὐτό, καὶ οἱ πρὸς θάνατον αὐτὸν καταδικάσαντες, ἐμαρτύρησαν
αὐτῷ· συνηγμένοις τοῖς ἰουδαίοις, καὶ ἐξαιτοῦσι τὸν λῃστὴν βαρα
βᾶν, ἔφη πιλᾶτος· θέλετε ἀπολύσω ὑμῖν ἰησοῦν τὸν λεγόμενον Χριστόν;
ᾔδει γὰρ φησὶν ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν καὶ
ἀποκριθέντες εἶπον· οὔ. ἀλλὰ τὸν βαραββᾶν· πρὸς οὓς πάλιν ἔφη

ὁ πιλᾶτος. τί οὖν ποιήσω ἰν̄ τὸν λεγόμενον χν̄; οἱ δὲ εἶπον, σταυρω
θήτω. καὶ πάλιν ἐντρέπων αὐτοὺς ὁ πιλᾶτος, εἶπε· τί γὰρ κακὸν
ἐποίησεν. οὐκοῦν οὐδὲν κακὸν ποιήσας, παρεδόθη θανάτῳ διὰ σταυροῦ.
τίνος δὲ χάριν ἠσαΐας ἀπαγγέλλει λέγων διὰ τὰς ἁμαρτίας αὐτῶν;
δῆλον δ' ὅτι τῶν ἄλλων παρεδόθη. καὶ πάλιν, ἀπὸ τῶν ἀνομιῶν τοῦ
λαοῦ μου ἤχθη εἰς θάνατον. τῷ ὄντι γὰρ ἡμεῖς ἦμεν οἱ τὸν θάνατον
ἔχοντες νόθον δεσπότην. τὰς ἑαυτῶν τιμὰς παρ' αὐτοῦ κομισάμε
νοι, καὶ τὰ πρὸς θάνατον ἁμαρτήσαντες. βοᾷ οὖν ὁ προφήτης ἐλέγχων
τῆς πράσεως τὸ παράνομον. ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε.
πλὴν εἰ καὶ παράνομος ἡ πρᾶσις γέγονεν, ἀλλ' ἔδει νόμιμον γενέσθαι
τὴν ἐλευθερίαν. ἠγοράσθημεν οὖν πάντες τιμίῳ αἵματι, ὡς ἀμνοῦ
ἀμώμου καὶ ἀσπίλου χῦ. καὶ οὕτως ἀπαλλαγέντες τῆς κατοχῆς τοῦ
πρώην καταδουλωσαντος, εὐκαίρως ἐτύχομεν τῆς ἐλευθερίας.
διέρρηξεν οὖν ἡμῶν τὸ χειρόγραφον, δι' ὃ κατεδουλώσαμεν ἑαυτοὺς
πάντα ὑπομείνας ὑπὲρ ἡμῶν, ὅσα σημεῖα λέγουσιν εἶναι τῆς παντελοῦς
ἐλευθερίας. καὶ γὰρ ἐμαστίχθη, καὶ ἐρραπίσθη. πληρῶν μὲν τὰς περὶ
τούτων προρρήσεις τῶν προφητῶν. ἡμῖν δὲ χαριζόμενος, τὴν διὰ
τούτων δηλουμένην τῆς δουλείας ἀπαλλαγήν. οὐ γὰρ μάτην γέγονε,
τῶν περὶ τὸ τίμιον αὐτοῦ πάθος συμβεβηκότων. μὴ τοῦτο δοξάζωμεν.
ἀλλὰ λόγῳ τινὶ κρείττονι καὶ ἀναγκαίῳ, πᾶσαν λόγου δύναμιν ὑπερ
βάλλοντι. πεπραμένων γὰρ ἡμῶν, καὶ δούλων γεγενημένων τῆς πάντων
κρατούσης φθορᾶς, πραθῆναι καὶ αὐτὸς ηὐδόκησεν ὑπὲρ ἡμῶν.
αὐτὸς γὰρ οὐκ ἔστι πρατὴς ἐλευθερίας, ἀλλὰ ταύτης ἐκδικητής.
καὶ τὰς μὲν τιμὰς ὡς ἐκομισάμεθα λαβόντες, εἰς φθορὰν ταύ
τας κατεχρησάμεθα. τὸ δὲ τίμημα τοῦ ἐλευθέρου γέγονε τοῖς
ξένοις ταφή. ἵνα φυλάττῃ τὰ σώματα τῶν ἐν τῇ ξένῃ γῇ ἀπολι
πόντων τὸ ζῆν. ἕως ἂν αὐτὸς ἐλθὼν, ἀναστήσῃ τὰ σώματα, ὧν αἱ
ψυχαὶ, τῷ τιμίῳ αἵματι ἠγοράσθησαν. ἐξεχύθη γὰρ τὸ αἷμα αὐ
τοῦ, λύτρον ἀντὶ πολλῶν. τάχα δὲ βέλτιον εἰπεῖν ἀντὶ πάντων. οἱ
γὰρ πάντες εἰσὶν οἱ πολλοί. καὶ ἔστι μὲν κατὰ τὸ πρόχειρον, ἀγρὸς
ὁ τυθεὶς. τοῦτο γὰρ αὐτοῦ ἠγοράσθη καὶ μόνον. αἱ δὲ γενόμεναι τεράστιαι
ὑπ' αὐτοῦ. δυνάμεις* ὑπὲρ αὐτοῦ, τὴν ὑπὲρ ἄνθρωπον ἐμαρτύρουν αὐτῷ φύσιν, ἐξ ἧς

προήρχετο

προὐφαίνετο ἡ ἐνέργεια· καὶ οὐ λέγω τὴν νεκρῶν ἀνάστασιν· καὶ τυφλῶν
ἀνάβλεψιν, καὶ τῶν λεπρῶν τὴν κάθαρσιν· καὶ τῶν λοιπῶν λωβημάτων
τὴν ἰατρείαν. ταῦτα γὰρ ἤδη πάντες κοινῶς, ὡς θεῷ τῷ σωτῆρι ἀνέ-
θηκαν. ἐκεῖνο δὲ λέξειν ἄρχομαι, ὅπερ ἴσως τοῖς πολλοῖς οὐκ ἐπῆλθε·
ποῖον τοῦτο; τὸ ἐν ἐξουσίᾳ πάντα ποιεῖν· ὑπὲρ πάντα δὲ τὴν ἀπέλασιν
τῶν ἱεροκαπήλων, τῶν σπήλαιον λῃστῶν ποιησάντων τὸν οἶκον τῆς
προσευχῆς. εἰ μὴ γὰρ ὑπερβάλλουσα δύναμις* ἦν ἡ αὐτοῦ, τοσαύτας ὑπῆν
μυριάδας τῶν πωλούντων, καὶ ἀγοραζόντων, οὐκ ἂν ἐξέβαλεν ἐκ τοῦ
ἱεροῦ· καὶ μάλιστα ἑορτῆς ἐπικειμένης, καὶ τῶν ἁπανταχόθεν, διὰ αὐ-
τὴν συνεληλυθότων· τοῦ νόμου πάντας πανταχόθεν ἀθροίζοντος εἰς τὴν
τῶν ἀζύμων ἡμέραν, ἐν ᾗ θύεσθαι τὸ πάσχα νενόμισται· τίς γὰρ στρα-
τηγός, μυρίους ὅσους ὁπλοφόρους ἐπαγόμενος, τοὺς τοσούτους ἀπελάσαι
δυνατὸς ἦν· καὶ μάλιστα πολλῷ χρόνῳ, τῆς παρανόμου ταύτης
ἐμπορίας βεβαιωθείσης. αὐτὸς δὲ φραγέλλιον αὐτὸ μόνον ἐκ σχοι-
νίων ποιήσας, πάντας ἐξέβαλεν. ἴδιον οἶκον καλῶν, τὸν τῆς προσ-
ευχῆς οἶκον. ὃν ἐμπορεῖον πεποιήκασιν οἱ θεοκάπηλοι. τὰ τῆς πε-
ριστερᾶς τέκνα πιπράσκοντες, καὶ τὰ λόγια τοῦ θεοῦ κολλυβίζοντες,
ὧν αἱ τράπεζαι, δικαίως ἀναστρέφονται· καὶ τὰ κέρματα ἐκχεῖται,
δυνάμει θείκῃ, τοῦ ἐπιδημήσαντος καθᾶραι τὸ ἱερόν. ἐν ᾧ θυσίας
καθαρὰς προσάγεσθαι τῷ θεῷ νόμιμον ἦν. οὐχὶ τοιαῦτα ἀθέμιτα
γίνεσθαι. διὸ θαυμάσαντες τὸ δρώμενον οἱ τεθεαμένοι, καὶ εἰς τὸ
πλῆθος ὡς εἰκὸς διαδοθέντος τοῦ τοσούτου σημείου, πάντας τοὺς ἔχον-
τας σωματικὰς λώβας συνήθροισαν. οἵτινες προσῆλθον αὐτῷ ἐν τῷ
ἱερῷ, καὶ ἐθεραπεύθησαν. μεῖζον σημεῖον τὸ δεύτερον τοῦ προτέρου.
νόμος γὰρ εἶργει τοὺς χωλοὺς καὶ τοὺς τυφλούς, ἄποθεν τοῦ ἱεροῦ. γ-
νόντες δὲ τοῦ παραδόξου τεραστίου, τῆς ἐκβολῆς λέγω τῶν ἐμπο-
ρευομένων, θεασάμενοι, καὶ ἀκούσαντες οὗτοι, καὶ μεῖζον ἢ κατὰ ἄν-
θρωπον τὸ τοιοῦτον νομίσαντες ἔργον, κατετόλμησαν τῆς εἰσόδου.
καὶ ἐν τῷ ἱερῷ ἔνδον γενόμενοι, προσῆλθον τῷ Ἰησοῦ, καὶ ἐθεράπευ-
σεν αὐτούς. διὰ πάντων δεικνὺς ἑαυτὸν εἶναι θεὸν σαρκὶ καλυπ-
τόμενον. ἣν καταπέτασμα Παῦλος καλεῖ. καταπέτασμα δὲ
ἁγίων ἐστὶ κάλυμμα, καὶ τῶν ἁγιωτάτων ἁγίων σκέπη. εἶτα

μόνος ὁ ἀρχιερεὺς ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσέρχεται, ἱλασκόμενος τὸν
θεὸν ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ὥστε τὸ καλυπτόμενον
τῷ καταπετάσματι, τῷ μὲν πρώτῳ, ἅγιον· τῷ δὲ δευτέρῳ, ἅγιον
ἁγίων. τολμῶμεν δὲ καὶ λέγομεν, τὸ μὲν πρῶτον καταπέτασμα εἶναι
τὸ σῶμα· τὸ δὲ δεύτερον, τὴν ψυχήν· ὡς γὰρ πρὸς τὸ σῶμα, ἅγιον ἐστὶν
ἡ ψυχή, καλυπτομένη τῷ σώματι· διονεὶ πρώτῳ ὄντι καταπετάσματι.
πρὸς δὲ τὸν θεὸν λόγον, δεύτερον καταπέτασμά ἐστιν ἡ ψυχή· πλὴν
αἱ δύο σκηναὶ γεγόνασι, συμβληθεῖσαι ταῖς ἀγγελικαῖς καὶ τοῖς χοϊ-
κοῖς· ἃ σύμβολα εἶναι δοκεῖ μοι τῶν λογίων, δι' οὓς γέγονεν ἡ το-
σαύτη περὶ ἡμᾶς τοῦ θεοῦ φιλανθρωπία· πολὺ τὸ δυσθεώρητον ἔχοντα,
ὥσπερ τὰ σύμβολα, κατὰ τὸ δυσλυτον. μία γὰρ τοῦ ἑνὸς ἔχεται
ἄνωθεν, ἕως κάτω. [illegible] καὶ οὐκ ἔστιν ἄλλως αὐτὰ θεω-
ρῆσαι, εἰ μὴ ἐκ τῶν τελευταίων· ἐπὶ τὰ πρῶτα τις ἀνιών, φθάσει
ἐπὶ τὴν ἀρχήν. ἡ μὲν γὰρ σύνθεσις, ἄνωθεν κάτω· ἡ δὲ ἀνάλυσις,
ταύτην δὲ νόησιν καλοῦμεν, κάτωθεν ἄνω, τοὺς ἀξίους ἀνάγει.
ταύτην σκηνὴν ἔθετο κύκλῳ ἑαυτοῦ καὶ ἀποκρυφὴν ὁ λόγος· ἀπαρ-
χὴν οὖσαν πάσης τῆς ἀνθρωπότητος. καὶ ταύτην ἔδωκε λύτρον
ὑπὲρ πάντων, παραδοὺς τὴν ἰδίαν ψυχὴν εἰς θάνατον, τοῦ παντὸς
γένους ἀντάλλαγμα· ὑπὲρ παντὸς γὰρ ἐγεύσατο θανάτου. οὐχ ὑπό
τινος πρὸς τοῦτο βιασθεὶς ἀκουσίως. ἔφη γάρ· οὐδεὶς αἴρει τὴν ψυχήν
μου ἀπ' ἐμοῦ· ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ, ἐξουσίαν ἔχων
θεῖναι αὐτήν· καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. δεικνὺς ἑαυτὸν
ὑπὲρ ἄνθρωπον κἀνταῦθα· πᾶς γὰρ ἄνθρωπος ἀκουσίως ἑαυτοῦ τὴν ψυχὴν
ἀφίησι· καὶ αἴρουσιν ἕτεροι τὴν ψυχήν, οἱ πρὸς τοῦτο τεταγμένοι διά-
κονοι. καθὰ καὶ πρὸς τὸν πλούσιον, οὗ εὐφόρησεν ἡ χώρα, τὴν ἄφρονα
βουλὴν βουλευσάμενον, ἐρρέθη· ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαι-
τοῦσιν ἀπὸ σοῦ. τοῦ δὲ σωτῆρος τὴν ψυχήν, οὐδεὶς ἀφείλετο. τέθεικε
δι' ἧς δὲ ταύτην ἑκὼν πρὸς βραχύ, *δι' ἣν κατεδέξατο δι' ἡμᾶς ὑψηλο-
τέραν οἰκονομίαν. ἔδει γὰρ αὐτόν, καὶ πρὸς τὰς ἔξω σωμάτων ἐπι-
δημῆσαι ψυχάς· κἀκεῖ κηρύξαι τοῖς αἰχμαλώτοις ἄφεσιν. ὁ
τοίνυν ἑκὼν τὴν ψυχὴν ἰδίαν ἀφιείς, οὐκ ἔστι μόνον ψυχὴ χρωμένη
σώματι· τί γάρ ἐστι τὸ ἀπολῦον τὴν ψυχὴν ἑκουσίως. οὐ γὰρ εὔλο-
γον ὑπολαμβάνειν τὸ σῶμα τοῦτο δυνατῶς ποιεῖν, μὴ ἔχον ἑαυ-
τοῦ ὁρμάς. πλὴν εἰ καὶ τοῦτο δοίη τις, εὑρεθήσεται καὶ τῆς

λογικῆς

λογικῆς ψυχῆς, τιμιώτερον ὂν τὸ σῶμα. εἴπερ τὸ μὲν, ἀφίησι·
τὸ δὲ, ἀφίεται. διὰ τοῦτο πάντως ἀναγκαῖόν ἐστιν ἕτερόν τι νομίζειν
παρά τε τὸ σῶμα καὶ τὴν ψυχὴν, ἐν τῇ κατὰ τὸν Χν θεώσει,
τιμιώτερον μὲν τῶν ἀμφοτέρων. τοῦ δὲ κρείττονος, ἡγεμονικώτερον.
καὶ ἐξουσιαστικῶς τὸ μὲν, παρέχων εἰς βρῶσιν τοῖς μαθηταῖς· τὴν
δὲ, τιθεὶς ὑπὲρ τῶν φίλων. ταύτῃ δεικνὺς τὴν ὑπερβάλλουσαν αὐτοῦ
τοῦ περὶ ἡμᾶς ἀγάπην. τί δὲ τοῦτο ἦν, τὸ θεῖον. δηλονότι τὸ σῶμα
τεθὲν ἀπαθῶς τῷ ἑνωθέντι σώματι. καὶ ἐλάνθανε μὲν μὴ ὁρώμενον,
διὰ τὴν ὡς ἔφην κεκαλυμμένην σκηνὴν, καὶ διότι τὴν φύσιν ἐστὶν ἀόρατον.
πλὴν ἐδείκνυ δι᾽ ὧν ἔπραττε θεὸς ὤν. ἐβόα γὰρ τὰ ἔργα δημοσι-
εύοντα, τὸν ἐν σαρκὶ κεκρυμμένον θεόν. καὶ ἦν τὰ πάθη, κατὰ προ-
ηγούμενον λόγον τῆς σαρκός. κατ᾽ οἰκείωσιν δὲ, τοῦ ἀναλαβόντος
τὴν σάρκα. τὰ δὲ θαύματα, προηγουμένως μὲν, τοῦ θεοῦ λόγου. συν-
εδοξάζετο δὲ τούτοις ἡ σάρξ. ἐπειδὴ τοῦ θεοῦ λόγου ἦν αὐτὴ σάρξ.
διεπερονήθη τοῖς ἥλοις ἐν τῷ σταυρῷ. καὶ ἐτρώθη τῇ λόγχῃ. καὶ
ὄξος ἐποτίσθη. καὶ πᾶν ὄνειδος ὑπὸ τῶν παρανόμων ἑκουσίως
ὑπέμεινε. τὸν ἀπαθῆ θεὸν λόγον ἡνωμένον αὐτῇ καθ᾽ ὑπόστασιν
ἔχουσα. διὸ τὸ ἐξ αὐτῆς ἐκχεόμενον αἷμα τοῦ ἀσωμάτου καὶ
ἀναίμου λόγου λέγεται αἷμα. καθὸ εἷς ἐστιν ὁ ἐξ ἑκατέρου συγ-
κείμενος Χς. θεὸς ὢν ἅμα καὶ ἄνθρωπος. καὶ δηλοῖ τοῦτο σαφῶς οὕτως
ἔχον, αὐτὸς ἅμα πατέρα καὶ θεὸν, ἐν αὐτῷ τῷ σταυρῷ καλῶν τὸν θεόν. A
ἐλωῒ γάρ φησιν ἐλωῒ, λιμὰ σαβαχθανί. ὃ ἑρμηνεύεται, θεέ
μου θεέ μου. εἰς τί με ἐγκατέλιπες. καὶ πάλιν. πάτερ μου. εἰς
χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. καὶ τὸ, νυγείσης δὲ τῆς πλευ-
ρᾶς, ἐξῆλθεν αἷμα καὶ ὕδωρ, ἀπὸ σώματος ἤδη τεθνεῶτος,
ὑπὲρ ἄνθρωπον ἦν. ὅπερ καὶ τινὰς τῶν παρεστώτων ἀπίστων, πι-
στεῦσαι πεποίηκεν. ὁμολογήσαντας ἀληθῶς θεοῦ υἱὸν εἶναι, τὸν
δι᾽ οὗ καὶ δι᾽ ὃ, τὰ τοσαῦτα γέγονε τεράστια. τί δὲ τὰ τεράστια
ἦν, ἡλίου ἔκλειψις ἐν οὐ καιρῷ. τεσσαρεσκαιδεκαταία ἦν ἡ
σελήνη. ὅτε θύειν τὸ πάσχα θέμις ἦν Ἰουδαίοις. γῆς κλόνος. πε-
τρῶν διαιρέσεις. μνημάτων, ἄνοιξις. τεθνεώτων σωμάτων ἐγέρσεις.
τοῦ καταπετάσματος ἄνωθεν κάτω ῥῆξις. καὶ ὅσα τοιαῦτα τέρα-
τα δεικνύοντα τὴν δύναμιν τοῦ ἐπὶ τοῦ σκόλοπος κρεμαμένου.

καὶ τὴν ἁμαρτίαν ἡμῶν ἐπὶ τοῦ ἰκρίου παραδειγματίσαντος. οὐ γὰρ ἦν
εἰκός, δι' ἄνθρωπον φίλον, τοσαύτην γενέσθαι συγκίνησιν τοῦ παντός. τάχα
δὲ συμπάθειαν λέγων τις, οὐκ ἂν ἁμάρτοι. καὶ γὰρ ἔδει τῷ κτίσαντι συμ
παθεῖν καὶ τὰ κτίσματα. καὶ οὐ χωρὶς λόγου πιθανοῦ ταῦτα φαμέν. διότι
πολλῶν προπεπονθότων δικαίων, οὐδὲν τῶν ὄντων τὴν ἰδίαν ἀπέλιπε
τάξιν. τίς γὰρ ἀναγέγραπται γεγονέναι τῶν ἁγίων λιθαζομένων, ἐν
φόνῳ μαχαίρας ἀποθνησκόντων. πριζομένων. ἐπεὶ δὲ πᾶσα συνεσεί
σθη φύσις τούτου πάσχοντος, κήρυξ γεγένηται τοῖς ἔχουσιν ὦτα
τοῦ ἀκούειν, ὅτι ἀληθῶς θεοῦ υἱὸς ἦν. καὶ θεός. οὐχ υἱοποιηθεὶς θεός. ἢ κατὰ
χάριν θεός. ἀλλὰ κατὰ φύσιν υἱός, καὶ φύσει θεός. καὶ τῷ γεννήσαντι
ὁμοούσιος. ἐξ οὗ πρὸ ἑωσφόρου, γεγέννηται θεὸς ἀσωμάτως. ὃς ὕστερον
τοῦ σπέρματος Ἀβραὰμ ἐπελάβετο. καὶ διὰ τῆς πρὸς αὐτὸ συμπλο
κῆς, γέγονεν ἄνθρωπος. σαρκὸς καὶ αἵματος κοινωνήσας ὡς τὰ παιδία.
ταύτην τὴν σάρκα τὴν θεοφόρον, ἔθεντο ἐν τάφῳ καταγα
γόντες ἀπὸ τοῦ ξύλου, σινδόνι καθαρᾷ περιειλήσαντες. καὶ ἀνε
χώρησαν, οἱ διὰ πολλὴν συμπάθειαν ἐκτετηκότες τὸ σῶμα. λίθος
δ' ἦν ἀναφράττων τὴν εἴσοδον τοῦ τάφου. μαρτύριον ὂν ἀληθῶς,
ὅτι τέθνηκε, καὶ ἐτάφη.

## Τοῦ αὐτοῦ, περὶ ἀναστάσεως, λόγος ε΄:

Ἀλλ' οὐ γὰρ οὐ μέχρι τούτων μόνον τὰ κατὰ τὸν σωτῆρα καὶ κύριον ἡμῶν
πάντα τετέλεστο, πληρεστάτης γὰρ ἔδει τῆς οἰκονομίας, καὶ τὸ
τέλος ἐλείπετο. διὸ γέγονεν ἡ ἀρχή. διὰ γὰρ τὴν ἐκ νεκρῶν
τοῦ τεθνεῶτος ἔγερσιν γέγονεν, ἥ, τε τοῦ πρὸ αἰώνων γεγεννημένου
γέννησις, καὶ ὁ διὰ σταυροῦ τοῦ ἀθανάτου θάνατος. οὐ τυχηρῶς, ἀλλ' ὥσπερ
τις συμβάς. πολλοὶ γὰρ εἰσὶ καὶ ἕτεροι θανάτου τρόποι συμβαίνοντες
τοῖς ἀνθρώποις. οἱ μέν, ἐκ προνοίας. οἱ δ' ἐξ ἐπιβουλῆς. ἀλλ' ἵνα δημο
σιεύσῃ πᾶσι τὸν θάνατον, καὶ μηδένα τῶν πάντων λάθῃ τὸ γεγο
νός. τίς γὰρ τὸν ἐπὶ σταυροῦ κρεμάμενον, καὶ τοῖς ἥλοις πεπερ
ονημένον, καὶ οὕτως ἀπολιπόντα τὸ ζῆν, ἀρνεῖται τετελευτη
κέναι, κἂν εἴη λίαν ἀπαράδεκτος ἀληθείας. τέθνηκε γὰρ μόνος
τοῦτο ὁ Ἰησοῦς τῶν ἐν τῷ σταυρῷ κρεμασθέντων. * τοῦ μὴ παθόντος τέως τῶν
συσταυρωθέντων αὐτῷ, δύο λῃστῶν φημί. καὶ μαρτυροῦσι τούτοις,
τὰ ἑξῆς γεγενημένα. σαββάτου γὰρ μεγάλου τῆς τῶν ἀζύμων

ἑορτῆς

ἑορτῆς ἐπιβαίνοντος, καὶ τῶν ἰουδαίων αἰτησάντων τὸν ἡγεμόνα
κατενεχθῆναι τὰ σώματα τῶν ἐσταυρωμένων, ἐπινεύσαντός τε πι
λάτου πρὸς τὴν εὔλογον αἴτησιν, καὶ κελεύσαντος κατεαγῆναι
αὐτῶν τὰ σκέλη, φησὶν ἡ ἱστορία, ὅτι τοῦ μὲν πρώτου, κατέαξαν
τὰ σκέλη, καὶ τοῦ δευτέρου ὁμοίως τοῦ συσταυρωθέντος αὐτῷ· ἐπὶ
δὲ τὸν ἰησοῦν ἐλθόντες, ὡς εἶδον ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ
τὰ σκέλη· μαρτυρούντων οὖν ἐκείνων ὅτι τέθνηκεν, οὐδεὶς ἔχει χώραν
ἀρνήσασθαι τοῦ ἐγερθέντος τὸν θάνατον· ἀλλὰ καὶ τοῦ ἰωσὴφ ἐξῃτη
κότος πρὸς ταφὴν τὸ σῶμα, πιλᾶτος ἀκούσας ἐθαύμασεν, εἰ πά
λαι ἀπέθανε· τί δ᾽ ἂν ἐναργέστερον εἴη τῆς μαρτυρίας τῶν πάσῃ
μηχανῇ κρύπτειν βουλομένων τὴν ἀνάστασιν ἰουδαίων· συνελθόντες
γὰρ ἅμα τῇ ἐξῆς πρὸς πιλᾶτον ἔφησαν· ἐμνήσθημεν ὅτι ὁ πλάνος
ἐκεῖνος ἔτι ζῶν, ἔλεγε, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι· τούτων οὖν
λεγόντων ὅτι ἔτι ζῶν ἔλεγε, καὶ διὰ τὸ ἔτι ζῶν δηλούντων, ὡς τεθ
νεὼς εἴη, πᾶσα σκῆψις ἀναιρεθήσεται, τῶν λέγειν πειρωμένων
αὐτὸν μὴ τεθνάναι· καὶ τὸ σφραγισθῆναι δὲ τὸν τάφον κατὰ τὴν
τῶν παρανόμων ὑφήγησιν, οἰκονομικώτατα γέγονε, πρὸς ἐντροπὴν
τῶν παρανόμων. τῶν λεγόντων ὡς οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόν
τες, ἔκλεψαν αὐτόν. ἐσφραγισμένου γὰρ τοῦ μνήματος, καὶ στρα
τιωτῶν τηρούντων τὰς σφραγῖδας, ποῖος φανήσεται πιθανὸς λόγος,
τὴν ἀλήθειαν ἐπισκιάσαι πειρώμενος. ἀλλ᾽ οὐδ᾽ ἐκεῖνο λέξειέ τις
δικαίως, ὡς ἄρα οἶμαι, τυμβωρυχίας ὀφείλει γράφεσθαι, τοιχωρυχίας
γεγενημένης, κεκλόφασιν αὐτοῦ τὸ σῶμα οἱ προσήκοντες, τῶν σφρα
γίδων μενουσῶν ἀκεραίων. οὐ γὰρ ἐκ λογάδων λίθων ἀλλήλοις
ἡρμοσμένων, ἡ οἰκοδομὴ συνετέθειτο τοῦ μνήματος, ἀλλ᾽ ἦν συμφυὴς
πέτρα, τοιαύτην ὑπόνοιαν ἀποστερουμένη πᾶσαν. διὰ τοῦτο δὲ και
νὸν ἦν τὸ μνημεῖον, προσφάτως κοιλανθὲν ἐν τῇ πέτρᾳ, καὶ
μήπω δεξάμενον ἕτερον σῶμα· ὅπως μή, ἀμφίβολον ᾖ, παρὰ τοῖς
δυσχερῶς τὴν ἀνάστασιν προσιεμένοις· τίς ἄρα τῶν ὑποκειμένων
ἐστὶν ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν· ταῦτα πάντα, καὶ ἔτι τούτων πλείονα
ᾠκονομήθη, πρὸς πίστωσιν τῆς ἀναστάσεως τοῦ σωτῆρος ἡμῶν.
ἧς κατῆλθε μηνυτὴς ἄγγελος, ἀποκυλίων τὸν λίθον ἐκ τῆς
εἰσόδου τοῦ μνήματος· οὐχ ὁδοποιῶν τὴν ἔξοδον τῷ κειμένῳ·
φθάσας γὰρ ἀνέστη τριταῖος, ὑπ᾽ οὐδενὸς κωλυόμενος ὁ θεός, ἀλλὰ

δεικνὺς τὸν τόπον, ἔνθα τὸ σῶμα τέθειτο· μόνα τὰ ἱμάτια ἔχοντα
τοῦ ἀναστάντος. ὅθεν ἔλεγε ταῖς συνελθούσαις γυναιξὶν ὁ φανεὶς ἄγ-
γελος· μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν
τὸν ἐσταυρωμένον· οὐκ ἔστιν ὧδε· ἠγέρθη καθὼς εἶπε· δεῦτε, ἴδετε
τὸν τόπον ὅπου ἔκειτο. τούτου δὲ γινομένου, οἱ φύλακες στρατιῶται κατα-
σεισθέντες ὑπὸ τοῦ φόβου, κατέκειντο ὡς νεκροί· μόγις δὲ τῆς ἀγωνίας
ἀπαλλαγέντες, ᾤχοντο φεύγοντες ἐπὶ τὴν πόλιν, ἀγγέλλοντες τὰ γε-
γενημένα. οἱ δὲ παράνομοι τῶν Ἰουδαίων ἱερεῖς, δέον κἂν ὀψέ ποτε
ἐν συναισθήσει γενέσθαι, καὶ ἐπὶ τοῖς πραχθεῖσιν ἤδη παρ' αὐτῶν μετα-
νοῆσαι, τοὐναντίον ἐπιμένοντες τῇ πονηρίᾳ, κρύπτειν ἐπειρῶντο τὴν
ἀνάστασιν· καὶ ἀργύρια ὑποσχόμενοι τοῖς στρατιώταις διδόναι συχνά,
τὴν μὲν ἀλήθειαν τῶν ἑωραμένων ὄψιν, κρύπτειν πείθουσι. πεπλασμέ-
νας δὲ καθιστᾶν ψευδολογίας, ἃς αὐτοὶ λίαν ἀνοήτως αὐτοῖς ὑπέθεν-
το. εἴπατε γάρ φησιν ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες, ἔκλεψαν
αὐτὸν ἡμῶν κοιμωμένων. ὦ ἀλογίστου καὶ ἀσυστάτου ψεύδους. διδάσ-
καλοι, φήσειέ τις πρὸς αὐτοὺς εἰκότως. πῶς ἦν δυνατὸν τοὺς κοιμωμέ-
νους εἰδέναι τοὺς κεκλοφότας τίνες εἰσίν. εἰ δὲ κατ' ἀλήθειαν ἐν
γνώσει γεγόνασι τῶν κεκλοφότων, τοῦτο γὰρ αὐτοῖς εἰπεῖν ὑπέθεσθε,
πάντως θεασάμενοι τοὺς συλήσαντας ἐγνώρισαν. πῶς οὖν ἐκάθευδον
θεασάμενοι. τί δὲ μᾶλλον μὴ ἐκώλυσαν τὴν κλοπὴν γενέσθαι.
τούτου γὰρ ἕνεκα καὶ παρῆσαν τῷ μνήματι, κατὰ τὸν σκοπὸν τῶν
ἀσεβῶν, ψευδοδιδασκάλων. οἳ καὶ βεβαιώσαντο πείθειν τὸν ἡγεμό-
να Πιλάτον, ὡς οἱ καθεύδοντες, τἀληθῆ λέγουσιν ἑωρακέναι. καὶ
αὐτοὶ μὲν οὕτως ᾤοντο τὴν ἀλήθειαν, συσκιάζειν. ὁ δὲ σωτὴρ ἀλη-
θῶς ἀνέστη τριταῖος, καταλιπὼν τὴν φθορὰν ἐν τῷ τάφῳ. καὶ
πρωτότοκος ἐκ νεκρῶν γεγενημένος· κατέβη γὰρ εἰς τὰ κα-
τώτερα μέρη τῆς γῆς, καὶ εἰς τὴν καρδίαν αὐτῆς εἰσεληλύ-
θει, διατρίψας ἐκεῖ χρόνον ὅσον ἔδει συνδιατρῖψαι τοῖς οὖσιν,
την ἵνα μεταδῷ* τοῖς ἐξ αὐτοῦ χάριτος, τε καὶ ὠφελείας, τοῖς ἐν ᾅδῃ
κατεχομένοις. οὐ γὰρ μάτην αὐτοῦ γέγονεν, ἡ ἐκεῖ κάθοδος· οὐδὲν
γὰρ εἰκῇ θεὸς ποιεῖ. ἀλλ' ὅπως ἄν, τοὺς ἐκεῖ καθειργμένους ἐξα-
γάγῃ, καὶ ἐπαναγάγῃ προπορευόμενος αὐτῶν, ὡς ποιμὴν προβά-
των, ζητῶν οὓς ἀπώλεσε, καὶ εὑρίσκων, οὓς ἐξήτησε· καὶ ἀνάγων,
δι' οὓς καταβέβηκεν. οὐ γὰρ μόνον τὴν τῶν σωμάτων φθορὰν ἐν
τῷ τάφῳ·

τῷ τάφῳ διέλυσεν, ἀλλὰ καὶ τὴν τῶν ψυχῶν αἰχμαλωσίαν ἐκ τοῦ ᾅδου ἀπέλυσεν, ἔνθα κατείχοντο τυραννούμεναι. ἢ τάχα οὐ τυραννούμεναι, ἀλλ' ἀντικατεχόμεναι πολλῶν ὀφλημάτων. ἅπερ καταθεὶς οὐ διὰ τὸ λυτρώσασθαι καταβὰς, ἀνήγαγε πολλὴν αἰχμαλωσίαν. ἐπαγγειλάμενος καὶ αὐτὸν ποτὲ τὸν αἰχμαλωτίσαντα, λαμβάνειν αἰχμάλωτον καὶ δοῦλον. τὸν πρὸς βραχὺ νομισθέντα κύριον εἶναι. ἔσονται γάρ φησιν αἰχμάλωτοι, οἱ αἰχμαλωτίσαντες ὑμᾶς. καὶ κυριευθήσονται, οἱ κυριεύοντες ὑμῶν. εἰς τοῦτο Χριστὸς ἀπέθανε, καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. ἀλλ' οὐκ ἔστιν ὁ θεὸς, θεὸς νεκρῶν. ἀλλὰ ζώντων. οὐκοῦν οἱ κυριευόμενοι ὑπὸ τοῦ ζῶντος νεκροὶ, οὐκέτι εἰσὶ νεκροὶ, ἀλλὰ ζῶντες. καὶ διὰ τοῦτο κυριεύονται ὑπὸ τῆς ζωῆς. ἵνα ζῶσι μηκέτι θάνατον δεδιότες. ὥσπερ γὰρ ὁ Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει, οὕτως οἱ ἐν Χριστῷ ἐγειρόμενοι, καὶ ἐλευθερούμενοι τῆς φθορᾶς, οὐκέτι θάνατον ὄψονται. κοινωνοὶ τῆς ἀναστάσεως ἐσόμενοι τῆς τοῦ Χριστοῦ. καθὰ καὶ αὐτὸς, τῷ θανάτῳ αὐτῶν ἐκοινώνησεν. οὐ γὰρ ἄλλου του χάριν κατέβη εἰς γῆν. ἧς οἱ μοχλοὶ κάτοχοι αἰώνιοι, ἢ τοῦ συντρῖψαι τὰς χαλκᾶς πύλας, καὶ τοῦ συγκλάσαι τοὺς σιδηροῦς μοχλούς. καὶ ἀνάγειν ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν πρὸς ἑαυτόν. χαρισάμενος ἡμῖν ἀντὶ δουλείας ἐλευθερίαν. εἰ δὲ μήπω πᾶσι φαίνεται τετελεσμένον τὸ τῆς οἰκονομίας ταύτης ἔργον, ἔτι γὰρ καὶ ἀποθνήσκουσιν ἄνθρωποι, καὶ σώματα τῇ φθορᾷ διαλύεται, μηδαμῶς γένοιτο τοῦτο πρόφασις ἀπιστίας. ἤδη γὰρ προσεκομισάμεθα πάντων τῶν προειρημένων ἀγαθῶν τὸν ἀῤῥαβῶνα, διὰ τῆς ἡμῶν ἀπαρχῆς, δι' ἧς ἀνήχθημεν, πρὸς τὸ ὕψος τοῦ οὐρανοῦ, καὶ συνεκαθίσαμεν τῷ συνυψώσαντι, καθάπερ καὶ Παῦλός φησι. καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ. ληψόμεθα δὲ τὸ τέλειον πληρουμένης τῆς προθεσμίας τοῦ πατρὸς, ὅταν ἡμεῖς ἀποβαλλώμεθα τὴν νηπιότητα, καὶ εἰς ἄνδρα τέλειον φθάσωμεν. τοῦτο γὰρ

δέδοκται τῷ περὶ τῶν αἰώνων, ἵνα βέβαιον ᾖ τὸ διδόμενον, καὶ μὴ
πάλιν καταφρονηθῇ, νηπιάζοντος ἔτι τῆς διανοίας. μὴ οὖν οἰ-
έσθω τις τὸν ἀρραβῶνα μὴ δεδόσθαι, ἐκ τοῦ τινας ἔτι τοῖς
προτέροις ἐνέχεσθαι. προκαταβέβληται γάρ, ὡς ἔφημεν ὁ
ἀρραβών, μηνύων τὸ πᾶν τῆς δόσεως. ὁ γὰρ ἀρραβών, οὐκ ἔστι
τὸ ὅλον, ἀλλὰ μέρος. ὅπερ αἴνιγμα πάλιν καλεῖ παῦλος.
πάντα δὲ ταῦτα καταργηθήσεται, ὅταν ὁ θεὸς ἔσται τὰ πάν-
τα ἐν πᾶσιν. ὁρᾷς, ποῦ πόθεν ἀνήγαγεν ἡμᾶς; καὶ μηδεὶς
ἀναξίῃ. ὁ γὰρ θάνατος τοῦ χριστοῦ, καὶ ζωὴ γέγονε τοῖς νενεκρωμέ-
νοις. τἀναντία τοῖς ἐναντίοις ἰώμενος, ὁ σοφῶς ἰατρεύειν
τὰ δυσίατα τῶν παθῶν δυνάμενος. ἀλλὰ γὰρ τετελεσμένου
τοῦ μυστηρίου τοῦ κατὰ τὸν θάνατον ὡς εἴρηται, καὶ τῆς κρατή-
σης τῶν σωμάτων φθορᾶς ἀνῃρημένης, δυνάμει τοῦ περιβαλ-
λομένου θεοῦ τὸ ἡμέτερον σῶμα, τριταίου καταλιπόντος τὸν
τάφον τοῦ ἀληθῶς ταφέντος, ἔδει πάλιν ἀναβῆναι σὺν τῷ
προσλήμματι, πρὸς τὸν ἀποστείλαντα πατέρα, τὸν καταβάντα
ἆραι τὴν ἁμαρτίαν τοῦ κόσμου. λοιπὸν γάρ, ὁ περίγειος
χῶρος οὐκέτι πρόσφορος ἦν τῷ ἀποθεωμένῳ σώματι τὴν
σαρκώδη παχύτητα. καὶ ἐκ μὲν φθαρτοῦ, γενομένῳ ἀφθάρ-
τῳ. ἐκ δὲ θνητοῦ, ἀθανάτῳ. καὶ ἐκ ψυχικοῦ, πνευματικῷ.
ὥσπερ γὰρ ὁ περίγειος τόπος τῶν παχυτέρων σωμάτων ἐστὶν
ἐνδιαίτημα, οὕτως ὁ οὐράνιος χῶρος, τῶν πνευματικῶν ἂν εἴη.
ὅτι δὲ πνευματικὸν ἀνέστη τὸ τοῦ χριστοῦ σῶμα, τί δεῖ καὶ λέγειν,
μαρτυροῦντος παύλου περὶ τῶν καθόλου σωμάτων, ὡς ἄρα σπεί-
ρονται ψυχικά. ἐγείρονται πνευματικά. μετασχηματισθέντα δη-
λονότι, πρὸς τὴν ἔνδοξον τοῦ καθηγησαμένου χριστοῦ μεταμόρφω-
σιν. ἐπεὶ καὶ ὁ ἀπόστολος τοῦτο σαφῶς ἐπιστάμενος διὰ χριστοῦ, παν-
τὶ τῷ θνητῷ γένει ὑπάρξειν φησίν. ὃς μετασχηματίσει τὸ
σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ ποιῆσαι αὐτὸ σύμμορ-
φον τῷ σώματι τῆς δόξης αὐτοῦ. ἔστι τοίνυν ὁ μετασχηματισμός,

ἐπὶ τὸ

ἐπὶ τὸ πνευματικὸν ἐστὶ μεταποίησις, σύμμορφον δὲ τοῦτο τῷ σώ-
ματι τῆς δόξης τοῦ Χριστοῦ, πνευματικὸν ἄρα σῶμα ἀνέστη ἔχων ὁ Χριστός.
οὐκ ἄλλο ἐκεῖνο, τοῦ ἐν ἀτιμίᾳ σπαρέντος· ἀλλ' αὐτὸ ἐκεῖνο πρὸς
τιμὴν μεταποιηθέντος. ὅπερ σῶμα μὲν ἀληθῶς μεμένηκε· σὰρξ
δὲ οὐδαμῶς. οὐ τῆς ὑποκειμένης ἀπολομένης οὐσίας, ἀλλ' ἐπὶ τὸ
ἐνδοξότερον μεταποιηθείσης. δεκτικὴ γὰρ ἡ οὐσία ἐστί, τῶν ἐναν-
τίων ποιοτήτων, εἰ καὶ μὴ πασῶν ἅμα. καὶ οὐκ ἄλλη μὲν γίνεται.
ἀλλοία δὲ πεποιωμένη δηλονότι καθ' ἑτέρας ποιότητας,
παρ' ἃς ἐπεποίωτο πρότερον. ἀμείψει δὲ ταύτας, ὅταν δοκῇ
τῷ δημιουργῷ. μὴ τοίνυν ἀκούων τις πνευματικὸν ἐκ ψυχικοῦ,
νομιζέτω μὴ τὸ πρότερον ἐγηγέρθαι σῶμα· πλάνη γὰρ τὸ
τοιοῦτο, καὶ τοῦ ἐχθροῦ τῆς ἀληθείας ὑπόθεσις. ἡ γὰρ ὑποκειμένη
πάλιν λέγω τῷ σώματι οὐσία, μένει μὲν ἡ αὐτὴ διαπαντός,
ἕως ἄν, τῷ δημιουργῷ δοκῇ συνίστασθαι. μεταποιουμένη δὲ πρὸς
τὸ πνευματικώτερον, ἀλλοία καὶ οὐκ ἄλλη ἐστίν. οὕτω γὰρ καὶ
ὁ Χριστὸς ἀνέστη. καὶ ἔστιν αὐτοῦ μαρτύρια, πολλὰ μὲν καὶ ἄλλα· πάν-
των δὲ μᾶλλον ταῦτα. τὸ καταλιπεῖν ἐν τῷ μνήματι
τὰ ὀθόνια. τὸ ἐξελθεῖν ἐσφραγισμένου τοῦ μνήματος. τὸ εἰσ-
ελθεῖν τῶν θυρῶν κεκλεισμένων. τὸ μὴ συνδιατρίβειν ἔτι
δι' ὅλου, τοῖς μαθηταῖς, καθὰ καὶ πρότερον, ἀλλ' ἀθρόως ἐφί-
στασθαι αὐτοῖς ἐν ἑτέραις μορφαῖς. τὸ μηκέτι δεῖσθαι τρο-
φῆς, ἢ ἐνδύματος. τὰ μὲν γὰρ πρῶτα τῶν ἐνδυμάτων
οἱ στρατιῶται λαβόντες, διεμερίσαντο. τὰ δὲ πρὸς τὴν τα-
φὴν ἐπιτήδεια, κατέλιπεν ἐν τῷ μνήματι, καὶ ἀνέστη. καὶ
ὅτε τοῖς μαθηταῖς ὠπτάνετο, συνελάλει μὲν αὐτοῖς. οὐκ ἐγι-
νώσκετο δὲ τίς εἴη, μέχρις οὗ δεδώκει αὐτοῖς σημεῖα τοῦ
αὐτὸς εἶναι. ποτὲ μὲν τὰς χεῖρας δεικνὺς καὶ τοὺς πόδας, τὰς
ἐκ τῶν ἥλων διατρήσεις ἔχοντας. ἔτι δὲ τὴν πλευράν,
φέρουσαν τὴν ἐκ τῆς λόγχης σφαγήν. ἄλλοτε συνεσθίων, καὶ
τῶν πρὸ τοῦ πάθους ἀναμιμνήσκων αὐτοὺς συνεστιάσεων.
μονονουχὶ λέγων δι' ὧν ἔπραττεν, ὅτι αὐτός εἰμι ἐκεῖνος,

ὃν ἐν παχεῖ σώματι συνόντα, καὶ συναναστρεφόμενον ὑμῖν αὐτοῖς, ἐγινώσκετε· νῦν αὐτὸ κομισάμενος πάσης ἀσθενείας κρεῖττον διὰ τῆς μεταποιήσεως γενόμενον ἔνδοξον. οὐκ ἂν δὲ τοσούτοις σημείοις κατάδηλον ἤθελε ποιεῖν ἑαυτὸν τοῖς γνωρίμοις. καὶ οὐδὲ χρόνον ἀπολειφθεῖσιν αὐτοῦ μακρόν. εἰ μὴ ἀλλοῖον αὐτοῦ τὸ σῶμα πεποίηκεν ὁ μετασχηματισμός. εἰ μὲν γὰρ χρόνος διεληλύθει συχνός, εἶχε τις ἴσως λέγειν, ὅτι τοῦ χρόνου διαδραμόντος, λήθη γέγονεν αὐτοῖς, τῶν ποιῶν χαρακτήρων τοῦ σώματος, τῶν ἐξ ὧν γνωρίζειν ἀλλήλους πεφύκαμεν. τριῶν δὲ διελθουσῶν ἡμερῶν, ποία τις λήθη γέγονε, τοῖς ἐν τοσούτῳ χρόνῳ συναναστραφεῖσιν αὐτῷ. δῆλον οὖν ἐστι, καὶ οὐδαμῶς ἀμφίβολον, ὅτι μετεστοιχειώθη πρὸς τὸ ἐνδοξότερον. ἐκ ψυχικοῦ γενόμενον πνευματικόν. καὶ ἐξ ἀσθενοῦς δυνατόν. ἐσαρκώθη γάρ φησιν ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως, ταύτην οὐκέτι ἔχων τὴν ἀσθένειαν. ἔστι δὲ αὕτη, τὸ παχὺ καὶ γεῶδες. τὸ ἅγιον ἐκεῖνο σῶμα. ὃ μετὰ παραδρομὴν τεσσαράκοντα ἡμερῶν, ὡς οἰκεῖον χῶρον πρὸς τὸν οὐρανὸν ἐχώρησε· νεφέλῃ χρησάμενον οἷα τινὶ ὀχήματι. οὐ γὰρ ἔτι τὸ σῶμα πρὸς τὸ κάτω φερὲς ἔνευε, καθὰ πέφυκε τὰ βαρέα τῶν σωμάτων. ἀλλὰ κουφότερον τῆς νεφέλης ὑπάρχον, ὑπὲρ αὐτὴν ὑψώθη καὶ συνεκάθισεν ἐν δεξιᾷ τοῦ πατρός, πορευθεὶς ἐπ' οὐρανόν. ὑποταγέντων αὐτῷ ἀγγέλων, καὶ ἐξουσιῶν, καὶ δυνάμεων. ἥξει δὲ πάλιν, σώματι τῷ αὐτῷ Χριστός, κριτὴς ζώντων καὶ νεκρῶν. καθὰ τοῖς μαθηταῖς εἶπον οἱ ἄγγελοι, θαυμάζουσιν ἐπὶ τῇ εἰς οὐρανοὺς ἀνόδῳ, καὶ ἀτενίζουσιν ἐπ' αὐτόν.
γὰρ φασί ἄνδρες* γράφουσι Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν. οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. ὥστε τὸ ἐξ ἀναστάσεως σῶμα πάλιν ἔχων παραγίνεται, κατὰ τὴν φωνὴν τῶν ἁγίων ἀγγέλων. μεθ' οὗ συνεδρεύει καὶ νῦν τῷ ἰδίῳ πατρί, τοῦτο

πρί, τοῦτο προστασσόμενον αὐτῷ τοῦ ἡμετέρου φυράματος ἀπαρχήν· προσάξει δὲ καὶ τὸ πᾶν εἰς ὁλόκληρον. καὶ γὰρ ὑπὲρ τοῦ λέγειν, ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν· τότε καὶ οἱ ἐχθροὶ τίθενται ὑπὸ τοὺς πόδας αὐτοῦ, κατὰ τὴν πρὸς αὐτὸν ἐπαγγελίαν. εἶπε γὰρ ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. ἕως ἂν θῶ τοὺς ἐχθρούς σου, ὑποπόδιον τῶν ποδῶν σου. τίθενται δὲ τῇ μὲν ἀπώλεσε, τῇ δὲ ἐπώλεσε. πάντως γὰρ δεῖ τοὺς ἁμαρτωλοὺς, ἐκλείπειν ἀπὸ τῆς γῆς, καὶ τοὺς ἀνόμους, ὥστε μὴ ὑπάρχειν αὐτούς. τότε καινοῦ ᾆσμα, καὶ ἀδιάλειπτος ὕμνος διὰ πάντων στομάτων ἀναπεμφθήσεται τῷ πατρὶ τῶν καινῶν αἰώνων. καὶ πᾶν γόνυ κάμψει, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν θεοῦ πατρός. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἀμήν:

ὑπεγέγραπτο τῷ ἀντιγράφῳ ὑπογραφὴ τοιαύτη.

Μετεγράφη τὸ παρὸν βιβλίον τῶν πρακτικῶν τῆς οἰκουμενικῆς πρώτης συνόδου ἀπὸ βιβλίου παλαιοῦ μεμβράνου τοῦ μοναστηρίου τῆς Χώρας.

✝ μαΐου [illegible] τοῦ [illegible] ἔτους [illegible]:

[illegible]

R

[illegible]